IMMANUELIS BEKKERI,

PROFESSORIS BEROLINENSIS,

ANECDOTA GRAECA.

VOLUMEN PRIMUM.

LEXICA SEGUERIANA.

BEROLINI, APUD G. C. NAUCKIUM. 1814.

THE NEW YORK
PUBLIC LIBRARY

ASTOR, LENOX AND
TILDEN FOUNDATIONS

FRIDER. AUG. WOLFIO

PRAECEPTORI SUO

D.

EDITOR.

LEXICA SEGUERIANA.

1. ΕΚ ΤΩΝ ΦΡΥΝΙΧΟΥ. . . . . p. 1
2. ΑΝΤΙΑΤΤΙΚΙΣΤΗΣ. 75
3. ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ. 117
4. ΔΙΚΩΝ ΟΝΟΜΑΤΑ. 181
5. ΛΕΞΕΙΣ ΡΗΤΟΡΙΚΑΙ. 195
6. ΣΥΝΑΓΩΓΗ ΛΕΞΕΩΝ ΧΡΗΣΙΜΩΝ. . 319

Ἀφηλικέστεροι: οἱ πρεσβύτεροι, ὡς ἄπο τῆς ἡλικίας ὄντες· ἡλικίαν γὰρ ἔλεγον καὶ τὴν νεότητα οἱ ἀρχαῖοι. οἱ μέντοι νέοι καὶ ἐπὶ τῶν νεωτέρων τάττουσι. πλὴν κατὰ σύγκρισιν ἡ λέξις προφέρεται, καὶ ἐν ὑπερθέσει, ἀφηλικέστατος καὶ ἀφηλικέστατοι. οἱ δὲ ἀπολελυμένως λέγοντες ἀφήλιξ, ἀφήλικες, ἀμαθέστατοι.

Αἵρεται πόλεμον ἢ ἔχθραν ἢ στάσιν: ἀντὶ τοῦ ἀναδέχεται.

Αὐτοκέρας: σημαίνει τὸ αὐτοκέραστον καὶ συμμέτρως κεκερασμένον ἤγουν πεφυκὸς κεράννυσθαι. εἴρηται δὲ ἐπιῤῥηματικῶς.

Ἄνθρωπος φιλοπραγματίας: δηλοῖ τὸν φιλοῦντα καὶ σπουδάζοντα πάντα τρόπον πράγματα μεταχειρίζεσθαι.

Ἀκρότητος καὶ ἄποῤῥος ἄνθρωπος: ἀντὶ τοῦ ἄπρακτος.

Ἀκρόχολον καὶ δύσκολον φθέγγεται: πανταχοῦ χρήσῃ.

Ἀμφαρίστερος: ἐναντίον τοῦτο τῷ περιδέξιος. σωπτικὸν πάνυ τὸ ὄνομα.

Αἰσχυνόμενος περιπλέκει τὴν συμφοράν: ἐν συνουσίᾳ χρῶ.

Ἄνοργοι: ἴσον ἐστὶ τῷ ἀνόργητοι.

Ἀνελκταῖς ὀφρύσι σεμνόν: Ἀττικῶς αὐτὸ καὶ σεμνῶς Κρατῖνος εἶπεν.

Ἀργύριον ἔχει οὐδ᾽ ὅσον: οἷον οὐδὲ τὸ βραχύτατον. πανταχοῦ χρῶ.

Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις: ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων. ἁβρὸν δὲ σημαίνει τὸ τρυφερόν.

Ἀνόητά γ' εἰ τοῦτ' ἦλθες ἐπιτάξων ἐμοί: ἀντὶ τοῦ ἀνόητος εἶ ἐπιτάττων τοῦτο. Ἀττικὸν γὰρ τὸ λέγειν, ἀνόητα εἰ τοῦτ' ἐπιτάξεις.

Αὐτοσχεδιάζειν σύ, ἥκειν σύ: ἀντὶ τοῦ αὐτοσχεδίαζε σύ καὶ ἧκε σύ. Ἀττικὸν τὸ σχῆμα, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. Ὅμηρος·

αὐτοῦ ἐρυκακέειν . . . . . .

Αἰνείαο δ' ἐπαΐξαι μεμνημένος ἵππων,
ἐκ δ' ἔλασαι Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς·

ἀντὶ τοῦ ἐρύκακε καὶ ἐπάϊξον καὶ ἔλασον.

Ἄπλυτον πώγωνα: εἰ θέλοις ἀνεπαχθῶς σκῶψαί τινα πωγωνίαν.

Αὐτὸ τοὔμπαλιν λέγεις: οἷον αὐτὸ τοὐναντίον λέγεις. εἴποις δ' ἂν καὶ αὐτὸ τοὐναντίον. τὸ μέντοι αὐτό πρόσκειται νῦν σημαῖνον τὸ ἀκριβῶς καὶ ἀληθῶς.

Ἀνεβόησεν οὐράνιον ὅσον: σημαίνει τὸ ὑπερβεβηκὸς καὶ μέχρι τοῦ οὐρανοῦ ἥκον.

Ἀωρία: οἷον παρὰ τὴν δέουσαν ὥραν. οὐκ ἐπὶ νοητῶν μόνον, ἀλλ' ἁπλῶς παρὰ δέον.

Ἀνωφέλητος ἄνθρωπος: Εὔπολις μὲν ἰδίως ἐπὶ τοῦ μὴ δυναμένου ἢ μὴ βουλομένου ὠφεληθῆναι, οἱ δὲ πολλοὶ ἐπὶ τοῦ μὴ ὠφελεῖν θέλοντος ἢ δυναμένου.

Ἀφαιρεῖν κροκύδας: λίαν ἠτίκισται, καὶ τίθεται ἐπὶ τῶν πάντα ποιούντων διὰ κολακείαν, ὥστε καὶ παρεπομένους ἀφαιρεῖν κροκύδας τῆς εὐθῆτος ἢ κάρφος τι τῆς κεφαλῆς ἢ τοῦ γενείου. ὁ δὲ Ἀριστοφάνης ἀφαίρει τρίχας φησὶν ἐπί τινος κολακεύειν ἐπιχειροῦντος.

Ἀλινδήθρα: ὁ τόπος ἐν ᾧ καλινδοῦνται οἱ ἵπποι.

καὶ ἄλλοι, ἐξακούμενοι τὸν κάματον. ἔστι τι ῥῆμα κυλίω, ὃ Ἀττικοὶ διὰ τοῦ ᾱ, καλίω. εἶτα προσθήκη τοῦ δ, καὶ ἐπεισαγωγῇ τοῦ ν̄, καὶ μεταβάσει τοῦ τόνου, καλινδῶ. τούτου κατὰ ἀποβολὴν τοῦ κ̄ ἀλινδῶ. καὶ ὥσπερ κολυμβῶ κολυμβήθρα καὶ στωμυλλῶ στωμυλλήθρα, διὰ δύο λλ̄, οὕτως ἀπὸ τοῦ καλινδῶ καλινδήθρα, καὶ ἀποβολῇ τοῦ κ̄ ἀλινδήθρα. 5

Ἄνθρωπος ἀποφράς: ἀποφράδες ἡμέραι, καθ᾽ ἃς ἀπηγόρευτό τι πράττειν. σημαίνει οὖν τὸν οἷον ἀπαίσιον καὶ ἔξεδρον καὶ ἐπάρατον ἄνθρωπον. 10

. . . . συνέτυχεν ἐξιόντι μοι
ἄνθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν.

Ἀπιστίαν βλέπει: Εὔπολις. σημαίνει τὸν ἀπιστότατον.

Αὐτοκήρυξ: ὁ μὴ δι᾽ ἑτέρων ἀλλὰ δι᾽ ἑαυτοῦ κηρυκεύων. ἔστι δ᾽ ὅμοιον τῷ αὐτουργός, αὐτεπάγγελτος. 15

Ἀνεμεστώθη καὶ ἀνεμέστωσεν: ἀντὶ τοῦ ἐπλήρωσεν.

Ἀνακραγεῖν: δύο σημαίνει, καὶ τὸ πρὸ τοῦ ἀγῶνος ἀσκεῖν ἐπὶ τὸ βοᾷν τὴν φωνήν, καὶ τὸ ἄλλως ἀναβοῆσαι. 20

Ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν: ἐπὶ τοῦ Γλαύκου, ἀναφανέντος ἐκ τῆς θαλάσσης. Αἰσχύλος.

Ἄνθρωπος ἐξ ὁδοῦ: ἀντὶ τοῦ ἄνθρωπος τῶν ἐν ὁδοῖς καλινδουμένων.

Ἁρπαγιμαῖος: τῶν χρησίμων ἐστὶ καὶ σπανίων ἡ φωνή. ὁ γὰρ δι᾽ ἔρωτα ἢ δι᾽ ἄλλην τινὰ πρόφασιν ἁρπασθεὶς οὗτος ἂν ἁπαργιμαῖος καλεῖται. καὶ ἁρπαγιμαῖα πράγματα τὰ εἰς ἁρπαγὴν ἕτοιμα καὶ τὰ ἁρπαζόμενα. 25

Ἀγαθὸν ἔτι τοῦτ᾽ ἀπολείπεται, εἰ καὶ τοῦτ᾽ ἄρα: πάνυ Ἀττικῶς. Ἀριστοφάνης· 30

. . . . τὸ γάρ τοι καὶ μόνον
ἔτ᾽ ἔστι λοιπὸν ἀγαθόν, εἰ καὶ τοῦτ᾽ ἄρα.

Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις: ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων. ἁβρὸν δὲ σημαίνει τὸ τρυφερόν.

Ἀνόητά γ᾽ εἰ τοῦτ᾽ ἦλθες ἐπιτάξων ἐμοί: ἀντὶ τοῦ ἀνόητος εἶ ἐπιτάττων τοῦτο. Ἀττικὸν γὰρ τὸ λέγειν, ἀνόητα εἰ τοῦτ᾽ ἐπιτάξεις.

Αὐτοσχεδιάζειν σύ, ἥκειν σύ: ἀντὶ τοῦ αὐτοσχεδίαζε σύ καὶ ἧκε σύ. Ἀττικὸν τὸ σχῆμα, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. Ὅμηρος·

αὐτοῦ ἐρυκακέειν . . . . . .

Αἰνείαν δ᾽ ἐπαΐξαι μεμνημένος ἵππων,

ἐκ δ᾽ ἐλάσαι Τρώων μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς·

ἀντὶ τοῦ ἐρύκακε καὶ ἐπάϊξον καὶ ἔλασον.

Ἄπλυτον πώγωνα: εἰ θέλοις ἀνεπαχθῶς σκῶψαί τινα πωγωνίαν.

Αὐτὸ τοὔμπαλιν λέγεις: οἷον αὐτὸ τοὐναντίον λέγεις. εἴποις δ᾽ ἂν καὶ αὐτὸ τοὐναντίον. τὸ μέντοι αὐτό πρόσκειται νῦν σημαῖνον τὸ ἀκριβῶς καὶ ἀληθῶς.

Ἀνεβόησεν οὐράνιον ὅσον: σημαίνει τὸ ὑπερβεβηκὸς καὶ μέχρι τοῦ οὐρανοῦ ἧκον.

Ἀωρία: οἷον παρὰ τὴν δέουσαν ὥραν. οὐκ ἐπὶ νοητῶν μόνον, ἀλλ᾽ ἁπλῶς παρὰ δέον.

Ἀνωφέλητος ἄνθρωπος: Εὔπολις μὲν ἰδίως ἐπὶ τοῖ μὴ δυναμένου ἢ μὴ βουλομένου ὠφεληθῆναι, οἱ δὲ πολλοὶ ἐπὶ τοῦ μὴ ὠφελεῖν θέλοντος ἢ δυναμένου.

Ἀφαιρεῖν κροκύδας: λίαν ἠτίκισται, καὶ τίθεται ἐπὶ τῶν πάντα ποιούντων διὰ κολακείαν, ὥστε καὶ παρεπομένους ἀφαιρεῖν κροκύδας τῆς ἐυθῆτος ἢ κάρφος τι τῆς κεφαλῆς ἢ τοῦ γενείου. ὁ δὲ Ἀριστοφάνης ἀφαίρει τρίχας φησὶν ἐπί τινος κολακεύειν ἐπιχειροῦντος.

Ἀλινδήθρα: ὁ τόπος ἐν ᾧ καλινδοῦνται οἱ ἵπποι

καὶ ἄλλοι, ἐξακούμενοι τὸν κάματον. ἔστι τι ῥῆμα κυλίω, ὃ Ἀττικοὶ διὰ τοῦ ᾱ, καλίω. εἶτα προςθήκη τοῦ δ̄, καὶ ἐπειςαγωγῇ τοῦ ν̄, καὶ μεταβάσει τοῦ τόνου, καλινδῶ. τούτου κατὰ ἀποβολὴν τοῦ κ̄ ἀλινδῶ. καὶ ὥςπερ κολυμβῶ κολυμβήθρα καὶ στωμυλλῶ στωμυλλήθρα, διὰ δύο λλ̄, οὕτως ἀπὸ τοῦ καλινδῶ καλινδήθρα, καὶ ἀποβολῇ τοῦ κ̄ ἀλινδήθρα. 5

Ἄνθρωπος ἀποφράς: ἀποφράδες ἡμέραι, καθ᾽ ἃς ἀπηγόρευτό τι πράττειν. σημαίνει οὖν τὸν οἷον ἀπαίσιον καὶ ἔξεδρον καὶ ἐπάρατον ἄνθρωπον. 10

. . . . συνέτυχεν ἐξιόντι μοι
ἄνθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν.

Ἀπιστίαν βλέπει: Εὔπολις. σημαίνει τὸν ἀπιστότατον.

Αὐτοκήρυξ: ὁ μὴ δι᾽ ἑτέρων ἀλλὰ δι᾽ ἑαυτοῦ κηρυκεύων. ἔστι δ᾽ ὅμοιον τῷ αὐτουργός, αὐτεπάγγελτος. 15

Ἀνεμεστώθη καὶ ἀνεμέστωσεν: ἀντὶ τοῦ ἐπλήρωσεν.

Ἀνακραγεῖν: δύο σημαίνει, καὶ τὸ πρὸ τοῦ ἀγῶνος ἀσκεῖν ἐπὶ τὸ βοᾷν τὴν φωνήν, καὶ τὸ ἄλλως ἀναβοῆσαι. 20

Ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν: ἐπὶ τοῦ Γλαύκου, ἀναφανέντος ἐκ τῆς θαλάσσης. Αἰσχύλος.

Ἄνθρωπος ἐξ ὁδοῦ: ἀντὶ τοῦ ἄνθρωπος τῶν ἐν ὁδοῖς καλινδουμένων.

Ἁρπαγιμαῖος: τῶν χρησίμων ἐστὶ καὶ σπανίων ἡ φωνή. ὁ γὰρ δι᾽ ἔρωτα ἢ δι᾽ ἄλλην τινὰ πρόφασιν ἁρπασθεὶς οὗτος ἂν ἁπαργιμαῖος καλεῖται. καὶ ἁρπαγιμαῖα πράγματα τὰ εἰς ἁρπαγὴν ἕτοιμα καὶ τὰ ἁρπαζόμενα. 25

Ἀγαθὸν ἔτι τοῦτ᾽ ἀπολείπεται, εἰ καὶ τοῦτ᾽ ἄρα: πάνυ Ἀττικῶς. Ἀριστοφάνης· 30

. . . . τὸ γάρ τοι καὶ μόνον
ἔτ᾽ ἔστι λοιπὸν ἀγαθόν, εἰ καὶ τοῦτ᾽ ἄρα.

Ἀκύμων θάλασσα: Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾷν τέθνεικέν, ὡςανεὶ ἀγόνου. ὡςαύτως καὶ Ἀριστοφάνης. λέγεται δὲ καὶ ἀκύματος·

ἀκύματος δὲ πορθμὸς ἐν φρίκῃ γελᾷ.

Ἀνασπᾷν γνωμίδιον: κωμῳδικῶς εἴρηται, οἷον ἐκ βυθοῦ διανοίας ἄγειν.

Ἄρχειν ὁ πατήρ σε παρηγγύησέ μοι, ἢ δῆμος ἢ βασιλεύς: Ἀττικῶς μὲν εἴρηται, δηλοῖ δὲ ὡς ὁ πατήρ σου ἄρχειν σου παρηγγύησέ μοι

Ἀνεπάγγελτος δειπνεῖ: ᾧ οὐδεὶς μὲν ἐπήγγειλεν, ὁ δὲ ἀφικόμενος δειπνεῖ.

Ἀπελαμπρύνθη: λαμπρὸν καὶ δόκιμον ἐγένετο.

Ἄτεγκτος παρηγορήμασιν: Αἰσχύλος. δοτικῇ ἀντὶ γενικῆς Ἀττικῷ ἐχρήσατο ἔθει. Πλάτων γενικῇ κέχρηται· μὴ τέγγεσθαι ὑπὸ κακοδοξίας.

Ἀπαίρειν: τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης.

Ἄκομψον καὶ φαῦλον: οἷον κομψίας καὶ πανουργίας ἀπηλλαγμένον καὶ ἁπλοῦν. κομψὸν γὰρ τὸν πανοῦργον, οἷον κόπτοντά τινα καὶ ὀχληρόν· φαῦλον δὲ τὸν ἁπλοῦν.

Ἀπόβλεπτον: τὸ ζηλωτόν.

Ἀμφιμήτωρ: ὁ ἐξ ἑτέρας μητρὸς ἀδελφός.

Ἀχώρ: οἱ μὲν τὸ ἐν τῇ κεφαλῇ πίτυρον· οἱ δὲ πιθανώτερον τὰ ἐν αὐτῇ ἑλκύδρια, ἃ καὶ κνησμόν τινα παρέχουσιν.

Ἄνθρωπος πρόδοξος: ὁ προδοξάζων περί τινος οὐ τἀληθῆ, πρὶν ἢ σαφῶς καὶ μετὰ πίστεως ἐξετάσαι τὰ κατ᾽ αὐτόν. χρῶ δὲ καὶ σὺ ἐπὶ τῶν ἀσταθμήτων καὶ ἄνευ ἐξετάσεως περί τινων δοξαζόντων, πρὶν ἢ πειραθῆναι.

Ἀτμίζον κρέας: οἷον θερμὸν ἐκ τῆς χύτρας ἀνῃρημένον, ἔτι τὴν ἀτμίδα ἀναβάλλον.

Ἀκοῦσαι ὀργῶ: σημαίνει τὸ πάνυ ἐπαίρομαι πρὸς τὸ πρᾶξαί τι ἢ ἀκοῦσαι.

Ἀϋπνεῖσθαι: τὸ ἄϋπνον εἶναι. 5

Ἄδρατα: ἀποίητα. ἃ δὲ πεποίηται, δέδραται.

Ἀπηνθίσθαι: τὸ ἀποβεβληκέναι τὸ ἄνθος. καὶ ἐνεργητικῶς ἐπὶ τοῦ δρῶντος τίθησιν ἀπανθίσας.

Ἀναπηδᾷν ἐν δήμῳ: Κρατῖνος, ἐπί τινος ἀκόσμως ἐν ταῖς ἐκκλησίαις ἀναπηδῶντος. 10

Ἀρήν: τὸ τοῦ προβάτου ἔγγονον, ὡς λεμήν, ὑμήν.

Ἀρχῆθεν: παρὰ μὲν ταῖς ἄλλαις διαλέκτοις εὑρίσκεται, Ἀττικοῖς δὲ οὐ φίλον, διὸ οὔτε Πλάτωνα οὔτε Θουκυδίδην ἔστιν εὑρεῖν λέγοντα τοῦτο.

Ἀποδιοπομπεῖσθαι καὶ διοπομπεῖσθαι: σημαίνει μὲν τὸ ἀποπέμπεσθαι καὶ ἀποκαθαίρεσθαι μύση· σύγκειται δὲ τὸ ὄνομα ἐκ τοῦ δίου, ὅ ἐστι δέρμα τοῦ ἱερείου τοῦ θυομένου τῷ Διί, ἐφ᾽ οὗ ἑστῶτες ἐκαθαίροντο, κἀκ τοῦ πέμπεσθαι. μετὰ γοῦν τῆς ἀπό προθέσεως Ἀττικώτατόν ἐστιν. 15 20

Ἄχυρός: ὡς πονηρός, λυπηρός. σημαίνει δὲ τὸν ὑπὸ τῶν ἀμαθῶν ἀχυρῶνα καλούμενον. Ἀττικὸν δὲ λίαν ὁ ἀχυρός. καὶ ἡ παροιμία οἶνος εἰς ἀχυρόν. εὕρηται δὲ καὶ προπαροξυνόμενον, ὡς ἄλυτος.

Αὐλίζεσθαι: τὸ κοιμᾶσθαι. 25

Αὐχμός καὶ αὐχμή· καὶ αὐχμῶντα, ὡς ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων· καίτοι αὐχμῶ αὐχμεῖς, ὡς ἡ πρώτη κλίνεται.

Αὐχμηρὰ γῆ: ἡ μὴ λιπαρὰ μηδὲ ἐπιτηδεία πρὸς φυτῶν καὶ καρπῶν φοράν. 30

Αὐτοχειρίᾳ: πεποίηται ἐπιρρηματικῶς, σημαίνει δὲ ταῖς αὐτοῦ χερσί. πρὸ μιᾶς ὁ τόνος. οἶδα δέ τινας οὐκ ἀδόξους περισπῶντας τὴν τελευταίαν, οὐχ ὑγιῶς.

Ἀῤῥωστία: σημαίνει μὲν πολλαχοῦ τὴν νόσον, ἀλλὰ καὶ διαφέρει, ὅτι ἡ μὲν νόσος ἐστὶ καὶ μακρὰ καὶ ὀλιγοχρόνιος, ἡ δὲ ἀῤῥωστία τὴν μακροχρόνιον δηλοῖ. οὗ μέντοι Ἀττικοὶ τὴν ἀῤῥωστίαν ἐπὶ τοῦ μὴ προθυμεῖσθαι μηδὲ ὁρμᾶν πρᾶξαι τιθέασι. τὸ γὰρ ἀντικείμενον τῇ τοιαύτῃ ἀῤῥωστίᾳ Κρατῖνος εἶπεν ἐῤῥῶσθαι, οἷον προθυμεῖσθαι.

Ἀπέρωπος: σημαίνει ἀναιδής, σκληρός, τραχύς, οἷον ἀπερίοπτος καὶ ἀπερίβλεπτος, ὃν οὐκ ἄν τις περιωπήσαιτο διὰ τὴν ἀηδίαν. καὶ ἀπέρωπον οἷον τραχὺ καὶ ἀνατεταμένον.

Ἀπολλύασιν: ὥσπερ δεικνύασι καὶ ὀμνύασιν, Ἀττικῶς ἀντὶ τοῦ ὀμνύουσι καὶ δεικνύουσι καὶ ἀπολλύουσιν.

Ἀργέλοφοι: Ἀττικῶς. σημαίνει δὲ τοὺς ποδεῶνας τῶν κωδίων καὶ τῶν ἀσκῶν. τὸ δὲ ποδεὼν Ἰωνικῶς.

Ἀτεράμνων ἄνθρωπος καὶ πρίνινος καὶ στιπτὸς καὶ σφενδάμνινος: ἐπὶ τοῦ πάνυ σκληροῦ. τὰ γὰρ ῥᾳδίως ἑψόμενα τῶν ὀσπρίων τέρεμνα καλοῦσιν οἱ Ἀθηναῖοι· κατὰ στέρησιν οὖν ἀτεράμνων. τὸ δὲ στιπτὸν τὸ πεπατημένον· στίβος γὰρ ἡ ὁδός. καὶ τὸ πρίνινος δῆλον· καὶ γὰρ ἡ πρῖνος πάνυ σκληρόν. ὁμοίως καὶ τὸ σφενδάμνινος. τούτοις προσῆπται Ἀριστοφάνης καὶ τὸ Μαραθωνομάχος· καὶ σημαίνει οἷον ἀνδρεῖος καὶ ἀψίμαχος καὶ θυμικός, διὰ τὴν τούτων κατὰ τῶν βαρβάρων νίκην.

Ἄπαρνος: σεμνότερον τοῦ ἔξαρνος καὶ πολιτικώτερον.

Αὐτόκακον ἔοικε τῷδε: ἄκρως καὶ καθ' ὑπερβολὴν ἔοικε τῷδε, ὡς εἴ λέγοι τις αὐτῷ ἄκρως ἔοικε. τὸ δὲ κακὸν πρόσκειται δηλοῦν τὴν ὑπερβολὴν τῆς ὁμοιότητος. Ὅμηρος·

αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

τὸ γὰρ αἰνῶς καὶ δεινῶς τῷ κακῶς ταὐτὸ σημαίνει.

Ἀκρύπτως: πάνυ σεμνῶς τὸ μὴ κεκρυμμένως σημαίνει.

Ἄψοφον ἔχειν στόμα: οἷον ἄφωνον καὶ ἥσυχον, σεμνὸν καὶ πολιτικόν.

Ἀστεῖον καὶ κατερρινημένον εἰπεῖν: σημαίνει τὸ κατερρινημένον τὸ οὕτω λεπτῶς καὶ ἄκρως διειργασμένον, ὡς μηδὲ διαιρεῖσθαι ἐπιτηδεῖον εἶναι. 5

Ἀναψαθάλλειν τὸ πέος: ἀνατρίβειν καὶ ἀνακνᾶν καὶ ψηλαφᾶν οἷον πρὸς τὸ πλησιάζειν. Ἕρμιππος ἄνευ προθέσεως λέγει ψαθάλλειν ἀντὶ τοῦ κνᾶν·

σὺ δὲ τὴν κεφαλὴν ψάθαλλέ μου,

ἀντὶ τοῦ ψηλάφα. καὶ Πλάτων ἐν Κλειτοφῶντι· 10

ἐψάθαλλε λεῖος ὤν.

Αἱρεσθαι τιμαῖς: ἐναργὴς ἡ φωνὴ ὡς συγγραφική, δηλοῦσα τὸ χαῦνον τῶν ὑπὸ τιμῆς ἐπαιρομένων.

Ἀνεπίτροπος: σημαίνει τὸν μηδένα ἐπίτροπον ἢ κηδεμόνα ἔχοντα. 15

Αὐτὴ νῦν ἡ σοφία ζῇ: ἐπί τινος εὐδοκιμοῦντος χρῶ. καὶ τῷ αὐτὴ ἀνθεῖ ἡ μοῦσα.

Ἀπρακτεῖν: καλὴ καὶ σύντομος ἡ φωνή, σημαίνουσα τὸ μὴ κατὰ νοῦν πράττειν.

Ἀπόψηφοι ἐγένοντο τοῦ ἀποκτεῖναι: σημαίνει 20 τὸ οἷον οὐκ ἤνεγκαν ψῆφον. τὸ ἀτίμως χρῶ πανταχοῦ.

Ἀναπηρία: διὰ τοῦ ῃ τὴν τρίτην, οὐ διὰ τῆς ει διφθόγγου, ὡς οἱ ἀμαθεῖς. τὸ μὲν οὖν ἀνάπηρος καθωμίληται, τὸ δ' ἀναπηρία σπάνιον.

Ἀπεπτόμην: ἔπτον, ἐπτόμην καὶ ἀπεπτόμην. 25

Ἄοινος: σημαίνει μὲν σοφός ἐπὶ τοῦ νήφοντος ἀπὸ οἴνου. δύναται δ' ἄν τις καὶ ἐπὶ τῶν τελέως μὴ γευομένων οἴνου καὶ ἐπὶ τῶν μὴ ἐχόντων οἶνον.

Ἄνθρωπος λυπησίλογος: σημαίνει τὸν διὰ τοῦ λέγειν λυποῦντα τοὺς πέλας. 30

Ἀγαθῶν ἀγαθίδες: γραῦς ἀγαθίδας ἀποδομένη κρόκης, ἐπρίατο οἶνον, κἄπειθ' ὑποπίνουσα ἔλεγεν ἀγαθῶν ἀγαθίδες, οἷον ἀγαθῶν πλῆθος καὶ

σωρός· ἡ γὰρ ἀγαθὶς σωρός ἐστι στήμονος ἢ κρόκης· ἅμα παραδηλοῦσα ὅτι ἀγαθά μοι ἐκ τῶν ἀγαθίδων ἐστί. χρῶνται δ' ἐπὶ πολλῶν ἀγαθῶν.

Ἀράμενον φέρειν: Ἀττικῶς. ἡ σύνταξις δὲ εἰπεῖν ἄραντα. 5

Αἰμωδεῖν: Ἀττικώτερον. λέγεται δὲ καὶ αἰμωδιᾶν.

Ἄξιον τριχός: Ἀριστοφάνης. ἀναιδὲς καὶ θρασὺ βλέπει.

Ἀσπάλαθος: ἀκανθῶδες φυτόν. Κλέανδρος θηλυκῶς, Ἀριστοφάνης ἀρσενικῶς. 10

Ἀναγωγή: ἐπὶ πλοίου.

Ἀθάρη: διαφέρει ἔτνους, ὅτι τὸ μὲν κυάμων ἢ πισῶν ἢ ἁπλῶς κατερειπτῶν τινῶν, ἡ δὲ ἀθάρα πυρῶν ἡψημένων καὶ διακεχυμένων ὥςπερ ἔτνος.

Ἁλωπεκῆσαι: ἐξαπατήσαντα διαδράναι. 15

Ἀπήρτησε καὶ ἀπαρτᾶν: ἀντὶ τοῦ ἀπέσπασέ τινος καὶ ἀπεχώρισε. καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ στεφάνου· καί με μηδεὶς ὑπολάβῃ ἀπαρτᾶν τὸν λόγον τῆς γραφῆς.

Ἀνεπτερῶσθαι τὴν ψυχήν: οἷον ἀνασεσοβῆσθαι, 20 ἔκπτοιον εἶναι.

Ἀπόστρεπτος ἄπιθι: ἀντὶ τοῦ ἀποστραφείς.

Ἀνάφορον: τὸ ξύλον, ᾧ χρῶνται οἱ ἀχθοφόροι πρὸς τὴν κομιδὴν τῶν ἀχθῶν.

Ἀριστεροζύγης: ζύγιος σειραφόρος ὁ οἴσων τὴν σειράν. 25

Ἀγρίοις κατακαῦσαι ξύλοις: τὰ τερατώδη τῇ φύσιν ἐπ' ἀγρίοις ἔκαιον ξύλοις.

Ἀποφέρῃ πλέων: οἷον παραφέρῃ καὶ παρασύρῃ, διὰ τοῦ ῃ. τίθεται δὲ ἐπὶ τοῦ διαμαρτάνεις καὶ οὐδὲν πάγιον λέγεις. 30

Ἄριστος κλέπτειν: ἀστεία ἡ συμπλοκή. καὶ ἄριστος μοιχός, καὶ τὰ ὅμοια. σαρκασμοῦ τρόπῳ ἐπῆνηται εἰς ὑπερβολὴν τοῦ κακοῦ.

Ἀπέδραμεν τετρασυλλάβως, καὶ ἀπέδρατε καὶ ἀπέδραν, βραχείας τῆς τοῦ ἀπέδραν ἐσχάτης συλλαβῆς. ἀλλὰ καὶ τὸ ἑνικὸν πρῶτον πρόσωπον ἀπέδραν, ἐκτεταμένου τοῦ ἐπὶ τέλους ᾱ, καὶ ἀπέδρας καὶ ἀπέδρα. οὐχ ὡς οἱ ῥήτορες ἀπεδράσαμεν. τὸ δὲ ἀπέδραν τινὲς τῶν ῥητόρων διὰ τοῦ ῶ εἶπόν, ἀπέδρων· ἀλλ' ἄμεινον διὰ τοῦ ᾱ. ὁμοίως καὶ ἐξέδραν. 5

Ἀπόπτυστος: ὁ αὐτὸς τῷ κατάπτυστος, ὁ μίσους καὶ ἀποστροφῆς ἄξιος.

Ἀποταγηνίσαι: ἀντὶ τοῦ ταγηνίσαι, ὡς ἀποδραμεῖν τὸ δραμεῖν. 10

Αὖθις αὖ Πυθῶδ' ὁδός: ἔστι μὲν παροιμία ἐπὶ τῶν τὰ αὐτὰ πραττόντων καὶ ἐπανιόντων, ἐπεὶ οἱ χρώμενοι τῷ θεῷ, εἰς ἄφεσιν ἔχρησαν, πάλιν ἦεσαν εἰς Δελφούς, ἐπανερησόμενοι σαφέστερα. 15

Ἅλις τοῦδε: οἷον ἀπόχρη καὶ ἱκανῶς ἔχει. εἴρηται ἀπὸ τῆς ἁλός, ὅτι αὐτὴ δαψιλὴς καὶ ἱκανή, ἢ ἀπὸ τοῦ ἁλές, ὅπερ ἐστὶν ἀθρόον.

Ἄρτι, ἀρτίως: διαφοράν τινα οἱ Ἀττικοὶ φέρουσι, τὸ μὲν σημαίνειν λέγοντες ὡς τὰ παρεληλυθότα συνάπτοντα τῷ ἐνεστῶτι, τὸ δὲ ἀρτίως τὸν ἐνεστῶτα. ἔλαθε δ' αὐτούς, ὅτι καὶ τὴν ἐναντίαν διαφορὰν ἴσασιν οἱ ἀρχαῖοι, τὸ μὲν ἄρτι ἐπὶ τοῦ ἐνεστῶτος τιθέντες, τὸ δὲ ἀρτίως ἐπὶ τοῦ παρεληλυθότος. τινὲς δὲ διετείναντο, ὡς ἐπὶ μέλλοντος χρόνου τὸ ἄρτι· ἐγὼ δ' οὐχ εὗρον. 20 25

Ἀφύη: καὶ ἑνικῶς λέγεται, καὶ πληθυντικῶς ἀφύαι.

Ἀπώμοσα μὴ οὐ πρᾶξαι τοῦτο: ἰδίως Ἀττικῶς, ἐκ περιττοῦ ἔχον τὸ μὴ ἐπίῤῥημα.

Ἀνδρόγυνον ἄθυρμα: εἰ θέλοις γύνιν τινὰ σκῶψαι, χρήσαιο ἄν. 30

Ἄτριψ: ὁ οὐκ ἐντριβής τινι πράγματι. καὶ ἔστι παρὰ τὸν τρίψω μέλλοντα, ὡς ἁρπάξω ἅρπαξ, κλέψω κλέψ καὶ βούκλεψ, καὶ τέξω τέξ καὶ ἐπίτεξ. οὕτως

οὖν καὶ τρίψ καὶ ἄτριψ καὶ πορνότριψ. λέγεται δὲ καὶ ἀτρίβων.

Αὐταρκεῖν: οὐδὲν πλέον δηλοῖ τοῦ ἐξαρκεῖν.

Ἄμβωνες: πάντα τὰ ὑπερέχοντα καὶ ἀνεστηκότα. εἴρηται δὲ κατὰ συγκοπήν· ἔστι γὰρ ἀνάβων, ἐφ᾽ ᾧ ἀναβῆναι χρή. ὡς ἀνάπωτις καὶ ἄμπωτις. 5

Ἀπόλεμος χρόνος: τὸ εἰρηνικὸν καὶ εὔνομον τῆς διαιτῆς σημαίνει.

Ἄγευστος θοινῆς: καὶ τροφῆς καὶ τῶν ὁμοίων, κατὰ γενικήν. 10

Ἀσμενώτερος: διὰ τοῦ ω. τὸ δὲ ἐπίρρημα ἀσμεναίτατα.

Ἄζυξ: ὁ ἄζυγος καὶ μόνος. καὶ ἔστι κοινὸν ἄρρενος καὶ θηλείας.

Ἀνασκυζᾷν καὶ σκυζᾷν: σκυζᾷν μέν ἐστι τὸ πρὸς τὸ πάσχειν ὀργᾷν, καὶ τίθεται ἐπὶ τῶν νεωτέρων ἢ παίδων ἢ γυναικῶν· τὸ δὲ ἀνασκυζᾷν σημαίνει μὲν τὸ αὐτό, τίθεται δὲ ἐπὶ τῶν πρεσβυτέρων. προσκείται δὲ τὸ ἀνά σημαῖνον τὴν ἐξ ὑπαρχῆς ἐν γήρᾳ πρὸς τὸ πάσχειν ὁρμήν. 15 20

Ἄνω τὰ ῥήματα ἐξαίρειν: σημαίνει μὲν τὸ ἀποσεμνύνειν διὰ τῶν ὀνομάτων καὶ δεινοποιεῖν.

Ἀναθολοῦσθαι: ἀναταράττεσθαι, παρὰ τὸν θόλον τῆς σηπίας, ὃν οἱ Ἀττικοὶ καὶ χωρὶς τοῦ θ ὄλον λέγουσιν. 25

Ἀττικίζειν καὶ ἐξαττικίζειν: τὸ τὰ Ἀττικῶν φρονεῖν, ὥσπερ τὸ λακωνίζειν τὰ Λακώνων καὶ βοιωτίζειν τὰ Βοιωτῶν. σημαίνει μέντοι καὶ τὸ Ἀττικῶς λέγειν.

Ἄνθη: ἡ ἄνθησις, ὡς βλάστη ἡ βλάστησις. 30

Ἀποβάθρα: ἡ τῆς νεὼς ἔκβασις, δι᾽ ἧς εἴσιμέν τε καὶ ἔξιμεν. λέγεται δὲ ἀπὸ τοῦ ἀποβῶ ἀποβάθρα,

οὐκ ἀπὸ τοῦ ἀποβαίνω, ὥςπερ ἀπὸ τοῦ κρεμῶ κρεμάθρα καὶ ἁλινδῶ ἁλινδήθρα.

Ἀλλογνοεῖν καὶ ἠλλογνόρυν: τὸ μὴ σαφῶς τι γνωρίζειν, ὡς ἀμφιγνοεῖν καὶ ἠμφιγνόσυν.

Ἁπαλὸς εἴςπλους λιμένος: ὥςπερ Ὅμηρος τοὺς δυςόρμους λιμένας τραχεῖς λέγει, οὕτω Κρατῖνος ἐπὶ τῶν εὐόρμων τὸ ἁπαλὸν ἐκ τοῦ ἐναντίου εἶπεν. 5

Ἄιδειν ὅμοιον: σημαίνει τὸ μάτην λέγειν. τὸ γὰρ ᾄδειν ἐπὶ τοῦ μάτην λέγειν.

Ἀγκαλίδες ξύλων: τὸ πλῆθος δηλοῦται, ὅσον ἄν τις ἀγκάλαις περιλάβοι. 10

Ἀμνηστῶν καὶ ἀμνήστος: ἑκατέρῳ χρῷ.

Ἀπονυχίζεσθαι τοῦ ὀνυχίζεσθαι Ἀττικῶς διαφέρει· τὸ μὲν γὰρ σημαίνει τὸ τοὺς ὄνυχας ἀφαιρεῖσθαι, τὸ δὲ ὀνυχίζειν καὶ ἐξονυχίζειν ἐπὶ τοῦ ἐρευνᾶν ἀκριβῶς καὶ ἐξετάζειν τὸ ὑποκείμενον πρᾶγμα. Κρατῖνος μέντοι τὸ ὠνυχισμένον ἐπὶ τοῦ τετμημένου τοὺς ὄνυχας τέθεικεν. 15

Αὔεσθαι πῦρ καὶ ἐναύεσθαι: Ἀριστοφάνης αὐόμενος, Κρατῖνος ἐναύεσθαι. 20

Ἀπορθοῦν πόλιν ἢ οἰκίαν: σημαίνει μὲν τὸ διοικεῖν ὀρθῶς, μετενήνεκται δὲ ἀπὸ τῶν ἀπορθούντων τὰς ναῦς τοῖς οἴαξιν.

Ἀγαθῶν πάντων ἐπινένηται ἡ τράπεζα: ἀντὶ τοῦ ἐπισεσώρευται, μεμέστωται. 25

Ἀνήνυτος πόνος: ὁ πολὺς καὶ ὃν οὐχ οἷόν τε διανύσαι.

Ἀψευδοῦντες: Ἀριστοφάνης.

Ἀνίερος τύχη: ἡ οὐκ εὐτυχὴς οὐδ' ἀγαθή.

Ἀρχαῖος: ὁ εὐήθης. οὕτω Φερεκράτης. 30

Ἄνεμος καὶ ὄλεθρος ἄνθρωπος: Εὔπολις.

Ἀθέως διέφθαρται: ἀντὶ τοῦ δεινῶς καὶ ἀπαραιτήτως. Σοφοκλῆς:

. . . . . τῆς δὲ γῆς
ὧδ' ἀθέως διεφθαρμένης·
οἷον μηδενὸς θεῶν ἐπικουρίας παρούσης.

Ἀσπάζεσθαι καὶ προσαγορεύειν ἐπὶ τοῦ αὐτοῦ τιθέασιν. 5

Ἀναχωρεῖν ἐπὶ σκέλος: τὸ μὴ στρέψαντα τὰ νῶτα ἀλλ' ἀντιπρόσωπον τῶν ἀντιπάλων φεύγειν καὶ ὑποχωρεῖν εἰς τοὐπίσω.

Ἄμαχον τὸ κακόν: ὑπερβολικῶς, πρὸς ὃ οὐκ ἄν τις μαχέσαιτο. 10

Ἀνακαλλύνειν: τὸ σαίρειν, ὃ καὶ ἀνακορεῖν. ἐξ οὗ καὶ κάλλυντρον καὶ κόρημα τὸ σάρον.

Ἄστρωτον: τὸ μὴ ἐστρωμένον, ἐν ᾧ τις καθευδήσει.

Ἀνθρωπίσκος φαῦλος: οἷον ὁ ἁπλοῦς καὶ μηδὲν ποικίλον ἔχων. τὸ μέντοι ἀνθρωπίσκος ἐπὶ καταφρονήσεως τίθεται. 15

Ἀνύειν: δασύνουσιν οἱ Ἀττικοί. καὶ δῆλον ἐκ τῆς συναλοιφῆς· καθήνυσαν γάρ.

Ἀσύφηλος ὕβρις: ἡ μετὰ ἀμαθίας καὶ ἀτιμίας.

Ἄμισθος: Σοφοκλῆς· 20

ἄμισθος ὁ ξένος πορεύεται.

Ἄπυρον πινακίσκον: καινόν, μήπω πυρὶ προσεννενεγμένον.

Ἀλεαίνοιμι: ἀντὶ τοῦ ἀλεαινοίμην. ἐνεργητικὸν ἀντὶ παθητικοῦ. 25

Αὐλὴ πρόσειλος: ἡ πρὸς τὸν ἥλιον τετραμμένη. καὶ τέγος πρόσειλον.

Ἀλλόκοτον: σημαίνει μὲν κυρίως τὸ παρηλλαγμένον τῆς καθεστώσης διαίτης καὶ τρόπου, πεποίηται δὲ παρὰ τὸν κότον, ὃ σημαίνει τὴν ὀργὴν καὶ μανίαν καὶ παραπληγίαν. ὁ οὖν ἄλλοτε ἄλλως ἄλλο τε ἄλλοις κοτῶν ἀλλόκοτος ἂν καλοῖτο. Πλάτων ἐν Νόμοις· οἱ μέν γε διὰ πνεύματά γε καὶ διειλήσεις ἀλ- 30

λόκοτοί εἰσι καὶ ἐναίσιοι αὐτῶν. τὸ γὰρ ἐναίσιοι αὐτῶν δηλοῖ οἷον οἱ γενόμενοι ἐν αἴσῃ καὶ μοίρᾳ τινί. κυρίως μὲν οὖν οἱ τὸν νοῦν βεβλαμμένοι καὶ ἔμπληκτοι ἀλλόκοτοι καλοῦνται· ἤδη δὲ καὶ ἐπὶ τῶν τὰ σώματα παρὰ φύσιν διακειμένων. Κράτης δ' ἐπὶ ὀνείρατος ἠλλαγμένου καὶ τερατώδους. 5

Ἀχθεινόν καὶ ἀχθειγά: τὰ ἀνιαρά. καὶ ἀχθηδὼν ἡ λύπη.

Αὐθέντης: ὁ αὐτόχειρ. ὃ σύγκειται παρὰ τὸ εἶναί, ὅπερ ἐστὶν ἀφεῖναι, καὶ παρὰ τὸ αὐτός, οἷον ὁ ἀφεὶς ξίφος ἢ ἄλλό τι πρὸς τὸ ἀποκτεῖναί τινα. Σοφοκλῆς δὲ λύσας τοὔνομα αὐτοέντης εἶπεν. ἔρτι δὲ πολιτικώτερον τὸ αὐθέντης. 10

Ἀναζέσαι καὶ ἀνάζεσον: σεῦτλα ἢ κρέα ἢ ἄλλο τι. οἱ δὲ ζέσαι καὶ ζέσον λέγουσιν. 15

Ἀγριωθείς: καὶ οὐκ ἀγριανθείς. καίτοι τὸ ἀγριαίνομαι καὶ ἀγριαίνεσθαι καὶ ἐξαγριαίνεσθαι Ἀττικῶς.

Ἀνεψιαδῆ: ὅμοιόν ἐστι τῷ ἀδελφιδῆ. ἀνεψιοῖ καὶ ἀδελφοῦ θυγάτηρ.

Ἁρμογή: μουσικὸν τοὔνομα, τιθέμενον ἐπὶ τῶν ἁρμόσεων, ἃς ποιοῦνται οἱ μουσικοί, ἐπειδὰν ἐξ ἁρμονίας εἰς ἑτέραν ἁρμονίαν μετίωσι, φέρε ἐκ Δωρίων εἰς Ὑπιώνια, ἢ ἐκ Φρυγίων εἰς Ὑπερμιξολύδια, ἢ ὅλως ἔκ τινος τόνου εἰς ἕτερον τόνον· οὐ ταὐτὸν οὖσα ἡ ἁρμογὴ τῇ μεταβολῇ. ἡ μὲν γὰρ μεταβολή ἐστιν ἐξ ὁμοίου τόνου εἰς ἀνόμοιον μετάβασις, οἷον εἴ τις ἐν ἑνὶ ποιήματι ἢ κρούματι τὴν μελοποιίαν, τυχὸν Δώριον οὖσαν, Ὑποδώριον ποιεῖ, μιγνὺς τῇ Δωρίῳ τὴν Ὑποδώριον. ἁρμογὴ δέ ἐστιν, ὅταν αὐλήσας τὸν Φρύγιον τόνον, καὶ ἐκτελέσας τό τε ᾆσμα καὶ τὰ κρούματα τελέως, μεθαρμόττηται εἰς ἕτερον τόνον, Ὑποφρύγιον ἢ Λύδιον ἢ τινα τῶν τρισκαίδεκα ἁρμονιῶν. δύναται δ' ἂν καὶ ἡ μεταβολὴ ἁρμογὴ καλεῖσθαι. 20 25 30

Ἀπαλοᾷν: διὰ τοῦ π̄ γράφοντες οἱ Ἀττικοὶ δῆλον ποιοῦσιν, ὅτι καὶ τὴν ἅλως καὶ τὴν ἀλωὰν ψιλοῦσι. καὶ ἀλοάσουσι δέ, διὰ τοῦ ᾱ, ἀλλ᾽ οὐχὶ διὰ τοῦ η̄. σημαίνει δὲ τὸ ἀλοᾷν καὶ τὸ ἐπιτρίβειν τύπτοντα. ἔνθεν καὶ πατραλοίας καὶ μητραλοίας ὁ τὸν πατέρα καὶ τὴν μητέρα ἀλοῶν, ὅ ἐστι τύπτων καὶ ἐπιτρίβων. 5

Ἄπεφθον: διὰ τοῦ π̄ μὲν ἐκφέρουσιν, ὅμως δὲ δασύνουσι τὸ ἕφθόν. ἡ δὲ αἰτία, ὅτι τραχὺ ἔδοξεν αὐτοῖς πρὸ τοῦ φ̄ καὶ τοῦ θ̄, τῶν δασέων, ἔτι τὸ φ̄ παρενθεῖναι. οὕτω καὶ τὸ ἀπηχές ἔχει, καὶ τὸ ἀντήλιον καὶ τὸ ἀπηλιώτης καὶ τὸ ἀπηθην. ὅθεν καὶ ἕπτυσχλοι ὤφειλε διὰ τοῦ φ̄ καὶ θ̄· καὶ γὰρ τὸ ὕσχλος δασύνεται. ἔστι δὲ τῶν ὑποδημάτων, ὅθεν οἱ ἱμάντες ἐξάπτονται πρὸς τὸ συνέχειν τὸν πόδα· ἡ δὲ ἕπτυσχλος εἶδός ἐστιν ὑποδήματος. καὶ τὸ ἀπηχία διὰ τοῦ π̄· σημαίνει δὲ μῖσος καὶ ἔχθραν, οἷον ἡ ἀπηχοῦσα καὶ ἀπᾴδουσα δι᾽ ἀναρμοστίαν. καὶ τὸ ἀμπίσχου καὶ ἀμπίσχες. 10 15

Αἰνίγματα συμβάλλειν: τὸ λύειν καὶ συνιέναι.

Ἀνεσκιρτημένας: Εὔπολις ἐπὶ τῶν αἰγῶν εἶπε τὴν λέξιν. 20

Ἀφηγεῖσθαι: τὸ διηγεῖσθαι σαφῶς.

Αἱμοῤῥυής: χρῶ.

Αὐτὰ καὶ τὰ φίλτατα: ἐπὶ τῶν φιλτάτων θήσεις, οἷον αὐτοὶ οὓς ἐβουλόμην καὶ οἱ φίλτατοι. παροιμία ἐστίν. ἡ φράσις Ἀττική. 25

Ἀπέσβησε πῦρ: ὁμοίως καὶ λύχνον. διὰ τοῦ η̄, οὐ διὰ τοῦ ε̄.

Ἄκος περίαπτον: Ἀττικῶς εἴρηται κατὰ σύνθεσιν τοῦ ἄκος. τὸ δὲ περίαπτον κατὰ μόνου καθωμίληται. 30

Ἀναφαλαντίας: οὐχ ὁ φαλακρός, ἀλλ᾽ ὁ ἀρχόμενος ἀποφαλακροῦσθαι.

Ἀγρο-

Ἀγροβόας ἀνήρ: ὁ ἀγροίκως φθεγγόμενος καὶ οὐκ ἐμμελῶς. χρῶ ἐπὶ τῶν ἀηδῶν καὶ μεγαλοφώνων.

Ἀπομάθοις, ἀπομαθέτω, ἀπόμαθε: σημαίνει δὲ τὸ ἐπιλαθέσθαι, ἅ τις ἔμαθεν.

Ἀντριάδες: νύμφαι. ὡς αἱ ἐν τοῖς νάμασι διατρίβουσαι Ναΐδες, καὶ ἐν τοῖς ὄρεσιν ὀρεστιάδες, καὶ ἁμαδρυάδες, καὶ αἱ περὶ τὰς νομὰς τῶν τετραπόδων ἐπιμηλίδες, ὅτι μῆλα ἅπαντα τὰ τετράποδα καλοῦσιν οἱ ἀρχαῖοι. 5

Ἀποψύχεσθαι: ἀναπαύεσθαι ψυχάζοντας, ὅπερ ποιοῦσιν οἱ ἐξ ὁδοῦ καὶ καύματος ἀναψυχόμενοι. 10

Ἄδηλος γνώμη: ἡ ἀφανής.

Ἀνυπόδητος: διὰ τοῦ η̄, οὐ διὰ τοῦ ε̄.

Ἄφοῦ: οἷον ἀπαλλάγηθι καὶ μὴ ἔχου. ὁ τόνος ἐπὶ τέλους. καὶ ἀφέσθαι τὸ ἀπαρέμφατον, ὅμοιον τῷ θοῦ θέσθαι. τὰ γὰρ παροξύτονα τὸ ἄφου, ὡς τὸ πρόου καὶ μέθου καὶ ἄφου. 15

Ἄβαξ: ξύλινόν τι σκεῦος, παραπλήσιον τοῖς δίσκοις.

Ἀνήγρετο ἐξ ὕπνου καὶ ἐξήγρετο: Ἀττικῶς.

Ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον: ἀντὶ τοῦ δειλόν. 20

Ἄσβολος: θηλυκῶς λέγουσιν, Ἱππῶναξ δ' ἀρσενικῶς. τινὲς δὲ καὶ τὴν ἀσβολήν.

Αὐθέκαστα: τὸ τὰ κυριώτατα διὰ βραχέων καὶ τὰ ἀναγκαιότατα λέγειν, μὴ κύκλῳ βαδίζοντα καὶ περιτρέχοντα, αὐθέκαστα λέγειν ἐκάλεσαν οἱ ἀρχαῖοι. Μένανδρος ἐπὶ τοῦ πικροῦ καὶ ἀηδοῦς τέθεικε τὴν λέξιν: 25

πικροῦ γέροντος, αὐθέκαστον τὸν τρόπον.

Ἀσκεῖν καὶ ἀσκηταί καὶ ἀσκητικῶς: τὸ ἀγωνιστικῆς ἐπιμελείας τυγχάνειν ἀσκεῖν ἐστίν. Εὔπολις· 30

ἵππον κέλητ' ἀσκοῦντα θές,

οἷον ἀγωνιστήν. σημαίνει καὶ τὸ μετ' ἐπιμελείας τι κατασκευάζειν.

Ἀναῤῥῖψαι κίνδυνον: παρὰ τὸ ἀναῤῥῖψαι κύβον, περὶ τῶν ἀφειδῶς ἑαυτοὺς εἰς κινδύνους ἀφιέντων.

Ἄβουλος στάσις: Σοφοκλῆς.

Ἄψαυστος: ἐπὶ τοῦ μὴ θιγόντος μηδὲ ἁψαμένου. Σοφοκλῆς.

Ἅπαξ ἅπαντες: τοῦτο ἕν τί ἐστι κατὰ παράθεσιν. ἡ μέντοι πρώτη συλλαβὴ βαρυτονηθήσεται ἐν συνθέτῳ οὖσα.

Ἀνακτᾷ τόνδε: ἀντὶ τοῦ ἀναλαμβάνεις κεκμηκότα. οἱ δὲ ἀμαθεῖς προσθέσει τῆς σαι ἀνακτᾶσαι λέγουσι. δεῖ δέ, ὥςπερ γελῶμαι γελᾷ γελᾶται καὶ ἀναβοῶμαι ἀναβοᾷ ἀναβοᾶται, οὕτω καὶ ἀνακτῶμαι ἀνακτᾷ ἀνακτᾶται. ὅμοιον καὶ τὸ θεῶμαι θεᾷ καὶ ὁρῶμαι ὁρᾷ.

Αὐτόκρατον: ἐπὶ τοῦ ἀμιγοῦς καὶ ἀκεράστου καὶ ἀκράτου οἴνου. παρὰ γὰρ τοῖς πολλοῖς καθωμίληται τὸ αὐτόκρατον ἐπὶ τοῦ συμμέτρως κεκραμένου.

Ἀπαιδάγωγος: τὸ δὲ ἀπαιδαγώγητος καθωμίληται.

Ἀναφρόδιτον: τὸ ἔξω ἀφροδισίας χάριτος καὶ ὥρας.

Αὐτοκέλευστος: ὁ ἑκὼν πράττων καὶ οὐχ ὑπ᾽ ἄλλου κελευόμενος.

Ἀκοσμεῖν: τὸ μηδὲν ἐν τάξει ποιεῖν, ἀλλ᾽ ἀκολασταίνειν.

Αἱ τῶν γυναικῶν παγίδες: τοὺς κόσμους καὶ τὰς ἐσθῆτας, αἷς χρῶνται αἱ γυναῖκες καλλωπιζόμεναι, παγίδας εἶπεν Ἀριστοφάνης.

Ἀνέκαθεν: εὑρίσκεται ἐπὶ τόπου εἰρημένον, οὐκ ἐπὶ χρόνου, ὡς παρ᾽ Ἡροδότῳ.

Ἀπαλόχρως: διὰ τοῦ ω ἡ τελευταία, ἀλλ᾽ οὐ διὰ τῆς ου διφθόγγου.

Ἀργυροσκόπος καὶ ἀργυρογνώμων καὶ ἀργυραμοιβός: εἴρηται δὲ ἀργυρογνώμων μὲν παρὰ τὸ γνῶναι δύνασθαι δόκιμόν τε καὶ κίβδηλον ἀργύριον,

ἀργυροσκόπος δὲ παρὰ τὸ σκοπεῖν, ἀργυραμοιβὸς δὲ ὁ ἀμείβων ἀντὶ τοῦ ἀργυρίου κέρματα.

Ἀτύραννος πόλις καὶ δῆμος.

Ἀῤῥενοῦσθαι: τὰ ἀῤῥένων, ἀλλὰ μὴ τὰ γυναικῶν πράττειν. 5

Ἀποτῆξαι λιμῷ: οἷον ἀποκτεῖναι.

Ἄνανδρος γυνή: ἡ μὴ ἔχουσα ἄνδρα.

Ἁπλούστατος: τὸ μὲν ἁπλοῦς πολύ, τὸ δὲ ὀλίγον.

Ἀντισιωπᾷν: ἐν τῷ μέρει σιωπᾷν ἀκούοντας.

Ἀκάτια: τὰ τῶν ἀκατίων ἱστία. κυρίως μὲν σημαίνει 10 τὰ μικρὰ ἱστία, λέγεται δὲ καὶ ἐπὶ τῶν μεγάλων. ταύτῃ ἄρα καὶ τοὺς μικροὺς τὰ σώματα ἀκάτια λέγουσιν.

Ἀνίλλειν βιβλίον: οἱ μὲν ἄλλοι περισπῶσι τὴν λέξιν καὶ δι' ἑνὸς λ̄ γράφουσιν, οἱ δὲ Ἀττικοὶ παροξύνουσι 15 καὶ διὰ δυοῖν λ̄λ̄ γράφουσιν. οὕτω καὶ τὸ ἐξίλλειν.

Ἀτηρὸν κακόν: οἷον ἰταμὸν καὶ βλαβερόν.

Ἀνδρὸς εἶναι μοῖραν: ἀντὶ τοῦ ἄνδρα εἶναι, ὅπερ ἐπ' ἀρετῆς τίθεται.

Αὐτογνώμων ἄνθρωπος: ὁ τῇ αὐτοῦ γνώμῃ πάντα 20 πράττων καὶ μὴ πειθόμενος ἑτέρῳ.

Ἀπαρκτίας: μετὰ τοῦ τ̄, οὐκ ἀπαρκίας.

Ἀνδρόβουλος γυνή: ἡ ἀνδρὸς βουλεύματα βουλευομένη, ἀνδρὸς δὲ τοῦ κατ' ἔπαινον λεγομένου.

Ἀναῤῥιχᾶσθαι: πάνυ Ἀττικὴ ἡ φωνή. σημαίνει δὲ 25 τὸ τοῖς ποσὶ καὶ ταῖς χερσὶν ἀντεχόμενον ἀναβαίνειν, οἷον ἀνέρποντα. οἱ δὲ δύο ῥῥ γράφοντες ἁμαρτάνουσιν.

Ἀνισάζειν καὶ ἀνισῶσαι.

Ἀνασηκῶσαι: τὸ ἀντιθεῖναι καὶ ἀντιστῆσαι.

Ἀναχαιτίσαι: ἀνακόψαι εἰς τοὐπίσω. ἡ μεταφορὰ 30 ἀπὸ τῶν τοὺς ἵππους τῇ χαίτῃ ἀνακρουόντων, τοὺς ἀπὸ ῥυτῆρος τρέχοντας.

Ἀνεκάς: Ἀττικῶς. καὶ σημαίνει τὸ ἄνω.

Ἀναῤῥῖψαι κίνδυνον: παρὰ τὸ ἀναῤῥῖψαι κύβον, περὶ τῶν ἀφειδῶς ἑαυτοὺς εἰς κινδύνους ἀφιέντων.

Ἄβουλος στάσις: Σοφοκλῆς.

Ἄψαυστος: ἐπὶ τοῦ μὴ θιγόντος μηδὲ ἁψαμένου. Σοφοκλῆς.

Ἅπαξ ἅπαντες: τοῦτο ἕν τί ἐστι κατὰ παράθεσιν. ἡ μέντοι πρώτη συλλαβὴ βαρυτονηθήσεται ἐν συνθέτῳ οὖσα.

Ἀνακτᾷ τόνδε: ἀντὶ τοῦ ἀναλαμβάνεις κεκμηκότα. οἱ δὲ ἀμαθεῖς προσθέσει τῆς σαι ἀνακτᾶσαι λέγουσι. δεῖ δέ, ὥςπερ γελῶμαι γελᾷ γελᾶται καὶ ἀναβοῶμαι ἀναβοᾷ ἀναβοᾶται, οὕτω καὶ ἀνακτῶμαι ἀνακτᾷ ἀνακτᾶται. ὅμοιον καὶ τὸ θεῶμαι θεᾷ καὶ ὁρῶμαι ὁρᾷ.

Αὐτόκρατον: ἐπὶ τοῦ ἀμιγοῦς καὶ ἀκεράστου καὶ ἀκράτου οἴνου. παρὰ γὰρ τοῖς πολλοῖς καθωμίληται τὸ αὐτόκρατον ἐπὶ τοῦ συμμέτρως κεκραμένου.

Ἀπαιδάγωγος: τὸ δὲ ἀπαιδαγώγητος καθωμίληται.

Ἀναφρόδιτον: τὸ ἔξω ἀφροδισίας χάριτος καὶ ὥρας.

Αὐτοκέλευστος: ὁ ἑκὼν πράττων καὶ οὐχ ὑπ᾽ ἄλλου κελευόμενος.

Ἀκοσμεῖν: τὸ μηδὲν ἐν τάξει ποιεῖν, ἀλλ᾽ ἀκολασταίνειν.

Αἱ τῶν γυναικῶν παγίδες: τοὺς κόσμους καὶ τὰς ἐσθῆτας, αἷς χρῶνται αἱ γυναῖκες καλλωπιζόμεναι, παγίδας εἶπεν Ἀριστοφάνης.

Ἀνέκαθεν: εὑρίσκεται ἐπὶ τόπου εἰρημένον, οὐκ ἐπὶ χρόνου, ὡς παρ᾽ Ἡροδότῳ.

Ἀπαλόχρως: διὰ τοῦ ω ἡ τελευταία, ἀλλ᾽ οὐ διὰ τῆς ου διφθόγγου.

Ἀργυροσκόπος καὶ ἀργυρογνώμων καὶ ἀργυραμοιβός: εἴρηται δὲ ἀργυρογνώμων μὲν παρὰ τὸ γνῶναι δύνασθαι δόκιμόν τε καὶ κίβδηλον ἀργύριον,

ἀργυροσκόπος δὲ παρὰ τὸ σκοπεῖν, ἀργυραμοιβὸς δὲ ὁ ἀμείβων ἀντὶ τοῦ ἀργυρίου κέρματα.

Ἀτύραννος πόλις καὶ δῆμος.

Ἀῤῥενοῦσθαι: τὰ ἀῤῥένων, ἀλλὰ μὴ τὰ γυναικῶν πράττειν. 5

Ἀποτῆξαι λιμῷ: οἷον ἀποκτεῖναι.

Ἄνανδρος γυνή: ἡ μὴ ἔχουσα ἄνδρα.

Ἁπλούστατος: τὸ μὲν ἁπλοῦς πολύ, τὸ δὲ ὀλίγον.

Ἀντισιωπᾷν: ἐν τῷ μέρει σιωπᾷν ἀκούοντας.

Ἀκάτια: τὰ τῶν ἀκατίων ἱστία. κυρίως μὲν σημαίνει 10 τὰ μικρὰ ἱστία, λέγεται δὲ καὶ ἐπὶ τῶν μεγάλων. ταύτῃ ἄρα καὶ τοὺς μικροὺς τὰ σώματα ἀκάτια λέγουσιν.

Ἀνίλλειν βιβλίον: οἱ μὲν ἄλλοι περισπῶσι τὴν λέξιν καὶ δι' ἑνὸς λ̄ γράφουσιν, οἱ δὲ Ἀττικοὶ παροξύνουσι 15 καὶ διὰ δυοῖν λλ̄ γράφουσιν. οὕτω καὶ τὸ ἐξίλλειν.

Ἀτηρὸν κακόν: οἷον ἰταμὸν καὶ βλαβερόν.

Ἀνδρὸς εἶναι μοῖραν: ἀντὶ τοῦ ἄνδρα εἶναι, ὅπερ ἐπ' ἀρετῆς τίθεται.

Αὐτογνώμων ἄνθρωπος: ὁ τῇ αὐτοῦ γνώμῃ πάντα 20 πράττων καὶ μὴ πειθόμενος ἑτέρῳ.

Ἀπαρκτίας: μετὰ τοῦ τ̄, οὐκ ἀπαρκίας.

Ἀνδρόβουλος γυνή: ἡ ἀνδρὸς βουλεύματα βουλευομένη, ἀνδρὸς δὲ τοῦ κατ' ἔπαινον λεγομένου.

Ἀναῤῥιχᾶσθαι: πάνυ Ἀττικὴ ἡ φωνή. σημαίνει δὲ 25 τὸ τοῖς ποσὶ καὶ ταῖς χερσὶν ἀντεχόμενον ἀναβαίνειν, οἷον ἀνέρποντα. οἱ δὲ δύο ῥῥ̄ γράφοντες ἁμαρτάνουσιν.

Ἀνισάζειν καὶ ἀνισῶσαι.

Ἀνασηκῶσαι: τὸ ἀντιθεῖναι καὶ ἀντιστῆσαι.

Ἀναχαιτίσαι: ἀνακόψαι εἰς τοὐπίσω. ἡ μεταφορὰ 30 ἀπὸ τῶν τοὺς ἵππους τῇ χαίτῃ ἀνακρουόντων, τοὺς ἀπὸ ῥυτῆρος τρέχοντας.

Ἀνεκάς: Ἀττικῶς. καὶ σημαίνει τὸ ἄνω.

Ἀληλιμμένον: ἀναδιπλοῦντες λέγουσιν, ἀντὶ τοῦ ἠλειμμένον. οὕτω καὶ τὸ κατορώρυκτο καὶ τὸ κατορωρυγμένον, καὶ ὑφήφανται ἀντὶ τοῦ ὕφανται.

Ἀκροσφαλές: τὸ ἄκρως σφαλερὸν καὶ μὴ δυνάμενον ἐν ἀσφαλεῖ εἶναι. 5

Ἀγοράζειν: καὶ τὸ ὠνεῖσθαι καὶ τὸ ἐν ἀγορᾷ διατρίβειν.

Ἄνθρωπος τῶν ἀπὸ κώπης: σημαίνει οὖν τὸν ναύτην.

Ἀρτίχνους: ὁ ἄρτι τὸν χνοῦν ἀνιεὶς καὶ γενειάσκων. 10 χνοῦς γάρ ἐστιν ἡ πρώτη καὶ τρυφερωτάτη ἔκφυσις τῶν τριχῶν.

Ἀναγκόδακρυς: ὁ πρὸς ἀνάγκην δακρύων καὶ μὴ ἐκ πάθους τινὸς ἢ συμφορᾶς. Αἰσχύλος.

Ἀνοικτίρμων: ὁ ἀνηλεὴς καὶ ἀπαραίτητος. 15

Ἀτενὴς καὶ ἀτεράμνων ἄνθρωπος: ταὐτὸν ὁ ἀτενὴς τῷ ἀτεράμνων. τὸ μέντοι ἀτέραμνον κυρίως ἐπὶ τῶν δυσεψήτων ὀσπρίων τιθέασιν.

Ἀρτοπωλία: ἡ πρᾶξις αὐτή.

Ἄβολον κτῆνος: τὸ μὴ ἀποβεβληκὸς τοὺς ὀδόντας, 20 δι᾽ ὧν γνωρίζεται ἡ ἡλικία.

Ἀρύταινα: σκεῦός τι, ᾧ οἱ βαλανεῖς χρῶνται πρὸς τὸ παρέχειν, ἀπὸ τοῦ ἀρύεσθαι, ὅ ἐστιν ἀπαντλεῖν.

Ἄωρα πράττειν: τὸ παρ᾽ ὥραν καὶ παρὰ καιρόν τι πρᾶξαι. 25

Ἀγεωργίου δικάζεσθαι: ὡς λειποταξίου. σημαίνει δὲ τὸ ἐπειδάν τις, χωρίον παραλαβών, ἀγεώργητον καὶ ἀνέργαστον ἐάσῃ, ἔπειθ᾽ ὁ δεσπότης δικάζηται τῷ παραλαβόντι.

Ἀμήρυτοι λόγοι: οἱ ἀνήνυτοι καὶ ἄπαυστοι καὶ μηδὲν πέρας ἔχοντες. μηρύεσθαι γάρ ἐστι τὸ ἔρια κατάγειν ἢ ἐξ ἀτράκτου ἤ τινος ἄλλου. 30

Ἀνωμοτί: ἄνευ ὅρκου καὶ τοῦ ὀμόσαι.

Ἀπομύξαι λύχνον.

Ἀδρῦναι: ἁδρὸν ποιῆσαι καὶ μέγαν.

Ἀπώμοτον πρᾶγμα: ὃ ἄν τις ἀπομόσειε μὴ ἂν γενέσθαι.

Ἀνθρήνιον: τὸ τῶν μελιττῶν κηρίον. καὶ ἀνθρῆναι αἱ μέλισσαι. 5

Ἀνυπήλιφος ναῦς: ἡ μὴ ὑπαληλιμμένη. αἱ δὲ νῆες ὑπαλείφονται, ἐπειδὰν μέλλωσι καθέλκεσθαι [τοῦ νεωλκεῖσθαι].

Ἀξιοπενθής: ὃ ἄξιος τοῦ δι᾽ ἀρετὴν πενθεῖσθαι. 10

Ἀμυχαί: τὰ καλούμενα ὑπὸ πολλῶν κνίσματα.

Ἀνδρεράστρια γυνή: ἡ ἐπιμαινομένη ἀνδράσιν, ἢ ἐρῶσα ἄλλου καὶ ἄλλου.

Ἀνθρωπικὸς μῦθος: ὁ περὶ ἀνθρωπείων πραγμάτων.

Ἀθήρ: ἡ ἀκμὴ τοῦ ἠκονημένου σιδήρου, ἀπὸ τοῦ ἀθέρος, ὅ ἐστιν ἀστάχυος τὸ ἄκρον καὶ λεπτότατον, παρ᾽ ὃ τὸ ἀθηρηλοιγόν καὶ ἀθερίζειν. 15

Ἀειλογία: δόκιμον. τὸ δ᾽ ἀειλογεῖν καὶ τὰ ὅμοια ἀδόκιμα.

Ἀνοητία: ὡς νουθετία, μοιχοληπτία, φιλοποτία, λυχνοκαυτία, ἀθλοθετία, ἀκρατία. 20

Αἰσχροποιός: ἡ αἰσχρὰ ποιοῦσα καὶ αἰσχύνης ἄξια.

Ἀτοπίας πλέως ἄνθρωπος: χρῶ.

Ἄιδειν ἀλεκτρυόνας: Ἀττικῶς. τὸ δὲ κοκκύζειν κωμικοὶ λέγουσιν. 25

Αἰκάλλοντες: σημαίνει τὸ σαίνοντες, ὅπερ οἱ κύνες ποιοῦσιν. ὁ μέντοι Σοφοκλῆς καὶ προσσαίνειν. χρῶ οὖν, εἰ μὲν φιλοτίμως, τῷ αἰκάλλειν, εἰ δὲ πολιτικῶς, τῷ προσσαίνειν.

Ἀδολεσχεῖν καὶ ἀδολέσχης: σημαίνει μὲν τὸ φιλοσοφεῖν περί τε φύσεως καὶ τοῦ παντὸς διαλεσχαίνοντα. λεσχαίνειν δ᾽ ἐστὶ τὸ διαλέγεσθαι, καὶ λέσχαι οἱ τόποι, εἰς οὓς συνιόντες διημέρευον. λέγεται δὲ τὸ 30

ἀδολεσχεῖν ἤτοι ἀπὸ τοῦ ἄδην καὶ λεσχηνεύειν. ἀλλ' εἰ μὲν ἀπὸ τοῦ ᾄδειν, προσγράφου τὸ ι ἐν τῷ ἀοιδολέσχης· εἰ δὲ ἀπὸ τοῦ ἀηδοῦς, οὕτως. οἱ γὰρ Ἴωνες τὴν ἀηδίαν συναλείφοντες τρισυλλάβως γράφουσι, διὸ καὶ ἐξετάθη.

Ἄκυλος: ὁ τῆς πρίνου καρπός. ὑῶν δ' ἐστὶ σιτία.

Ἀκρόδρυα: οἱ καρποὶ τῶν δένδρων. δρύας δὲ πάντα τὰ δένδρα ἐκάλουν.

Ἀνθοσμίας οἶνος: ὁ ἡδὺς καὶ εὐώδης.

Ἀναβῆσαι: τὸ ποιῆσαί τινα ἀναβῆναι.

Αἰρόπινον: κόσκινον. πῖνος γάρ ἐστιν ὁ ῥύπος καὶ πιναρόν τὸ ῥυπαρόν. αἰρόπινον οὖν τὸ κόσκινον τὸ τὰς αἴρας, ὅπερ ἐστὶ ῥύπος τῶν πυρῶν, καθαίρων.

Ἀπέρατον: ἐκτείνουσι τὸ ᾱ. λέγεται δὲ καὶ ἀπέραντον, μετὰ τοῦ ν.

Ἀεὶ ζῶν: πᾶν τὸ ἀεὶ ζῶν. τοιοῦτον καὶ τὸ ἀείνων καὶ τὸ ἀένναον. ὡς τὸ σῶος σῶς, καὶ ζωός ζῶς· καὶ ζῶν ἡ αἰτιατική.

Ἀχρήμων: ὁ μὴ ἔχων χρήματα.

Ἀγωγεύς: ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν, ᾧ ἐπάγονται ὑπὸ τῶν κυνηγετῶν. Στράττις δὲ τὸν ἵππου ἱμάντα, ᾧ ἐφέλκεται καὶ ἐπάγεται, ἀγωγέα λέγει.

Ἀρτοποπήν: οὕτως Ἀττικοί, διὰ τοῦ π.

Ἀπὸ στόματος λέγειν καὶ ἀπὸ γλώσσης: τὸ δι' ἐντολῶν καὶ οὐ δι' ἐπιστολῆς.

Ἄβατος ὁδός: ἣν οὐχ οἷόν τε βαίνειν καὶ ὁδοιπορεῖν.

Ἀκροᾶσθαι: τὸ ὑπακούειν καὶ ὑποτετάχθαι.

Ἁλμαίαν: τὴν ἅλμην· ὡς Ἀθηνᾶ Ἀθηναία, πύλη πυλαία, ὥρα ὡραία.

Ἀρχαϊκὰ φρονεῖν: ἀντὶ τοῦ εὐήθη καὶ μωρὰ φρονεῖν· τὸ γὰρ ἀρχαῖον ἐπὶ τοῦ εὐήθους. ἔλεγον δὲ τοὺς ἀρχαίους καὶ Κρόνους καὶ Κόδρους.

Αἴτνη ἄνθρωπος: εἴ τις βούλοιτο ἀποσκῶψαί τινα

εἰς πολυφαγίαν καὶ ἀπληστίαν καὶ ἀδηφαγίαν. εἴρηται ἀπὸ τῶν ἐν τῇ Αἴτνῃ κρατήρων τοῦ πυρός· τὸ δὲ πῦρ ἀναλωτικὸν καὶ δαπανηρόν.

Ἀκραιφνὲς ὕδωρ: τὸ ἀμιγὲς καὶ καθαρὸν ἑτέρας ἐπιῤῥοῆς. 5

Ἀνάῤῥημα: τὸ κήρυγμα. σεμνὸν πάνυ.

Ἀκταινῶσαι: σημαίνει μὲν τὸ ὑψῶσαι καὶ ἐπᾶραι καὶ μετεωρίσαι, εἴρηται δὲ ἀπὸ τῆς ἀκτῆς; τοῦ φυτοῦ, ἀφ᾽ οὗ τὰ ἀκόντια τέμνεται. καὶ ἐπεὶ τὰ ἀκόντια εἰς ὕψος αἴρεται ἀφιέμενα, διὰ τοῦτο καὶ ἐπὶ παντὸς 10 ὑψουμένου καὶ πηδῶντος μεθ᾽ ὁρμῆς ἐτέθη τὸ ἀκταινῶσαι. Αἰσχύλος οὐκέτ᾽ ἀκταίνω φησί, βαρυτόνως, οἷον οὐκέτι ὀρθοῦν δύναμαι ἐμαυτήν. Πλάτων ἐν τῷ Φαίδωνι ὡς ἀπὸ περισπωμένου.

Ἀκρατίσασθαι: τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου. 15 Ἀριστοφάνης· ἀκρατιοῦμαι μικρόν. τέσσαρας μέντοι τροφὰς οἶδεν ὁ ποιητής, τὴν ἑωθινήν, ἣν καὶ ἄριστον καλεῖ· . . .· τρίτην τὴν δειελινήν·

ἔσσεται οὕτως, ἄττα· σὺ δ᾽ ἔρχεο δειελιήσας.

δείλην γὰρ καλοῦσιν οἱ Ἀττικοὶ τὸ περὶ τὴν ἑνάτην 20 καὶ δεκάτην ὥραν, παρὰ τὸ ἑνδεῖν τὴν ἕλην· ἣν καὶ διαιροῦντες δεῖλην καλοῦσι. τὴν δὲ τετάρτην δόρπον καλεῖ. ὁ δὲ Αἰσχύλος τρεῖς οἶδεν, ἀφελὼν τὴν δειελινήν. οἱ δ᾽ Ἀττικοὶ τὴν μὲν ἑωθινὴν ἀκράτισμα, τὴν δὲ περὶ μεσημβρίαν ἄριστον, τὴν δὲ περὶ ἑσπέραν 25 δεῖπνον, ἐξαιροῦντες τὴν δειελινήν.

Ἀμεταχείριστα: τὰ καινά, ἃ ἂν οὐδεὶς μεταχειρίσαιτο.

Ἀντιβολία: ἡδὺ καὶ σεμνόν. σημαίνει δὲ καὶ ἱκετείαν.

Ἀμφαξονεῖν: τὸ περινεύειν εἰς θάτερον μέρος, ὅπερ 30 ἔστιν ἰδεῖν ἐπὶ τῶν ἁμαξῶν τῶν κλινομένων εἰς θάτερον μέρος.

Ἀνάδικος δίκη: ἡ δεδικασμένη, εἶτα πάλιν εἰσαγομένη.

Ἀπὸ ῥυτῆρος τρέχειν ἵππον: οἷον ἀπὸ χαλινοῦ ἢ ἄνευ χαλινοῦ.

Ἀπονίψασθαι τὼ χεῖρε καὶ ἀπονίψασθαι τὼ πόδε.

Ἄῤῥατον: τὸ ἰσχυρόν, κατὰ ἀπόφασιν τοῦ ῥαῖσαι, οἷον ἀδιάφθορον.

Ἀπιστεῖν: ἐπὶ τοῦ μὴ πείθεσθαι.

Ἀσφάραγος: διὰ τοῦ φ. βοτάνης εἶδος ἀσφάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. οἱ δὲ πολλοὶ τὰ ὄρμενα τῶν λαχάνων διὰ τοῦ π ἀσπαράγους καλοῦσι, δυσὶ περιπίπτοντες ἁμαρτήμασιν, ὅτι τε διὰ τοῦ π λέγουσι, δέον διὰ τοῦ φ, καὶ ὅτι τὸ ἰδίως καλούμενον ἐπί τινος πόας ἐπὶ πάντων τῶν ἐξορμενιζόντων λαχάνων τίθενται.

Ἀσκωλιάζειν καὶ ἀσκωλίζειν: σημαίνει τὸ ὥςπερ ὑπὸ σκώλου πεπληγμένον ἐφ᾽ ἓν σκέλος ἅλλεσθαι.

Ἀσκαρίζειν: σκαίρω τὸ συνεχῶς κινοῦμαι. ἐξ οὗ παράγωγον σκαρίζω, ὡς στένω στενάζω. καὶ ὡς σκαλίζω ἀσκαλίζω κατὰ πρόςθεσιν τοῦ ᾱ, οὕτω σκαρίζω ἀσκαρίζω.

Ἀρωματοπῶλαι: δόκιμον.

Ἀωροθάνατος: ὁ πρὸ τῆς καθηκούσης ὥρας ἀποθανὼν ἀνὴρ καὶ γυνή.

Ἀστρατηγία: ἀντὶ τοῦ ἀναρχία.

Ἀῤῥήκτως ἔχειν: οἷον ἀσφαλῶς καὶ ἀδιαλύτως.

Ἀνεμοφόρητον: ἀντὶ τοῦ ἀβέβαιον καὶ ἀστάθμητον, οὗ οὐκ ἔστιν ἐφικέσθαι. Ὅμηρος ἀνεμώλιον αὐτὸ καλεῖ.

Ἀσωτεῖον: σημαίνει τὸν τόπον, ἔνθα οἱ ἄσωτοι διατρίβουσιν.

Ἀμφήμερος πυρετός: ὃν ἀμφημερινὸν οἱ ἰατροί.

Ἁμαξιαῖα χρήματα: μεγάλα, ἃ φέροι ἂν ἅμαξα, οὐκ ἄνθρωπος ἢ ὑποζύγιον. καὶ ὁ ποιητής:

οὐδ' ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.

οὐκ ἔστι ταῦτα πολιτικά, τῷ μέντοι ποιητῇ δίδοται λέγειν.

Ἄπιστόν με τιθεῖς: ἀντὶ τοῦ εἰς ἀπιστίαν με ἄγεις.

Ἀνωφρυασμένος ἄνθρωπος: σημαίνει τὸν ἀποσεμνύνοντα ἑαυτόν· τοιοῦτοι γάρ εἰσιν οἱ τοῦτον τὸν τρόπον διακείμενοι, ὡς τὰς ὀφρῦς ἀνατείνειν. λέγουσι δὲ τοὺς τοιούτους καὶ τοξοποιεῖν τὰς ὀφρῦς καὶ ἀνέλκειν καὶ ὠφρυῶσθαι.

Ἀπρόςοδος βίος: ᾧ οὐδεὶς πρόςειςιν, ἀλλ' ἔρημος.

Ἁπλᾶ, διπλᾶ, τριπλᾶ καὶ τὰ ὅμοια περιςπῶςιν. ὑποπίπτει γὰρ τῇ Ἰωνικῇ διαιρέςει, οἷον διπλόα διπλᾶ, καὶ τὰ ὅμοια.

Ἄδουλος βίος: ὁ μὴ δουλεύοντα ἔχων.

Ἀπωλεςίοικον μειράκιον: τὸ ἀκόλαςτον καὶ ἀπολλύον δι' ἀςωτίαν τὸν ἴδιον οἶκον.

Ἁρπαξομίλης: ὁ ἁρπάζων τὰς ἀφροδιςίους ὁμιλίας καὶ ῥᾳδίως διακορὴς γινόμενος.

Ἀνήδομαι ἐφ' οἷς ἥςθην: ἀντὶ τοῦ οὐκέθ' ἥδομαι. Ἕρμιππος·

. . . χἃ τόθ' ἥςθην, ταῦτα νῦν ἀνήδομαι,

ἀντὶ τοῦ καὶ τὴν ἐπ' ἐκείνοις γεγενημένην ἀπορρίπτω καὶ ἀποτίθεμαι ἡδονήν.

Αὐθιγενής: Ὅμηρος ἰθαγενής. σημαίνει δὲ τὸν γνήςιον καὶ μὴ ἀλλοδαπὸν μηδὲ νόθον.

Ἀπολοπίζειν: διὰ τοῦ ο τὴν τρίτην, οὐ διὰ τοῦ ε.

Ἀνδρὸς ἀγαθοῦ πειςθείς: λείπει ἔθει Ἀττικῷ ἡ ὑπό πρόθεςις.

Ἀνταποπαίζειν: ὅταν τις παίζων ἀςτραγάλοις ἢ ψήφοις ἢ καρύοις, ἢ κυβεύων ἐπ' ἀργυρίῳ, νικήςῃ, εἶτ' αὖθις νικᾶται, ἃ ἐνίκηςεν.

Ἀπειλήματα: τὰς ἀπειλάς. ὡς ἐπιθυμήματα τὰς ἐπιθυμίας.

Ἀποστοματίζειν: τὸ ἀπὸ στόματος ἐρωτωμένους ἐν διδασκάλου ἢ γλώσσας ἢ ἄλλο τι τῶν μαθημάτων λέγειν.

Ἄτροφοι καὶ ἀνάγωγοι καὶ λακτισταὶ ἵπποι: Ξενοφῶν.

Ἀγγελικὴ ῥῆσις: αἱ τῶν ἀγγέλων ἐν ταῖς τραγῳδίαις ῥήσεις.

Ἀνταίρειν: ἀντανίστασθαι. Δημοσθένης.

Ἀναμαντεύεσθαι: σημαίνει τὸ τὰ μαντευθέντα ἅπαξ πειρᾶσθαι ἀμάντευτα ποιεῖσθαι. 1

Ἄδωρος χάρις: ἡ μὴ ἐπὶ τέλους ἐλθοῦσα δωρεά.

Ἀποψύχει: ὃ οἱ πολλοὶ καταψύχειν λέγουσιν, ὅταν τὸ καῦμα λήγῃ καὶ εἰς ψύχος τρέπηται. Πλάτων ἐν Φαίδρῳ· ἐπειδὰν ἀποψύχῃ, ἄπιμεν.

Αἰσχροεπεῖν: αἰσχρολογεῖν. 1

Ἀνηλέητος καὶ ἀνηλεής.

Ἀφρίζειν καὶ ἀναφρίζειν.

Ἀμφιλαφὲς δένδρον: τὸ μέγα καὶ δαψιλές.

Ἀποτραχύνου: ἀντὶ τοῦ τραχύνου καὶ χαλέπαινε.

Ἀνακύψαι ἐκ νόσου. 2

Ἀλίπαστα: οἱ μὲν πολλοὶ ἁπλῶς τὰ ταρίχη, οἱ δ' ἀρχαῖοι τὰ ἁλσὶ πεπασμένα.

Ἀνακεῖσθαι: τὸ κατακεῖσθαι.

Ἀπαιθριάζειν: τὸ καθαρὸν καὶ αἴθριον τὸν ἀέρα ποιεῖν. 2

. . . . τί γὰρ ὁ Ζεὺς ποιεῖ;
ἀπαιθριάζει τὰς νεφέλας.

Αὐλία θύρα: ἡ τῆς αὐλῆς.

Ἁγαγνίσαι: ἀντὶ τοῦ ἁγιερῶσαι καὶ ἀναθεῖναι ἁγίῳ.

Ἀναισχυντῆσαι: ἀντὶ τοῦ ἀναιδῶς πρᾶξαι. 3

Ἀσκεῖν κακά: κατὰ τῶν ὑπερβαλλόντων κακίᾳ.

Ἀποψᾶσθαι: τὸ ἀπομάττεσθαι τὴν ἕδραν μετὰ τὸ ἀποπατῆσαι.

Ἀπόῤῥησις: ἡ μὲν συνήθεια τὴν ἀπαγόρευσιν οὕτω λέγει· Πλάτων δὲ ἀντὶ τοῦ ῥῆσις αὐτὸ ἐν τῇ πολιτείᾳ τέθεικεν, εἰπών, καὶ τότε τὴν ἀπόῤῥησιν τοῦ Θρασυμάχου οὐκ ἀπεδέξατο.

Ἀπαγωγή: δηλοῖ μὲν καὶ ἑτέρα, λέγεται δὲ οὕτω καὶ ἡ ἀποδιοπόμπησις. ἐπαγωγὴ δ' ἐστὶ κατάδεσμοι καὶ τοιαῦται γοητεῖαι φαρμάκων καὶ ἐπαοιδῶν καὶ δαιμόνων προτροπαί. 5

Ἄρχων: τὴν κλητικὴν διὰ τοῦ ω Ἀττικοί.

Ἀνταναγνῶναι: χρήσιμον, οὐκ ἀντιβαλεῖν οὐδ' ἀντεξετάσαι. 10

Ἄπο καιροῦ λέγειν: τὸ ἀκαίρως.

Ἀνασπᾶν βούλευμα καὶ ἀνασπᾶν γνωμίδιον.

Ἀνασχινδαλευθῆναι: διὰ τοῦ χ Πλάτων, ἄλλοι δὲ διὰ τοῦ κ. 15

Ἀνήρηκεν: οὐχ ὡς οἱ νῦν ἀντὶ τοῦ ἀπέκτεινεν, ἀλλ' ἀντὶ τοῦ ἐκποδὼν πεποίηκεν, οὕτω καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας.

Ἀχάλινα στόματα: τὰ λοίδορα καὶ ἀφειδῆ πρὸς λοιδορίαν. 20

Ἀνέζεσεν αἷμα: ἐπὶ ὀργιζομένου.

Ἀνάκλητος καὶ μετάκλητος: ὁ μετακληθεὶς καὶ μεταπεμφθείς, ὥσπερ καὶ μετάπεμπτος.

Ἀβελτεροκόκκυξ: ἀβέλτερος καὶ κενός. κόκκυγα λέγουσι τὸν κενὸν καὶ κοῦφον. 25

Ἀκεῖσθαι καὶ ἐξακεῖσθαι: καὶ ἐπὶ τοῦ θεραπεύειν καὶ ἐπὶ τοῦ ἀπάγειν ἐπαγωγὰς ἐκ γοητείας καὶ μαγγανείας ἐπηγμένας. οὕτω Πλάτων ἐν πολιτείας δευτέρῳ.

Αἴσθημα: ἀντὶ τοῦ αἴσθησις.

Ἀρύστιχος: σκεῦος ᾧ ἀρύονται οἶνον. ὁ δὲ κύαθος μέτρον τι. 30

Ἀμφὶ τὰ στρατεύματα δαπανᾶν: εἴποις δ' ἂν καὶ περὶ ἀθλητὰς δαπανᾶν καὶ περὶ ἵππους.

Ἀμφιλεξάντων: ἀντὶ τοῦ ἀμφισβητησάντων.

Ἀμφιλογία καὶ ἀμφισβήτησις: δόκιμα.

Ἀνοίσω: ἀντὶ τοῦ λογιοῦμαι. ἐπὶ ψήφου.

Ἀπομερμηρίσαι: ἀπονυστάξαι. μέρμηρα γὰρ ἡ εἰς ὕπνον καταφορά. παίζων χρῶ.

Ἁμαξιτὸς ὁδός: δι' ἧς ἅμαξα, οὐ μόνον εὔζωνος ἀνὴρ περιπατεῖ.

Ἀποπτύσαι λόγους: ἀποῤῥῖψαι καὶ μὴ προσέσθαι.

Ἀνδροκτονεῖον: ὁ τόπος ἔνθα οἱ ἄνθρωποι ἀποθνήσκουσι. λέγοιτο δ' ἂν ἀνδροκτονεῖα καὶ τὰ τῶν δημίων ἐνδιαιτήματα, ἐν οἷς τοὺς τῶν ἐπιθανάτων καταδικασθέντας καταχρῶνται. καὶ οἱ Διομήδους τοῦ Θρᾳκὸς ἵππῶνες εἰκότως ἂν ἀνδροκτονεῖα λέγοιτ' ἄν, καὶ ὁ Κερκυών. καὶ ἡ Ἰταλικὴ δὲ Σκύλλα ἀνδροκτονεῖον εἶχε τὸ ἄντρον, ᾧ προσεπεφύκει.

Ἀποῤῥοή: σεμνότερον τοῦ ἀπόῤῥοια.

Ἄχρι κόρου: Δημοσθένης, βουλόμενος τὰς τοῦ Φιλίππου διαβαλεῖν ὑποσχέσεις, λέγει· ἵν' εἰδῆτε ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα ἄχρι κόρου παρελήλυθεν ἡμᾶς φενακίζων.

Ἀντισπεύδειν: τὸ μὴ συσπεύδειν ἀλλ' ἀντιπράττειν.

Ἀναθερμαίνειν τὰς φρένας καὶ τὴν διάνοιαν, τὴν γνώμην: οἷον καινὴν ἀναταράττειν.

Ἀκρατὴς γάμος: ἐπὶ γυναικὸς ἀκολάστου καὶ μοιχικῆς.

Ἀναβιβᾶται: Ἀττικῶς πάνυ τὸ ἀναβιβάσεται.

Ἀχανές: τὸ μὴ ἔχον στέγην ἢ ὄροφον. ἐπὶ τοῦ Λαβυρίνθου. Σοφοκλῆς.

Ἀποτεμεῖν μηχανάς: Κρατῖνος·

τούτου δ' ἁπάσας ἀποτεμῶ τὰς μηχανάς.

Ἀκρατὴς χειρῶν: ὁ κλέπτης.

Ἀπολέσθαι γελῶντα: Ὅμηρος γέλῳ ἔκθανον. οἱ κωμικοὶ ἀποκναισθῆναι τῷ γέλωτι.

Ἀκωδώνιστον: ἀβασάνιστον, ἀδόκιμον.

Ἀπάτητος ἀρχή: οἷον καινή. καὶ ἀπάτητος λόγος καὶ διάνοια. καὶ ἀπάτητον πρᾶγμα.

Ἀναχώρησις: ἡ ἀποφυγή. Δημοσθένης ἐν τῷ παραπρεσβείας. 5

Αὐτομήνυτος: ὁ αὐτὸς ἑα τὸν καταμηνύων.

Ἀποκτινύναι: δι' ἑνὸς ν̄. οἱ δὲ διὰ δυοῖν γράφοντες ἁμαρτάνουσιν.

Ἄριστος κλέπτειν καὶ ἄριστος λωποδυτεῖν.

Ἀρίστων ἅπτεσθαι βουλευμάτων. 10

Ἀνδραποδώδεις ἡδοναί: σημαίνει τὰς εἰκαίους καὶ ἀλογίστους ἡδονάς.

Ἀτερπὲς ἔργον.

Ἀνακράγοιτε: ἀναβοήσαιτε. Ἀττικὴ ἡ φωνή. Δημοσθένης. 15

Ἀπορθοῦν: ἀπευθύνειν καὶ σώζειν.

Ἀμπελουργεῖ: δόκιμον.

Ἀπαράτρεπτα ἱμάτια: τὰ καινὰ καὶ πρὶν ἢ γναφῆναι ἱμάτια.

Ἀπὸ πρώτης: οἷον ἐξ ἀρχῆς. 20

Ἀπὸ τόμου: οἷον τὰ ἀκόντια.

Β.

Βίου εὕροια: ἡ εὐδαιμονία καὶ εὐτυχία, παρὰ τὸ καλῶς ῥεῖν τὸν βίον. 25

Βάλλειν σκώμμασι: τὸ σκώπτειν. καὶ βάλλειν λοιδορίαις ἤτοι λοιδορεῖν. καὶ βάλλειν ἀραῖς.

Βιβλιοπώλης καὶ βιβλοπώλης καὶ βιβλογράφος.

Βορβορώδη: παρὰ τὸν βόρβορον καὶ τὸν ὀδόντα, τὸν δυςώδη τὸ στόμα. 30

Βοών: ἡ τῶν βοῶν στάσις. καὶ ἱππών ἡ τῶν ἵππων.

Βωμὸς θερμός: λέγεται μὲν ἐπὶ τῶν θερμῶς εὐδο-

κιμούντων ἔν τινι, μετείληπται δὲ ἀπὸ τῶν ἱερῶν, ὧν διὰ τὸ θρησκεύεσθαι περιττῶς θερμοί εἰσιν οἱ βωμοί.

Βίος θαλάττιος: ἐπὶ τῶν ἐν θαλάττῃ τὴν ἐργασίαν καὶ τὸν βίον ποιουμένων.

Βασκάνιον: ὃ οἱ ἀμαθεῖς προβασκάνιον. ἔστι δέ τι ἀνθρωποειδὲς κατασκεύασμα, βραχὺ παρηλλαγμένον τὴν ἀνθρωπείαν φύσιν, ὃ πρὸ τῶν ἐργαστηρίων οἱ χειρώνακτες κρεμαννύουσι τοῦ μὴ βασκαίνεσθαι αὐτῶν τὴν ἐργασίαν.

Βουλιμιᾷ τὰ βαλάντια: κατὰ μεταφορὰν ἐπὶ τῶν μηδὲν ἐχόντων ἔνδον βαλαντίων.

Βορὸν χρῆμα: ἐπὶ πολυφάγου χρήσῃ.

Βαλαντιοτομεῖν: καὶ κατὰ διάλυσιν βαλάντια ἀποτεμεῖν.

Βληχών: ὃ οἱ Δωριεῖς γλαχὼν λέγουσιν, οἱ δὲ Ἴωνες γληχών. ἀμφότεροι δὲ θηλυκῶς, οἱ μὲν τὰν γλαχόνα, οἱ δὲ τὴν γληχόνα.

Βλάκες: οἱ ἐκλελυμένοι.

Βάλανοι φοινίκων: οὐχ ὡς οἱ πολλοί, φοίνικες. φοίνιξ μὲν γὰρ αὐτὸ τὸ δένδρον, ὁ δὲ καρπὸς βάλανος φοινίκων.

Βόλος: θηλυκῶς.

Βδελυγμία: ἡ ναυτία ἡ κινοῦσα ἔμετον.

Βατταρίζειν: ἄσημα καὶ ἀδιάρθρωτα διαλέγεσθαι.

Βαμβαλύζειν: τὸ ὑπὸ ῥίγους τρέμειν καὶ κρούειν τοὺς γομφίους.

Βαδιοῦμαι: ἀντὶ τοῦ ἀπελεύσομαι.

Βρυγμός: ἡ σύντομος ἐδωδή, ἐπὶ τῶν τραχέως ἐσθιόντων, παρὰ τὸ βρύκειν, ὅπερ ἐστὶν ἐσθίειν.

Βολβωρυχεῖν: βολβοὺς ὀρύττειν.

Βριμοῦσθαι: τὸ ὑπὸ ὀργῆς σφόδρα βαρύνεσθαι. τὸ γὰρ βρῖ ἐπὶ τοῦ μεγάλου καὶ ἰσχυροῦ τάττεται. καὶ βριμούμενος, καὶ βριμῆσαι.

Βουβωνιῴη: Ἀριστοφάνης. τὸ εὐκτικὸν βουβωνιῴην βουβωνιῴης βουβωνιῴη.

Βλιτομάμμας: ἐπὶ τῶν ἐκλελυμένων διὰ τρυφήν. σύγκειται μετὰ τὸ βλίτον, ὅ ἐστι λάχανον ἔκλυτον ἄμοιρόν τε δριμύτητος, καὶ ἐκ τοῦ μάμμα, ὃ σημαίνει μήτηρ. ἐξ οὖν τούτων συγκείμενον σημαίνει τὸν ἐπὶ μητρὸς τροφῇ ἐξίτηλον γενόμενον. 5

Βαθύπλουτος: ὁ πάνυ πλούσιος καὶ μὴ ἐπιπολῆς.

Βρῦ: τὸ ὑποκόρισμα, ὅ ἐστι λεγόμενον τοῖς παιδίοις σύμβολον τοῦ πιεῖν. ὅπερ ἔνιοι σὺν τῷ ō γράφουσι, βροῦ. 10

Γ.

Γυναικηρὸς τρόπος: ἀντὶ τοῦ γυναικεῖος.

Γεραν ίας: τὸν ἔχοντα μακρὸν καὶ γερανώδη τράχηλον. 15

Γῆ εὐήλιος: ἡ ἀεὶ ἡλιουμένη.

Γλωττήν: τὸν γνώμαις πολλαῖς καὶ συνεχέσι τοὺς ἀκροωμένους διαμαλάττοντα. Πλάτων.

Γόνιμα ἀγαθά: τὰ τῷ ὄντι ἀγαθά. Πολιτείας δευτέρῳ. 20

Γονατίζειν: τῷ γόνατι πλήττειν.

Γυναικίζειν: γυναικῶν τρόπῳ διάγειν. καὶ γυναικίζοντες οἱ γυναικιζόμενοι.

Γόης: Ἀττικώτερον τοῦ μάγος. καὶ γοητεία.

Γάργαλος: ὁ ἐρεθισμός. καὶ γαργαλισμός. τὸ δὲ γαργαλίζεσθαι οὐκ Ἀττικόν. 25

Γαλῆν καταπέπωκεν: Ἀριστοφάνης. ἐπί τινος νέου μὴ δυναμένου φθέγξασθαι. χρήσαιο δ' ἂν καὶ αὐτὸς ἐπὶ παντὸς μὴ φθεγγομένου.

Γραφεύς: καὶ ὁ ζωγράφος· καὶ γράμμα τὸ ζωγράφημα. καὶ ἐπιστολαὶ δὲ γράμματα. καὶ τὰ ψηφίσματα, ὡς Δημοσθένης. καὶ τὰ συγγράμματα τῶν ἀρχαίων ἀνδρῶν, ὡς Ξενοφῶν. 30

Γήπεδον: διαφέρει γήπεδον οἰκοπέδου. οἰκόπεδον γὰρ οἰκίας κατερριμμένης ἔδαφος, γήπεδα δὲ τὰ ἐν ταῖς πόλεσι προκείμενα, οἷον κηπία.

Γέρων ῥυσός: μαραντικός.

Γειτνία: ἡ γειτνίασις.

Γενναῖον ῥῆμα: οἷον ἁδρὸν καὶ ὑψηλόν. καὶ γενναῖος σοφός. λέγεται δὲ γενναῖος καὶ ὁ εὐγενής.

Γλίσχρως προθυμεῖσθαι: οἷον λιπαρῶς καὶ παραμονίμως.

Γαληνίζει καὶ διεσκέδασται τὰ μέτωπα: ἐπὶ γεγηθότος καὶ εὐγενῶς διακειμένου.

Γραμματιστής: ὁ τὰ πρῶτα διδάσκων γράμματα.

Γάστρις: ὁ ἄπληστος.

Γεωνόμης καὶ γεωμέτρης: ὅτι γεωνόμης μὲν ὁ διανέμων ἐν ταῖς ἀποικίαις ἑκάστῳ τὸν κλῆρον, γεωμέτρης δὲ ὁ μετρῶν τοὺς κλήρους.

Ζόμφος: σφοδρὸς σύνδεσμος.

Γυμνοπαιδιά: ἐν Λακεδαίμονι κατὰ τὴν ἀγορὰν παῖδες γυμνοὶ παιᾶνας ᾖδον εἰς τιμὴν τῶν περὶ Θυρέας.

Γαμικὰ μέλη: τὰ ἐπὶ τοῖς γάμοις λεγόμενα ὑμνικά.

Γλαφυρὰ κωμῳδία: ἡ εὐτράπελος καὶ εὔρυθμος καὶ χάριτος μετέχουσα μεθ᾽ ἡδονῆς. καὶ γλαφυρός ὁ εὐτράπελος καὶ χαρίεις.

Γνώμην ἐμήν: Ἀττικοί, κατὰ παράλειψιν. ἀντὶ τοῦ κατὰ τὴν ἐμὴν γνώμην.

Γέρανδρυς: οἷον παλαιὸν δένδρον.

Γλωττοκομεῖον: ἐπὶ μόνου τοῦ τῶν αὐλητικῶν γλωττῶν ἀγγείου. ὕστερον δὲ καὶ εἰς ἑτέραν χρῆσιν κατεσκευάζετο, βιβλίων ἢ ἱματίων ἢ ἀργύρου ἢ ὁτουοῦν ἄλλου. καλοῦσι δ᾽ αὐτὸ οἱ ἀμαθεῖς γλωσσόκομον.

Γλῶτται αὐλῶν καὶ γλῶτται ὑποδημάτων: ἃ γλωττίδας λέγουσιν οἱ ἀμαθεῖς.

Γρυλλ-

Γρυλίζειν καὶ γρυλισμός: ἐπὶ τῆς τῶν χοίρων φωνῆς. δι' ἑνὸς λ̄, καὶ οὐ διὰ δυοῖν. *Γρύλλος* δὲ διὰ τῶν δυοῖν λλ ὀρχήματος εἶδός ἐστιν. ἡ μὲν οὖν ὄρχησις ὑπὸ τῶν Αἰγυπτίων γυλλισμός καλεῖται, *γρύλλος* δὲ ὁ ὀρχούμενος. ὑῶν μὲν οὖν ἡ φωνὴ γρυλισμός, προβάτων δὲ βληχή, αἰγῶν δὲ καὶ ἐλάφων μηκή, βοῶν δὲ μυκηθμὸς ἢ μύκησις, ἵππων δὲ χρεμετισμός, λύκων ὠρυγή τε καὶ ὠρυγμός. τὰ δὲ ῥήματα· μηκᾶται αἴξ καὶ ἔλαφος, βληχᾶται πρόβατον, καὶ ἀκολούθως. 5

Τογγυλίς: οὕτως οἱ Ἀττικοὶ λέγουσιν, ἀλλ' οὐ γογγύλην. γογγύλην δὲ τὸ στρογγύλον ξύλον. 10

Γέρων στύππινος: ἤτοι λευκὸς καὶ πολιός, ἐπειδὴ τὰ στύππινα λευκά εἰσιν· ἢ τὸν ἀσθενῆ δηλοῖ, ἐπειδὴ ἀσθενέστερά ἐστι τὰ στύππινα τῶν λινῶν.

Γνωσιμαχῆσαι: τὸ μεταγινώσκειν καὶ συνιέναι τοῦ ἁμαρτήματος, οἷον τῇ προτέρᾳ γνώμῃ, ἣν ἔσχε, μάχεσθαι. 15

Γαστροχάρυβδις: ἐπὶ τῶν κατεσθιόντων Κρατῖνος εἶπεν.

Γραῦς ἀναθυᾷ: ἐπὶ τῶν ἀνανεάζειν καὶ ἀνηβᾶν πειρωμένων. ἐπί τινος πρεσβύτου τὰ νέων πειρωμένου δρᾶν. 20

Γλίσχρος: ὁ φιλάργυρος. κολλώδης γάρ τίς ἐστι καὶ ὁ φιλάργυρος, ἀλλ' οὐχ ἁπλοῦς.

Γεῖσα: ἅπαντα τὰ ἐξέχοντα τῶν τοίχων.

Γέῤῥα: δύο σημαίνει, τάς τε πλεκτὰς ἀσπίδας καὶ οἵας αἱ ἁμαζόνες γράφονται ἔχουσαι, καὶ περιφραγμάτων προβλήματα πλεκτά. 25

Γραῦς: τὸ ἐπιγιγνόμενον τῇ πτισάνῃ καὶ τῷ χόνδρῳ καὶ ἄλλοις τισὶν ἑψήμασι γραῦς καλεῖται.

Γρασός: διαφέρει κινάβρας. γρασὸς μὲν γάρ ἐστιν ἡ τῶν ἀνθρώπων δυςωδία, κίναβρα δὲ ἡ τῶν αἰγῶν καὶ τράγων. 30

Γρυμεῖα: ἣν οἱ πολλοὶ γρύτην καλοῦσι. Δίφιλος ἄνευ

τοῦ ῑ γρυμέαν. ἔστι δὲ παρ' Ἀθηναίοις πῆρα τις γρυμέα καλουμένη, ἐν ᾗ παντοῖα σκεύη ἐστί. Σαπφὼ δὲ γρύτην καλεῖ τὴν μύρων καὶ γυναικείων τινῶν θήκην.

Γύννις: ὁ ἀσθενής.

Γόμφιοι: λέγονται μὲν καὶ οἱ ἐν τῷ στόματι ὀδόντες, καλοῦνται δὲ καὶ αἱ τῶν κλειδῶν διατομαί, αἷς τὰς βαλάνους ἀνταναπτόμενοι. ἐν δὲ τῇ χρήσει τῶν πολλῶν ὀδόντες κλειδῶν καλοῦνται.

Δ.

Δικαιόσυνος Ζεύς: ὁ ἐπὶ τοῖς δίκαιά τε καὶ ἄδικα δρῶσι τεταγμένος. ὥσπερ καὶ ὁ ἐπὶ τοῖς μείλιχα μειλίχιος καὶ ὁ ἐπὶ τοῖς φίλα φίλιος.

Δυσλογεῖν: τὸ κακολογεῖν.

Δημεχθὴς ἄνθρωπος: ὁ τῷ δήμῳ καὶ τῷ πλήθει ἀπεχθανόμενος.

Δημοπίθηκος: ὁ ἐξαπατῶν τὸν δῆμον καὶ θωπεύων κολακικῶς.

Διαδρησιπολίτης: ὁ διαδιδράσκων τὰς τῆς πόλεως ὑπουργίας καὶ μὴ βουλόμενος ἐν τοῖς ἀναγκαίοις καιροῖς παρεῖναι τῇ πατρίδι.

Δεσμιώτατος: σημαίνει τὸν ἄξιον δεσμοῦ διὰ κακουργίαν.

Δύσκληρος: ὁ ἐν κλήρῳ δυστυχής. ὁ δὲ ἐναντίος εὔκληρος.

Διασείεσθαι πρὸς τόνδε: ἀντὶ τοῦ διεγείρεσθαι καὶ παροξύνεσθαι ἀπειλητικῶς.

Δειπνοπίθηκος: ὁ δείπνου ἕνεκα πιθηκίζων καὶ ὑποθωπεύων κόλακος τρόπον.

Διατοιχεῖν: τὸ εἰς τὸν ἕτερον τοῖχον τῆς νεὼς διαβαίνειν ἐν τῷ πλοίῳ, ὅπερ οἱ ἰδιῶται ἀντιτοιχεῖν λέγουσιν.

Δισχιδὴς ὁδός: ἡ δύο ἐκτροπὰς ἔχουσα.

Δωροληψία: σημαίνει δὲ δωροδοκίαν.

Δι' οὐδενὸς ποιεῖσθαι τόνδε: Σοφοκλῆς. χρῶ.

Δικομήτρα: οἷον μήτηρ καὶ γεννήτρια δικῶν καὶ συκοφαντιῶν. 5

Διακυροῦν: οἷον διαιρεῖν καὶ διακρίνειν καὶ βεβαιοῦν.

Δυσμάραντον κακόν: τὸ ἄπαυστον κακὸν καὶ ἀειθαλές.

Δυσπρόσωπα ὄμματα: τὰ σκυθρωπὰ καὶ δύσμορφα. 10

Δικορράπτης καὶ δικορράφος: Ἀττικὸν ἑκάτερον.

Δυσοιωνεῖν: τὸ δυσφήμως καὶ ἀπαισίως ἐπί τινι πράξει μελλούσῃ διαλέγεσθαι.

Δρομικὴ γλῶσσα: ἡ διατρέχουσά πανταχοῦ καὶ διαγγέλλουσα. ἐπὶ τῶν ῥᾳδίως καὶ πανταχόσε κατηγορούντων ἢ τοὐναντίον εὐφημούντων. 15

Δίαιταν ἐπιτρέπειν: Ἀττικῶς. σημαίνει τὸ μὴ διὰ δίκης ἀλλὰ διὰ φιλίας ἐπί τινος μεσεγγύου διαλύεσθαι τὰ ἐγκλήματα.

Διέφθορεν: οὐ τὸ διέφθαρται τοῦτο σημαίνει. διὸ καὶ ἁμαρτάνουσιν οἱ λέγοντες διέφθορεν ὁ παῖς, δέον διέφθαρται. τὸ δὲ διέφθορε τὸ διέφθαρκε σημαίνει. 20

Διενέγκειε καὶ διενέγκοι: ἄμφω δόκιμα. ἔστι δὲ τὸ μὲν διενέγκοι ἀπὸ τῆς ὀξυτόνου μετοχῆς, ὡς δραμών δράμοι· τὸ δὲ διενέγκειεν ἀπὸ τῆς διενέγκας, ὡς γράψας γράψειεν. 25

Δικολύμης ἄνθρωπος: ὁ ἐν ταῖς δίκαις λυμαινόμενος, ὁ συκοφάντης.

Διετησίως: ἀντὶ τοῦ δι' ἔτους, οἷον καθ' ἕκαστον ἔτος. Θουκυδίδης καὶ Ἀριστοφάνης. 30

Διώμοτος: ὁ διομοσάμενος ἢ μὴν τόδε τι πράξειν.

Δεινὰ φυσᾷν: οἷον ὀργίζεσθαι καὶ ὑπὸ ὀργῆς ἀποσχετλιάζειν.

Διαλαβεῖν: δύο σημαίνει, τὸ ἑκατέρωθέν τινος λαβέσθαι, καὶ τὸ εἰς δύο ἢ πλέονα διαχωρίσαι ἢ διελεῖν. Ἡρόδοτος τὰ δύο. τὸ μὲν πρῶτον· ἐκάλεσεν αὐτοῦ τοὺς ἄλλους παῖδας διαλαβεῖν. τὸ δὲ δεύτερον· διώρυχας διέλαβεν ὁ Κῦρος, ἀντὶ τοῦ ἀπέτεμε καὶ διεῖλεν.

Διαμυλλαίνειν: τὸ τῷ στόματι διασχηματίζοντα διαγελᾷν.

Διασοφίζεσθαι: τὸ διαπατᾷν σοφίσμασιν.

Διεσφηκῶσθαι: τὸ διεσφίγχθαι καὶ ἐκ τῆς σφίγξεως κεκοιλάνθαι.

Διαιρεῖν ἔχθραν: διαλύειν καὶ διακρίνειν.

Δέδεται ἡ ψυχὴ ὑπ' ὀδύνης: ἐπὶ τῶν ἄγαν ἀπορούντων διὰ λύπην.

Δακνᾶς ἵππος, δακνᾶς ὄνος: περισπᾶται.

Δυςήλιον θέρος: τὸ καταφλέγον θέρος ἄκρως.

Διασιλλοῦν καὶ διασιλλῶσαι: σημαίνει τὸ διασῦραι καὶ χλευάσαι. σίλλοι γὰρ ᾄσματα χλευαστικά.

Δημοφανὲς πρᾶγμα: τὸ πᾶσι φανερόν.

Διαλινῆσαι: διαφυγεῖν ἐν τοῖς κυνηγεσίοις γενόμενον.

Δίχα: δύο σημαίνει, τὸ μὲν διχῇ διπλοῦν οἷς εἰς δύο μέρη· τὸ δὲ ἕτερον ἀντὶ τοῦ ἄνευ, χωρίς.

Δι' ἔχθρας γενέσθαι καὶ δι' ὄχλου γενέσθαι.

Διάθεσις λόγου: ἀντὶ τοῦ ὑπόθεσις.

Δυςορκῆσαι: τὸ κακῶς ὅρκῳ χρῆσθαι, οἷον τὸ ἐπιορκῆσαι.

Δέσις: ὁ δεσμός, ὡς ἅρπασις ὁ ἁρπαγμὸς καὶ λογισις ὁ λογισμός.

Δι' ἀσχολίας πολλῆς ἦλθον ἐπὶ τόδε: ἀντὶ τοῦ καίτοι ἀσχολίας μοι πολλῆς οὔσης.

Δυςγάργαλος ἵππος: ἐπὶ τῶν ψήχεσθαι δυςανασχετούντων τίθεται.

Διᾴασασθαι: τὸ διαμυλλήσασθαι ἐν ᾠδῇ τινί.

Διαλέξασθαι: οὐ μόνον διαλεχθῆναι.

Δέδοικα περὶ τῷδε: κατὰ δοτικὴν ὡς ἐπὶ πολὺ οἱ Ἀττικοί. 5

Δυςέριστος: οὐ μόνον δύςερις.

Δέος καίριον: τὸ μετὰ λόγου.

Διχόῤῥοπος γνώμη: ἡ εἰς ἑκάτερα ἤκουσα καὶ μὴ ἐφ᾽ ἑνὸς ἐατηκυῖα. 10

Διακοῦσαι: τὸ διὰ τέλους ἀκοῦσαι τοῦ λεγομένου.

Ε.

Ἐπιδεικνύμενος: ἐπὶ τῶν ἐπιδεικνυμένων τὸν ἑαυτῶν βίον κατ᾽ ἀλαζονείαν. 15

Ἔξηβον: τοῦτο καινόν. καθωμιλημένον τὸ ἔξωρον.

Ἑτερεγκεφαλεῖν: τὸ ἐγκέφαλον ἕτερον καὶ μὴ τὸν κατὰ φύσιν ἔχειν. ἢ ἐπειδὴ ὁ ἐγκέφαλος διμερής ἐστιν; εἰκὸς εἰρῆσθαι τὸ ἑτερεγκεφαλεῖν οἷον τὸ μὴ ὁλόκληρον ἔχειν τὸν ἐγκέφαλον, ἀλλὰ τὸ ἥμισυ. 20

Ἐσμὸς μελισσῶν καὶ σμῆνος μελισσῶν: ἄμφω δόκιμα.

Ἑστιᾷν τῷδε: οὐ μόνον τόνδε, κατὰ αἰτιατικήν, ἀλλὰ καὶ δοτικήν. Ὅμηρος·

δαίνυ δαῖτα γέρουσιν.

εἰ καί τινες, ὅτι τὸ δαίνυ νῦν οὐκ εὐώχει οὐδ᾽ ἑστία σημαίνει, ἀλλ᾽ ἀντὶ τοῦ παρασκεύαζε, παρασκεύαζε δεῖπνον Ἀργείοις. ἀλλ᾽ ἠλέγχθησαν κἀν τούτῳ. 25

Ἔδει καὶ ἔδομαι καὶ ἔδεται καὶ ἔδονται: οἱ μὲν ἀμαθεῖς φάγῃ λέγουσιν ἐπὶ τοῦ μέλλοντος· ὁ δὲ Φαβωρῖνος, ἢ οὐκ ἐντυχὼν τῷ ἔδει ἢ ἀποστραφεὶς τὸν ἦχον, τῷ βρώσομαι ἐπὶ τοῦ μέλλοντος ἐχρήσατο. ἔδει 30

οὖν καὶ ἐδόμεθα καὶ ἔδομαι καὶ ἔδεσθε καὶ ἔδεται καὶ ἔδονται καὶ ἐξέδεται.

Ἐπιπολῆς Ἀττικοὶ μὲν ἄνευ τῆς ἐξ προθέσεως. οἱ δὲ ἐξ ἐπιπολῆς λέγοντες ἐπλανήθησαν ἀπὸ τοῦ ἐξαίφνης καὶ ἐξεπίτηδες. ἀλλ' ἀδόκιμον καὶ νόθον. 5

Εὐνοϊκῶς: δόκιμον. τὸ εὔνως φεύγειν χρή.

Ἐλαφρὸν παραινεῖν τῷ κακῶς πεπραγότι: ἐλαφρὸν σημαίνει τὸ ῥᾴδιον καὶ κοῦφον.

Ἐξεγγυήσασθαι: καλὴ ἡ φωνή. σημαίνει δὲ τὸ ἐγγυητὰς δεδωκέναι ὑπὲρ τῆς τοῦ σώματος ἀσφαλείας 10 τοῦ ἰδίου. Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας.

Ἐπῳδαί καὶ ἐπῳδή: τῷ ἐπαοιδή καὶ ἀοιδή οὐ χρηστέον, κἂν Ὅμηρος εἶπεν.

Εὐημερία: δύο σημαίνει. τάττουσι μὲν γὰρ οἱ ἀρχαιότεροι ἐπὶ τῆς καθαρᾶς καὶ εὐηλίου καὶ φαιδρᾶς 15 ἡμέρας, χρῶνται δ' αὐτῷ καὶ ἐπὶ τῆς εὐπραγίας.

Ἐξορμενίζειν: τὸ ἐξανθεῖν, ὅπερ οἱ πολλοὶ ἐκβάλλειν λέγουσιν. ὅρμενα γὰρ καλεῖται ὑπὸ τῶν Ἀττικῶν τὰ τῶν λαχάνων ἐξανθήματα. οἱ δὲ πολλοὶ καὶ ἀμαθεῖς ταῦτα ἀσπαράγους καλοῦσιν. 20

Ἔνδειγμα: δεῖγμα, τεκμήριον ἐναργές. ὡς ἐπιθύμημα ἀντὶ τοῦ ἐπιθυμία, οὕτως ἔνδειγμα ἀντὶ τοῦ ἔνδειξις. Δημοσθένης ἐν τῷ παραπρεσβείας.

Ἑτεραχθεῖ: οἷον οἱ πολλοὶ ἑτεροκλινεῖ λέγουσιν, ὅταν ἐπὶ τῶν ὑποζυγίων ἢ ἐφ' ὁτουοῦν διῃρημένον 25 ἄχθος ἐπὶ θάτερον ῥέπῃ.

Ἔκμετρος πλοῦτος καὶ ἔκμετρος χρυσός: ἐπὶ τοῦ ὑπερβάλλοντος πλήθει χρυσοῦ. καὶ ἔκμετρος καρπὸς ὁ εἰς μέτρον ὑπὸ πλήθους μὴ ἀφικνούμενος. καὶ ἔκμετρος ὄχλος. 30

Ἐζωμευμένα κρέα: ἐζωμοποιημένα.

Ἐκρότησεν: ἀντὶ τοῦ ἐκροτάλισεν.

Εὔπροσόμιλος: ὁ ἡδὺς ἐν συνουσίᾳ καὶ ἀστεῖος. τὸ δ᾽ εὐόμιλος ὁ πᾶσιν ἀδιαφόρως προσομιλῶν.

Ἐκκροτεῖν ῥήτορας: σημαίνει τὸ ἐκδιδάσκειν καὶ δημιουργεῖν.

Ἐῤῥωγότας λέγειν λόγους: οἷον ἀηδεῖς καὶ ἀπάδοντας, οὐχ ἁρμονίους. ἡ μεταφορὰ ἀπὸ τῶν ἐξεῤῥωγότων ὀργάνων· καὶ γὰρ ταῦτα ἀνάρμοστον καὶ ἀηδὲς φθέγγεται. σημαίνει δὲ τὸ ἐξεῤῥωγότας καὶ τοὺς ἀπηρυθριακότας καὶ ἀναισχύντους. 5

Ἐφιππάσασθαι λόγοις: οἷον καταδραμεῖν. Κρατῖνος. 10

Ἐνσεσεισμένη: ἡ προήκουσα τῇ ἡλικίᾳ, καὶ ὑπὸ χρόνου διασεσεισμένη, καὶ μηκέτι σφριγῶσα μηδὲ ἰσχύουσα, ἀλλὰ σαθρὰ οὖσα.

Ἐτνήρυσις: ἡ τὸ ἔτνος ἐκ τῆς χύτρας ἀρύτουσα, ὥσπερ καὶ οἰνήρυσις, ἡ τὸν οἶνον ἀρύτομεν. ζωμήρυσις. 15

Εὔερος ὅς καὶ εὔερον ἱμάτιον: οὐκ εὐέριον.

Ἐπικαττύειν καὶ πτερνίζειν: τὸ παλαιὰ ἐπισκευάζειν. ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς παλαιοῖς ὑποδήμασιν ἕτερα καττύματα καὶ πτέρνας προσραπτόντων. λέγουσι δὲ ἐπὶ τῶν τὰ παλαιὰ τῶν δραμάτων μεταποιούντων καὶ μεταῤῥαπτόντων. 20

Ἐπεσκεύασται τὸ δεῖπνον: χρῶ.

Εἰκοβολεῖν: ἀντὶ τοῦ εἰκάζειν. εἴρηται δὲ οἱ τὸ εἰκόσι βάλλειν. 25

Εἰς τὴν κερδαίνουσαν πάντα ὠθεῖν πήραν: τὸ ἐκ παντὸς τρόπου κερδαίνειν σημαίνει.

Ἐμπυρεύεσθαι: τὸ ἐγκρύπτειν πῦρ.

Εὐτράπεζος ἄνθρωπος: μεγαλοπρεπὴς ἐν ἑστιάσει. 30

Ἔργοις παθὼν ῥήμασιν ἀμύνεται; Σοφοκλῆς.

Ἐπ᾽ ἄκρων κάθησθε τῶν πυγιδίων: ἐπὶ τῶν ἐπαιρομένων καὶ καυχωμένων διὰ κολακείαν ἢ ἐπαι-

νον. δηλοῖ γὰρ τὸ μήτε τελέως καθῆσθαι μήτε ἑστάναι, ἀλλ᾽ ἐν μέσῳ φέρεσθαι διὰ χαυνότητα ψυχῆς.

Ἐπίμεστα πλουτῶν: οἷον ὑπερβάλλοντι τῷ μέτρῳ. ἀντὶ τοῦ πάνυ πλουτῶν. 5

Ἐλαιοπληθής: ως οἰνοπληθής.

Ἐπώνια: τὰ ἐπὶ τοῖς ὠνίοις προσδιδόμενα ἔξωθεν χάριτος ἕνεκα.

Ἐπιδείκνυ: τὸ προστακτικὸν Ἀττικῶς, ἀντὶ τοῦ ἐπιδείκνυε. τὸ θέμα αὐτοῦ δείκνυμι. ὥσπερ καὶ ὄλλυμι 10 ὄλλυ καὶ τὰ ὅμοια. τὸ δ᾽ ἐπιδείκνυε ἀπὸ τοῦ δεικνύω.

Ἐπιτριπτότατος ἄνθρωπος: ὁ ἐπιτριβῆναι ἄξιος καὶ κακῶς ἀπολέσθαι.

Ἐσχάρα: τὸ σκεῦος, ἐφ᾽ ᾧ ὀπτᾶται κρέας ἢ ἰχθύς. 15

Ἐπιχαιρέκακος ἄνθρωπος: ὁ ἐπιχαίρων τοῖς κακῶς πράττουσιν.

Ἐκζωπυρεῖν πῦρ: τὸ ἐκκαίειν πῦρ ἢ φυσῶντα ἢ ῥιπίζοντα.

Ἐκθάλπεσθαι ἔρωτι: οἷον καίεσθαι ὑπὸ ἔρωτος. 20

Εὔορνις τύχη: ἡ αἴσιος καὶ εὐοιώνιστος καὶ εὐτυχής.

Εὐθετεῖν νεκρόν: τὸ εὖ κοσμεῖν ἐν τάφοις νεκρόν.

Εἰς γόνυ πεσεῖν: ἐπὶ τῶν ὑπὸ βίας κλινομένων εἰς τὴν γῆν. οἱ γὰρ τοιοῦτοι βιαζόμενοι μόλις κλίνονται 25 καὶ οὐκ ἐξαίφνης.

Ἐπιβατεύειν νεώς: ἀντὶ τοῦ ὡς ἐπιβάτην πλεῖν.

Ἐπιτρίβεσθαι: ἐπὶ γυναικῶν λέγεται χρωμένων ψιμυθίῳ τῷ προσώπῳ ἢ φύκει.

Ἔξεδρον: τὸ ἀπαίσιον καὶ ἔξω τῆς νενομισμένης 30 ἕδρας.

Ἐγὼ σιωπῶ τῷδε: Ἀριστοφάνης ταύτην ἐσχημάτισε τὴν σύνταξιν. καθ᾽ ὑπόκρισιν δέ. λέγει γάρ:

Αἰσχύλε, παραινῶ σοι σιωπᾶν. εἰ δὲ μή,
πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανῇ.

εἶτ' ἀποκρίνεται Αἰσχύλος·

ἐγὼ σιωπῶ τῷδε;

βούλεται γὰρ λέγειν καθ' ὑπόκρισιν· εἶτα ἐγὼ τούτῳ σιωπήσομαι; οἷον ἄξιόν ἐστιν ἐμὲ τῷδε ὑποστέλλεσθαι καὶ ὑπείκειν λόγοις;

Ἔκδυθι: Ἀττικὴ κλίσις ἀπὸ τῶν εἰς μι.

Ἐπέτειον: ἔστι μὲν καὶ τὸ τήπινον, ἀπὸ τοῦ τῆτες πεποιημένον· τὸ δ' ἐπέτειον καθωμίληται.

Ἐπὶ ῥητοῖς: οἷον ὡμολογημένοις καὶ συγκειμένοις.

Ἔσεισέ μου τὴν καρδίαν: οἷον ἐκίνησε καὶ ἐτάραξεν.

Ἐξῶλες κακόν: ἐπὶ κακούργου καὶ ἐπιτρίπτου ἀνθρώπου.

Ἐπαμφοτερίζειν: τὸ μὴ παγίως ἔν τι βουλεύεσθαι καὶ πράττειν, ἀλλὰ καὶ τόδε καὶ τόδε διανοεῖσθαι.

Εὐτράπελος: ἀντὶ τοῦ εὐπρεπής. ὁ Θουκυδίδης ἐπὶ τοῦ εὐρύθμου καὶ εὐπρεποῦς.

Ζ.

Ζωμήρυσις:

Η.

Ἡδυλογεῖν: τὸ φιλικῶς καὶ ἡδέως πρὸς ἀλλήλους διαλέγεσθαι.

Ἤνεγκον: ἀπὸ τῆς ἐνεγκών μετοχῆς, ὡς ἀπὸ τῆς δραμών ἔδραμον. τὸ δὲ ἤνεγκα ἀπὸ τῆς ἐνέγκας. ἄμφω μὲν οὖν δόκιμα.

Ἡμίσεας καὶ ἡμίσεις: ἄμφω μὲν Ἀττικά, Ἀττικώτερον δὲ τὸ ἡμίσεας. ἡμίσειαν σὺν τῷ ῑ. ἥμισυ - ἡμίσεως - ἡμίσεα, ἀλλ' οὐχὶ ἡμίση.

Ἠπιάλης: ὁ ἐπιπίπτων καὶ ἐφέρπων τοῖς κοιμωμένοις δαίμων. τὸ δὲ διὰ τοῦ ō ἕτερόν τι σημαίνει, τὸ καλούμενον ῥιγοπύρετον.

Ἠνιγμένον: αἰνιγματωδῶς εἰρημένον.

Ἡμηχάνουν: Πλάτων ἐν τῇ Εὐρώπῃ.

Ἠγρίωνται καὶ σεσήρασιν ἐπ' ἀλλήλους: τρόπικῶς ἀπὸ τῶν ἐριζόντων πρὸς ἀλλήλους κυνῶν.

Ἤρυγον: ἀπὸ τοῦ ἐρύγω. τὸ δ' ἠρευξάμην παρ' αὐτοῖς ἀδόκιμον, ὥςπερ καὶ τὸ ἐρεύγομαι καὶ τὸ ἐρυγγάνω.

Θ.

Θῦσαι: ἀντὶ τοῦ θυμιᾶσαι·

. . . . θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον, ὃν ἑταῖρον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς·

λέγει δὲ θυηλὰς τὰς ἀπαρχὰς τῶν τεθυμένων ἱερείων. καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τὸ θῦσαι ἀντὶ τοῦ θυμιᾶσαι.

Θεόθυτα: ἃ οἱ πολλοὶ ἱερόθυτα καλοῦσι. Κρατῖνος. τὰ τοῖς θεοῖς θυόμενα ἱερεῖα.

Θυμέλη: νῦν μὲν θυμέλην καλοῦμεν τὴν τοῦ θεάτρου σκηνήν, καὶ ἔοικε παρὰ τὸ θύειν κεκλῆσθαι ὁ τόπος οὗτος· Φερεκράτης δὲ τὰ θυλήματα, ἅ πέρ ἐστιν ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ μεμαγμένα, οὕτω καλεῖ θυμέλην.

Θαλαττοκοπεῖν: τὸ μάτην κόπτειν, ὥςπερ εἴ τις τὴν θάλασσαν κόπτοι, μάτην ἂν κόπτοι. ἐπὶ τῶν μάτην τι λεγόντων.

Θυροκοπεῖν: ἐπικωμάζειν.

Θυροκόπος: ὁ τοῦ ἐπαιτεῖν ἕνεκα κόπτων τὰς θύρας.

Θεοῦ προςβολή: οἷον ὀργή.

Θερίζειν καὶ χειμάζειν: τὸ διάγειν ἐν τῇ τοῦ θέρους ὥρᾳ καὶ ἐν τῇ τοῦ χειμῶνος.

Θράττει: οἷον ταράττει, κατὰ συγκοπὴν καὶ τροπὴν γεγενημένον.

Θυμβροφάγον βλέπειν: ἀντὶ τοῦ δριμύ, ὅτι καὶ ἡ θύμβρα δριμυτάτη ἐστίν. 5

Θωράκιον: οἷον δρύφακτος προβεβλημένος οἰκίας. πλὴν ὁ μὲν δρύφακτος πῆγμά ἐστιν ὅμοιον ταῖς κιγκλίσι, πεπηγμένον μέντοι καὶ ἀκίνητον· αἱ γὰρ κιγκλίδες ὧδε κἀκεῖσε διαφέρονται· τὸ δὲ θωράκιον πῆγμά ἐστιν ἐκ σανίδων συνεχῶν καὶ συμπεπηγμένων. 10

Θωρηχθείς: μεθυσθείς. χρήσῃ δὲ σὺ τῷ κάτοινος μᾶλλον.

Θρύπτεσθαι: ὡραΐζεσθαι. ἄμφω. Εὔπολις·

ὡραϊζομένη καὶ θρυπτομένη. 15

Θνησείδιον μᾶλλον ῥητέον ἢ κενέβριον.

I.

Ἰσῆλιξ: καινότερον τοῦ ἡλικιώτης. 20

Ἰδιάζειν: οὐ γάρ μοι σχολή. ξενικῷ γὰρ ἰδιάζω πράγματι.

Ἰχθυολύμης ἄνθρωπος: ἐπί τινος λίχνου καὶ περὶ ἰχθύων ἐδωδὴν μεμηνότος.

Ἰχνευταί: οἱ κατ' Αἴγυπτον καλούμενοι. 25

Ἴν' ἀκροᾷ: οὕτω τὸ ὑποτακτικὸν χρὴ λέγειν τῶν δευτέρων προσώπων παθητικῶν ἑνικῶν, ἵνα ἀκροῶμαι - ἵνα ἀκροᾷ - ἵνα ἀκροᾶται. καὶ ἵνα γελᾷ.

Ἰαπετός: ἀντὶ τοῦ γέρων. καὶ Τιθωνὸς καὶ Κρόνος ἐπὶ τῶν γερόντων. 30

Ἰλιὰς κακῶν: ἐπὶ μεγάλων συμφορῶν ὁ λόγος τίθεται.

Ἱππίδιον: οὐ μόνον ἱππάριον.

Ἰξοί: ἐπὶ τῶν γλίσχρων καὶ φειδωλῶν. καὶ ἔοικε παρὰ

τὸν ἰξὸν γεγενῆσθαι τοὔνομα, ὅτι καὶ ὁ ἰξὸς γλίσχρος ἐστί. λέγει δ' Ἀριστοφάνης οὕτως· ἰξοί, ὑποκόνδυλοι. ὅπερ σημαίνει καὶ αὐτὸ τοὺς γλίσχρους καὶ διὰ τὴν φειδωλίαν μήτε λουομένους μήτε νιζομένους.

Ἱκετεία: διὰ τοῦ τ, οὐ διὰ τοῦ σ. ἱκεσίους μέντοι λιτάς, καὶ λόγους ἱκεσίους. 5

Ἱεροπτης: ὁ τὰ ἱερὰ ἐποπτεύων καὶ ἐξ αὐτῶν μαντευόμενος.

Ἱερώσυνα: τὰ τοῖς θεοῖς ἐξαιρούμενα μέρη καὶ θυμιώμενα. Ὅμηρος τοῦτο διδάσκει πρῶτον· 10.

. . . . θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον, ὃν ἑταῖρον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς.

βούλεται γὰρ λέγειν τὰς ἀπαρχὰς τῶν ἐν τῇ εὐωχίᾳ παρατιθεμένων, ὅπερ εἰώθασι ποιεῖν, ὅταν προσφέρωνται τροφήν. 15

Ἱλεούμενοι: ἀντὶ τοῦ ἱλασκόμενοι. Πλάτων Νόμων ἑβδόμῳ.

Ἰπός: ἡ παγίς.

Ἰχθῦς: ἡ αἰτιατικὴ τῶν πληθυντικῶν Ἀττικώτερον ἤπερ ἰχθύας. 20

Ἱππουρις: ἡ τῶν Σατύρων οὐρά.

Ἴονθος: ἡ ἐπὶ τοῦ προσώπου ἅμα τῇ τῶν τριχῶν ἐκφύσει τῶν πρώτων γινομένη οἴδησις. Ὅμηρος μὲν οὖν ἰονθάδα εἶπε τὴν ἀγρίαν αἶγα, ἀντὶ τοῦ νέαν, ἀπὸ τῶν ἰόνθων. 25

Κ.

Κεχαρισμένως θύειν: τὸ μετὰ χάριτός τινος καὶ εὐφροσύνης. 30

Κυαναυγὴς θάλαττα, καὶ κυαναυγὲς ὕδωρ, καὶ κυαναυγὴς ποταμός.

Κρεμάσαι τὰς ἀσπίδας: σημαίνει μὲν τὸ παύσασθαι τοῦ πολεμεῖν, ἀπὸ τοῦ παρακολουθοῦντος· παρακολουθεῖ γὰρ τοῖς μὴ πολεμοῦσι κρεμαμένας ἔχειν τὰς ἀσπίδας. Ἀριστοφάνης·

ὅστις ἡμῖν 5

ἤθελε σπονδὰς ποιῆσαι καὶ κρεμάσαι τὰς ἀσπίδας·

ὡς εἰ ἔλεγεν· ὅστις ἤθελεν εἰρήνην ἄγειν καὶ ἀποθέσθαι τὰ ὅπλα.

Κάτοινος: ὁ μεθύων. 10

Κοινὸς τῶν πονηρῶν φίλος: ἐπὶ ἀδίκου τινὸς καὶ πονηροῦ ἀνθρώπου.

Κραιπάλη: ἡ ἀφ᾽ ἑσπέρας ἄχρι εἰς ὄρθρον πόσις καὶ παραφορὰ τῆς διανοίας, ἀπὸ τοῦ πάλλειν, ὅ πέρ ἐστι διασείειν, τὴν κεφαλήν. 15

Καγχαστής: ὁ ἐπὶ τοῖς φορτικοῖς γελῶν καὶ μὴ ἀστείοις. τοὺς εἰκῇ καὶ ἀμαθῶς γελῶντας, καὶ μηδὲν ἔχοντας δεξιὸν μηδὲ παιδείας ἐχόμενον.

Καταβαλῶ σε παρὰ τῷδε μανθάνειν: ἀντὶ τοῦ παραδώσω σε καὶ ἐγχειριῶ τῷδε ὥστε μανθάνειν. 20

Καταχῶσαι λόγοις καὶ ὕμνοις καὶ ἐπαίνοις: οἷον καταπληρῶσαι λόγοις.

Κενὰ τῆς γνάθου πολλὰ χωρία: ἐπὶ τῶν οὐκ ἐχόντων δαψιλῶς, ὥστε τὴν γνάθον ἐμπλῆσαι.

Κατεστωμυλμένος: ὁ πολλῇ τῇ στωμυλίᾳ χρώμενος. 25

Κατακλᾷν τὸν ὀφθαλμόν: οἷον ἐνθρύπτεσθαι διὰ τὸν ὀφθαλμόν, ὅπερ ποιοῦσι ταῖς ἐρωμέναις οἱ ἐρασταί, τὸν ἕτερον ἐκκλίνοντες ὀφθαλμόν.

Κατᾴδειν: οἷον γοητεύειν καὶ πείθειν.

Κροτεῖν ὀστράκοις: Ἀριστοφάνης ἐπὶ τῆς Εὐριπίδου μελοποιίας, ὅτι οὐχὶ γνησίου οὐδὲ γνήσια τὰ μέλη, ἀλλ᾽ οἷα πρὸς ὄστρακα ᾄδεσθαι· δῆλον ποιοῦντος τοῦ κωμῳδοῦ, ὅτι τὰ ἐκλελυμένα τῶν μελῶν καὶ 30

ἀδόκιμα πρὸς τὰ ὄστρακα ἥδον, οὐχὶ πρὸς λύραν ἢ κιθάραν. λέγει δ' οὕτως·

ὀστράκοις αὕτη κροτοῦσα δεῦρο μοῦσ' Εὐριπίδου.

Κρονοθήκη: οἷον παλαιὸς καὶ εὐηθείας μεστός, οἷον οὐ μόνον Κρόνος, ἀλλὰ καὶ ὡςανεὶ ἡ θήκη τοῦ Κρόνου καὶ ἡ σορὸς καὶ ἡ ταφή. 5

Κατὰ κοιλίαν νοσεῖ: ἐπὶ τῶν πολυφάγων.

Κένανδρος πόλις, κένανδρος χώρα.

Κριθώλεθροι ἵπποι: ἐπὶ τῶν μάτην ἐσθιόντων ἵππων. 10

Καταγλωττίζειν: καταλαλεῖν καὶ καταφρονεῖν πολλοὺς λόγους.

Κοτυλίζειν: σημαίνει κατ' ὀλίγα πιπράσκειν καὶ μικρά. 15

Κακοτεκνία: τοὐναντίον τῷ εὐτεκνία. σημαίνει, τὸ κακοῖς καὶ πονηροῖς χρῆσθαι τέκνοις.

Κεχρίσθαι σκορπίῳ: ἀντὶ τοῦ πεπληγέναι ὑπὸ σκορπίου. καὶ σὺν τῇ προθέσει ἐγκεχρίσθαι. διαφέρει τῇ γραφῇ τὸ πεπλῆχθαί τε καὶ ὑπ' ἐλαίου κεχρεῖσθαι. τὸ μὲν γὰρ ὑπὸ ἐλαίου διὰ τῆς ει διφθόγγου· τὸ δὲ κεχρίσθαι, τὸ σημαῖνον τὸ πεπλῆχθαι, διὰ τοῦ ι πανταχοῦ. 20

Κριηδὸν ἐμβάλλειν: οἷον ὥςπερ οἱ κριοί.

Κήληθρον: τὸ κηλοῦν καὶ πεῖθον. 25

Κατακοιμίζειν τὸν λύχνον: ἀντὶ τοῦ σβεννύναι.

Κυανεῖ ἡ θάλατταν: ἀντὶ τοῦ κυανίζει, μελανίζει. καὶ ἔστι κυανῶ, ὥςπερ ἐκ τοῦ πολεμῶ πολεμίζω, οὕτω καὶ κυανῶ κυανίζω.

Κρονοδαίμων; ἐπὶ τοῦ παλαιοῦ καὶ εὐήθους. 30

Κάπνη: ἡ δι' ἧς ὁ καπνὸς ἀναφέρεται ἐν τῷ ὀρόφῳ πορεία.

Κατευπαθημένα: καταναλωμένα καὶ διαπεφορημένα εἰς εὐπάθειαν.

Κουρίδες: μάχαιραι, αἷς κείρουσι τὰ πρόβατα.

Κελεύστωρ: διαφέρει τοῦ κελευστής. ὁ μὲν γὰρ κελευστής ἐστιν ὁ ἐν νηῒ κελεύων τοῖς ἐρέταις τι, ὁ δὲ κελεύστωρ ὁ ἐπικελευόμενος καὶ παρορμῶν. 5

Κοινοθυλακεῖν: τὸ ἐν ὁδῷ κοινωνεῖν σιτίων καὶ τραπέζης καὶ καταγωγῆς καὶ τῶν τοιῶνδε. Ἀριστοφάνης.

Κνισοκόλαξ: τὸν οὐδενὸς ἀγαθοῦ κόλακα, τοῦ αἰσχίστου δὲ πάντων. 10

Καθ' ἡδονήν μοί ἐστι πράττειν ἢ λέγειν.

Κληρωτήρια: ἔνθα κληροῦνται οἱ δικασταί.

Κατάγειον: οὐχὶ κατάγαιον διὰ τῆς αι διφθόγγου.

Κυψέλαι φρονημάτων: οἷον θῆκαι φρονήσεως. κυψέλη γὰρ ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν. 15

Κακόν τι προσαπολαύσω: οὐ μόνον κακοῦ τινὸς προσαπολαύσω. κατ' αἰτιατικὴν καὶ γενικὴν χρῶ.

Κέραμον: ὡς ἡμεῖς, τὸν ἐπὶ τοῦ στέγους.

Καλήτης καὶ κάλη: Ἀττικοί, διὰ τοῦ ᾱ· κηλήτης καὶ κήλη Ἴωνες. 20

Κονίαμα: τὸ λάμπρυσμα τὸ γινόμενον ἐκ τοῦ κονιάματος.

Κερματίζειν λόγον: κατὰ μικρὰ διαιρεῖν.

Κῆδος: τὸ πένθος. καὶ κηδεῦσαι τὸ θάψαι. σημαίνει καὶ τὴν ἐπιγαμίαν. 25

Κεκιβδηλευμένον νόμισμα: τὸ ἀδόκιμον καὶ πεπανουργευμένον.

Κακόν τι σαυτῷ προὐφείλεις: ἐπί τινος κακόν τι λαβεῖν ἐπισπωμένου. 30

Κορίζεσθαί καὶ ὑποκορίζεσθαι: ἅμφω. σημαίνει δὲ τὸ πρὸς τὰ κομιδῇ παιδία νήπια ψελλιζόμενον

τῇ φωνῇ παίζειν· κόρος γὰρ ὁ παῖς, καὶ τοὔνομα διττῶς, κόρισμα καὶ ὑποκόρισμα.

Καλλιγραφῆσαι: εἰς κάλλος γράψαι.

Κύειν καὶ τεκεῖν διαφέρει. τὸ μὲν γὰρ κύειν κατὰ γαστρός ἐστιν ἔχειν, τὸ δὲ τεκεῖν τὸ ἤδη τέλος ἔχειν τῇ κυήσει. 5

Κλεῖδα: τὸ δόκιμον κλεῖν ἐστίν.

Καταρκεῖ: ἐξαρκεῖ, ἀπόχρη.

Κάκιστος φαγεῖν: ὁ μὴ δυνάμενος φαγεῖν, ὁ ὀλίγα ἐσθίων. 10

Καταλεγείς: οὐ μόνον καταλεχθείς.

Κατηριστημένα: καταβεβρωμένα.

Κατακορὴς οἴνῳ καὶ διακορής: πολιτικώτερα.

Καπνοῦ σκιά: τὴν ὑπερβολὴν τοῦ . . . ἀντὶ τοῦ οὐδενί. 15

Καταλεπτολογεῖν: τὸ κατὰ λεπτὸν καὶ ἀκριβῶς περὶ ὁτουοῦν πράγματος διαλέγεσθαι.

Καινὰ ψοφεῖν: καινῶς κομπάζειν.

Κίων: στόμα, ὃ οἱ πολλοὶ κιονίδα καλοῦσιν.

Κακοῖς κακὰ ἰᾶσθαι: τὸ ἀποκρύπτειν τὰ φθάσαντα κακὰ τοῖς ἐφεξῆς πραττομένοις κακοῖς. Αἰσχύλος: 20

. . . . μὴ κακοῖς ἰῶ κακά.

Καταδακτυλίζειν: τὸ ἀσελγῶς τῷ δακτύλῳ τῆς τοῦ πέλας ἕδρας ἅπτεσθαι. τοῦτο καὶ σκιμαλίζειν οἱ Ἀττικοὶ λέγουσιν. 25

Καθαρὰ βλέπειν: οἷον ἱλαρὰ καὶ ἡδέα βλέπειν, οὐκ ἐπιτεθολωμένα.

Κύκηθρον: ἐπὶ τοῦ τὰ πάντα κυκῶντος καὶ ταράττοντος.

Κυνηγεττεῖν: διὰ δυοῖν ττ λέγουσιν. 30

Κυνοφθαλμίζεται: ἀναιδῶς καὶ ἰταμῶς ὁρᾷ, τρόπον ματρύλλου.

Κέρκῳ σαίνειν: ἐπὶ τῶν κυνῶν τῶν προσσαινόντων

μὲν

μὲν τῇ οὐρᾷ, κακὸν δέ τι διανοουμένων λάθρα δρᾶσαι.

Κυνοκοπῆσαι τὸν νῶτον: ὥςπερ κύνα τῷ ξύλῳ κατακόψαι.

Κλωομάστιξ: ὁ κλοιῷ δεδεμένος καὶ μαστιγούμενος. 5

Κάμινον ἔχων ἐν τῷ πνεύμονι: ἐπί τινος γυναικὸς μεθύσαν. ῥηθείη δ' ἂν οὐδὲν ἧττον καὶ ἐπὶ ἀνδρός.

Κάπηλον φρόνημα: παλίμβολον καὶ οὐχ ὑγιές. ἢ μεταφορὰ ἀπὸ τῶν καπήλων τῶν μὴ πιπρασκόντων 10 εἰλικρινῆ καὶ ἀκέραια τὰ ὤνια.

Κρανιόλειος: ὁ τὸ κρανίον ἔχων λεῖον, ὁ φαλακρός.

Κνισοτηρητής: ὁ κνίσαν καὶ δεῖπνα ἐπιτηρῶν.

Κυνάριον καὶ κυνίδιον: δόκιμα.

Καλλιτράπεζος: ὁ καλὴν καὶ λαμπρὰν τράπεζαν 15 παρατιθέμενος.

Κυνοδέσμαι: οἷς τὰ αἰδοῖα οἱ Ἀττικοὶ ἀπεσκολυμμένοι ἀποδοῦνται. κύνα δὲ τὸ αἰδοῖον ἐκάλουν.

Κυνοκέφαλλος: διὰ τῶν δυοῖν λ οἱ Ἀττικοί.

Κάλλιστα: τοῦτο τιθέασιν οἱ Ἀττικοὶ πολλάκις ἀντὶ 20 τῆς οὔ ἀρνήσεως, ὅταν τι παραιτῶνται ποιῆσαι.

Λ.

Λεπτοσχιδής: οἷον λεπτῶς ἐσχισμένος καὶ λεπτῶς 25 πεφροντισμένος.

Λεπτή τις ἐλπίς, ἐφ' ἧς ὀχούμεθα.

Λεπτολογία: σημαίνει τὸ περὶ τῶν μικρῶν φροντίζειν καὶ ἀδολεσχεῖν. ἢ σημαίνει ἡ κνιπότης.

Λεπτοί: πένητες. 30

Λεπτακινόν: οἷον ἀκριβὲς καὶ ἐπὶ λεπτὸν πεφροντισμένον.

Λειπογνώμων: σημαίνει τὸν μηδέπω τὸν ὀδόντα βε-

βληκότα, δι' οὗ ἡ ἡλικία τῶν ἵππων καὶ τῶν ἄλλων τετραπόδων γνωρίζεται.

Λιμοκόλακες: οἱ διὰ λιμὸν κολακεύοντές τινα.

Λέκιθος: ἐπὶ τοῦ κρόκου τοῦ ὠοῦ ἰατροὶ λέγουσι. Κάνθαρος δὲ οὕτως ἀληλεσμένον τι ἐξ ὀσπρίων. 5

Λάληθρον: τὸν λάλον καὶ διὰ τοῦ λαλεῖν κακουργοῦντα.

Ληκυθίζειν: ὁπόταν βούλωνται οἱ φωνασκοῦντες κοῖλον τὸ φθέγμα ποιεῖν, ὥςπερ εἰς ληκύθους προϊέμενοι. 10

Λισπόπυγος: ὁ ἀποτετριμμένην ἔχων τὴν πυγήν. λίσπη γάρ ἐστιν ἡ ἀποτετριμμένη ἀστράγαλος.

Λακωνομανεῖν: περὶ τὰ Λακώνων νόμιμα καὶ ἐπιτηδεύματα ἐσπουδακέναι.

Λευκὸν ἀγαθόν: σημαίνει τὸ μέγα καὶ λαμπρὸν 15 ἀγαθόν.

Λείριον: ἔστιν ἕτερον παρὰ τὸ κρίνον, τὰ μὲν ἄλλα ὅμοιον, πλατύτερα δὲ τὰ φύλλα ἔχον. διὸ καὶ ταὐτὸν ἔδοξέ τισιν.

Λογοπλάθος: ὁ λόγους καὶ μύθους πλάττων, ὡς 20 Αἴσωπος.

Λυχνίον: οἱ ἀμαθεῖς λυχνίαν αὐτὸ καλοῦσιν.

Λυχνοῦχος, λαμπτήρ, φανός διαφέρει. λυχνοῦχος μέν ἐστι σκεῦός τι ἐν κύκλῳ ἔχον κέρατα, ἔνδον δὲ λύχνον ἡμμένον, διὰ τῶν κεράτων τὸ φῶς πέμπον· 25 λαμπτὴρ δὲ χαλκοῦν ἢ σιδηροῦν ἢ ξύλινον λαμπάδιον ὅμοιον, ἔχον θρυαλλίδα· φανὸς δὲ φάκελός τινων συνδεδεμένος καὶ ἡμμένος. ὃ καὶ διὰ τοῦ π̄.

Λωβᾶσθαι τόνδε καὶ τῷδε, αἰτιατικῇ καὶ δοτικῇ.

Λάθαργος κύων: ὁ λάθρα προσαλλόμενος καὶ χωρὶς 30 ὑλακῆς δάκνων. τοῦτο δὲ οἱ πολλοὶ παραφθείραντες λαθροδήκτην καλοῦσιν.

Λογγάζειν: τὸ διαδιδράσκειν τὸ ἔργον, προφασιζό-

μενόν τινα πρόφασιν. καὶ τοῦτο Ἀρισοφάνης τίθησιν ἐπὶ ἵππων προςποιούμενος χωλεύειν.

Λαλεῖν τοῦ λέγειν διαφέρει. τὸ μὲν ἐπὶ τοῦ φλυαρεῖν, τὸ δὲ λέγειν ἐπὶ τοῦ ἱκανοῦ λέγειν.

Λέπειν: τὸ ἐκδέρειν μαστιγοῦντα. 5

Λόγοις πιαίνειν: οἷον παραμυθεῖσθαι.

Λευκηπατίας: ὁ εὐήθης.

Λάσανα: ὡς ἡμεῖς, ἐφ' ὧν ἀποπατοῦμεν.

Λίστριον: τὸ ὑπὸ τῶν πολλῶν καλούμενον κοχλιάριον. Ὅμηρος μὲν λίστρον τὸν ξυστῆρα, οὗ ὑποκοριστικὸν 10 λίστριον, οἷον ξυστηρίδιον. ἔοικεν οὖν τὸ πρῶτον τοιοῦτο κατεσκευάσθαι ὅμοιον πτύῳ στρογγύλῳ.

Ληνούς: οὐ μόνον, ἐν αἷς τοὺς βότρυς πατοῦσιν, ἀλλὰ καὶ τὰς τῶν νεκρῶν σορούς, ἀπὸ τῆς ὁμοιότητος τῆς κατασκευῆς. 15

Μ.

Μηροκαυτεῖν: ὁμοίως τῷ ἱεροκαυτεῖν καὶ ὁλοκαυτεῖν.

Μονογέρων: τὸν μονότροπον καὶ δύσκολον γέροντα 20 σημαίνει.

Μεθυσοχάρυβδις: ἐπὶ γυναικὸς μεθύσου, οὐκ ἐπ' ἄρρενος.

Μετοίκιος Ζεύς: ὁ ὑπὸ τῶν μετοίκων τιμώμενος.

Μεταβάλλεσθαι: τὸ μεταπιπράσκειν. 25

Μηδὲν ὑπέρφευ: Κρατῖνος. ἐπὶ τοῦ μηδὲν ἄγαν.

Μάσθλης: ὁ μαλθακὸς καὶ μεμαλαγμένος τὴν ψυχὴν καὶ μὴ ἀνδρεῖος.

Μεθιστάναι καὶ ἱστάναι: οὐχὶ μεθιστάνειν καὶ ἱστάνειν. 30

Μαλακιῆν: το ὑπὸ κρύους ναρκᾶν.

Μανόν: τὸ ἀραιὸν οὕτω λέγουσιν Ἀθηναῖοι. τὴν πρώτην συλλαβὴν ἐκτείνουσιν.

Μυκῆτα λύχνων: τὰ ἐπιγινόμενα ταῖς μύξαις τῶν λύχνων.

Μεταίτην: οὐ μόνον ἐπαίτην.

Μεταπομπή: ἡ μετάπεμψις.

Μολυβδιᾶς: ὑπὸ νόσου οἷον μολύβδου χρῶμα ἔχεις.

Μὴ μέθῃ τοῦδε: ἀντὶ τοῦ μὴ ἀπόσχῃ, μὴ ἀφῇς.

Μωλύειν: τὸ ἐκλύειν καὶ διέλκειν καὶ μαραίνειν. καὶ μωλύον κρέας λέγεται τὸ ἠρέμα διαχεόμενον καὶ μὴ συνεστός.

Μετωπιδία θρίξ: ἡ τῶν θυομένων ἱερείων, ἣν πρὸ τοῦ θύεσθαι ἀποκείροντες εἰς τὸ πῦρ ἐμβάλλουσιν.

Ν.

Νεανίευμα: ἀνδρεῖόν τι καὶ νεανικὸν ἔργον, ὁποῖον ἂν γεννάδας τις ὑπ' ἀνδρείας διαπράξαιτο καὶ φρονήματος γεννικοῦ.

Νεανιεύσασθαι: ὑψηλόν τι καὶ ἐλευθέριον φρονῆσαι.

Νεόπλουτος: τὸ δὲ νεοπένης σπάνιον.

Νεοπλυνῆ χλαῖναν, νεόπλυνες ἱμάτιον.

Νεαλές: παρὰ τὸ ἁλές, ὃ σημαίνει τὸ ἀθρόον, τὸ νεωστὶ γεγενημένον καὶ συνενηνεγμένον. τὸ γὰρ συνελθεῖν καὶ συναλισθῆναι ταὐτόν. Ἀριστοφάνης τὸ νεαλές....

Νουμηνία: οὕτω λέγουσιν οἱ Ἀττικοί. τὸ δὲ νεομηνία ἀτιμάζουσιν.

Νεολαία: ἔστι νέος λαὸς ἢ νεότης, παρ' ὃ γέγονεν ἡ νεολαία.

Νῆστις ὀσμή: ἡ ἐκ τῆς ἀσιτίας τοῦ στόματος δυσωδία.

Νοσεῖν τὰς φρένας, νοσεῖν τὸν νοῦν, νοσεῖν τὴν ψυχήν.

Νῆστις, καὶ τὸ πληθυντικὸν νήστιδες καὶ νῆστις.

Ο.

Ὀνειρόμαντις, ἀστρόμαντις, ὀρνιθόμαντις, ἀλφιτόμαντις: οὕτω λέγουσιν.

Οὐδέποτε: ἐπὶ μέλλοντος μόνου φασὶ τίθεσθαι τὴν φωνήν, ἐπὶ δὲ παρῳχημένου τὸ οὐδεπώποτε. εὑρίσκομεν δὲ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τὸ οὐδέποτε καὶ ἐπὶ παρῳχημένου χρόνου, οὐδέποτε προδέδωκέ με.

Ὀψάριον: τὸ ὄψον, οὐχὶ τοὺς ἰχθῦς. οἱ δὲ νῦν τοὺς ἰχθῦς λέγουσιν. 5

Οὐδὲ ἕν: οὕτω χρὴ λέγειν, οὐ δισυλλάβως· καὶ διὰ τοῦ δ. διὰ μέντοι τοῦ θ δισυλλάβως.

Ὄμφακας βλέπειν: οἷον αὐστηρὸν καὶ δριμύ.

Ὄμφακες: τὰ ἄωρα τῶν βοτρύων καὶ ὄξινα. 10

Ὄζειν ἑτῶν: πάνυ ἀστείως ἐπὶ πρεσβύτου ἢ πρεσβύτιδος.

Ὀρθαγγελεῖν: ὀρθὰ καὶ ἀληθῶς ἀγγέλλειν.

Ὀνυχιμαῖα τέμνειν: ἀντὶ τοῦ μικρά.

Οἴδατε: ἄμεινον τὸ ἴστε. 15

Ὅσια μανθάνειν, ὅσια ἰδεῖν, ὅσια ἀκοῦσαι: ἀντὶ τοῦ ἔξεστι μανθάνειν, ἔξεστιν ἰδεῖν, ἔξεστιν ἀκοῦσαι.

Οὐδέν σου παρίεμαι: οὐδὲν παραιτοῦμαι, οὐδὲν ἀποτρέπομαι. 20

Οὐδὲν κακὸν ῥᾳδίως ἀπόλλυται: ἐπὶ τῶν εὖ πραττόντων πονηρῶν.

Οὐκ ἔστι τοσούτου ὤνιος ἐλλέβορος, ὥς τέ τινα ἰᾶσθαι: θείης ἂν τὴν φωνὴν ἐπί τινος ἀνιάτως ἔχοντος. 25

Ὄχλος ἄλλως: ἐνόχλησις. Δημοσθένης.

Ὄζει κνίσης: ἐπὶ τῶν προσκαομένων ὄψων.

Ὁρκωμόσια: τὰ ἐπὶ ὅρκοις γινόμενα ἱερεῖα.

Ὀφρυάζειν: τὸ τὰς ὀφρῦς ἐπαίρειν καὶ ἀποσεμνύνεσθαι. 30

Ὀργάζειν πηλόν: τὸ διαβρέχειν. οὕτω γὰρ τὸ ὑγραίνειν οἱ ἀρχαῖοι λέγουσι. καὶ ὀργάδα τὴν ἱερὰν καὶ ἀνιερωμένην γῆν, ὅτι ἑλώδης καὶ ἔνυγρος.

Ὀρίνδα: ἣν οἱ πολλοὶ ὄρυζαν καλοῦσιν.

Ὀσημέραι: ἐπὶ τῆς παρεσχάτης εὗρον τὴν ὀξεῖαν κειμένην.

Ὄρνις καὶ ὄρνιθες: διττῶς.

Οὐδαμοῦ λέγω τοῦτον: ἀντὶ τοῦ ἐν οὐδεμιᾷ ψήφῳ τίθεμαι, οὐδενὸς ἄξιον ἡγοῦμαι.

Ὄρθριος χρὴ λέγειν, οὐκ ὀρθρινός. διαφέρει δὲ ὄρθρος τοῦ ὀρθρίου. ὄρθρος μὲν γάρ ἐστιν ἡ ὥρα τῆς νυκτός, καθ᾽ ἣν ἀλεκτρυόνες ᾄδουσιν· ἄρχεται δὲ ἑνάτης ὥρας, καὶ τελευτᾷ εἰς διαγελῶσαν ἡμέραν. τεκμήριον δέ· ὀρθρεύεσθαι γὰρ καλοῦσιν οἱ Ἀττικοὶ τὸ λύχνῳ προσκεῖσθαι, πρὶν ἡμέραν γενέσθαι. ὄρθριον δ᾽ ἐρεῖς ᾄδει, καὶ ὄρθριος ὁ ἀλέκτωρ ἦσεν. ἕως δὲ τὸ ἀπὸ γελώσης ἡμέρας ἄχρις ἡλίου ἐξέχοντος διάστημα. πλήθουσα δ᾽ ἀγορὰ ἀλφίτων τετάρτη καὶ πέμπτη ὥρα. μεσημβρία δὲ ἀμφ᾽ ἕκτην καὶ ἑβδόμην ὥραν. δείλη δὲ ἀμφὶ τὴν ἑνάτην καὶ δεκάτην. δυσμαὶ δὲ ἡλίου. εἶτα ὅ ἐστιν ἑσπέρα καὶ περὶ λύχνων χρείαν. πρῶτος ὕπνος ἀμφὶ τρίτην καὶ τετάρτην ὥραν τῆς νυκτός. μέσαι δὲ νύκτες, καὶ τοὐντεῦθεν ἀλεκτρυόνες ᾄδουσιν, ὃ λέγεται ὄρθρος.

Ὀμφακίας θυμός: ὁ αὐστηρὸς καὶ ἄγαν σκληρός.

Ὁλότμητα δεῖπνα: τὰ μεγάλα, ἐν οἷς ὅλα τὰ μέρη τῶν παρασκευαζομένων ἀποτέμνεται καὶ παρατίθεται δαιτυμόσιν.

Ὀρνιθεῖα: οἱ τόποι, ἔνθα οἱ ὄρνιθές εἰσιν. ἢ θῆραι. τῷ τόνῳ δὲ ὡς ἱερεῖα, διδασκαλεῖα.

Ὀνόγαστρις ἄνθρωπος: ἐπὶ τῶν ἄρρυθμον καὶ μεγάλην γαστέρα ἐχόντων.

Ὄστινον δεῖ λέγειν, οὐκ ὀστέϊνον.

Ὁ λόγος ὅδε οὐκ εὖ φρονεῖ: εἰ βούλει πρός τινα μὴ ὀρθῶς εἰπόντα ἐνσημήνασθαι, ἀνεπαχθὴς ἔσῃ.

Οὐδὲ πάτταλον ἂν δοίης: Ὅμηρος, τὸ ἄγριον καὶ

ἄξενον δηλῶν, οὐδ' ἅλα ἂν δοίη περί τινος ἔφη. Ἀριστοφάνης μεταβαλὼν ἐπὶ τὸ καινότερον, οὐδὲ πάτταλον εἶπε δίδωσι· πάτταλον γὰρ κἂν ταῖς ὁδοῖς ἐρριμμένον ἔστιν εὑρεῖν. δύναται συμβολικῶς εἰπεῖν τὸν διὰ βρόχου θάνατον. 5

Ὁμοσπονδεῖν: τὸ κοινωνεῖν σπονδῶν καὶ θυσιῶν.

Οἰνήρυσις: ἀγγεῖόν τι, ᾧ τὸν οἶνον ἀρυόμεθα, ὥςπερ, ᾧ τὸν ζωμόν, ζωμήρυσις, καὶ ᾧ τὸ ἔτνος, ἐτνήρυσις.

Ὀνυχίζειν καὶ ἐξονυχίζειν: τὸ περί τι ἀκριβολογεῖσθαι. λέγουσι δὲ καὶ ἀπονυχίζειν τὸ τοὺς ὄνυχας 10 ἀφαιρεῖν.

Ὀττόμενος, ὄττα, ὠττευόμην: τὸ σημαινόμενόν ἐστιν ἐπιψηφίζων καὶ οἰωνιζόμενος.

Οἰνοχόη: ἐξ οὗ τὸν οἶνον εἰς τὰ ἐκπώματα ἐνέχεον. οὐχ ὡς οἱ νῦν τὴν τράπεζαν, ἐφ' ἧς τὰ ἐκπώματα 15 κεῖται. ἔστι δ' ἀγγεῖον προχοιδίῳ ὅμοιον.

Ὅρκον γυναικὸς εἰς ὕδωρ χρὴ γράφειν: ὅτι ἀπιστεῖν γυναικὶ δεῖ ὀμνυούσῃ. χρήσαιο δ' ἂν αὐτῷ καὶ ἐπὶ παντὸς ἀπίστου καὶ ἐπιόρκου.

Οὐκ εἰμὶ βαδιστικός: οὐκ εἴθισμαι οὐδὲ μεμελέτη- 20 κα περιπατεῖν.

Οἰκοκερδῆ βίον εὕρηκεν: κερδαλέον.

Ὄχλος πραγμάτων: ἀντὶ τοῦ πλῆθος πραγμάτων.

Ὀξυήκοος ἄνθρωπος: ὁ ὀξέως ὑπακούων.

Ὀρνιθίας χειμών: ὃν οἱ ὄρνιθες προσημαίνουσι, 25 γέρανοί τε καὶ κορῶναι καὶ εἴ τι ἄλλο τοιοῦτον. ἐτίθεσαν δὲ τὸ ὄνομα ἐπὶ τῶν ἀηδῶν καὶ μισητῶν καὶ προσημαινόντων ἀηδίαν πραγμάτων· καὶ γὰρ οἱ τὸν χειμῶνα προδηλοῦντες ὄρνιθες μισοῦνται. Ἀριστοφάνης·

. . . . ὥςπερεὶ χειμὼν ἄρα 30
ὀρνιθίας εἰς τὴν ἀγορὰν ἐλήλυθας.

Ὀξύη: τὸ δένδραν, διὰ τοῦ ῡ καὶ ῃ, ἀλλ' οὐκ ὀξέα. καὶ ὀξύϊνον.

Ὀκλάσαι: τὸ τὰ γόνατα κάμψαι ἐγκαθίζοντα.

Ὀβολολόγεῖν: ἐπὶ τῶν βραχέα συλλεγόντων.

Οἰστέον: κομιστέον.

Ὀχευτής: ὁ ὀχεύων. ἐπὶ τῶν τετραπόδων μάλιστα χρήσῃ. 5

Οὐδὲν ἄπο καιροῦ λέγεις: οἷον οὐκ ἔξω καιροῦ.

Οἰσωπηρά δεῖ λέγειν τὰ ῥυπαρὰ καὶ ἄπλυτα ἔρια. παρὰ τὸν οἴσωπον οἰσωπηρά, ὡς παρὶ τὸν ὄλισθον ὀλισθηρά.

Ὀμφακας: τὰς ὄμφακας θηλυκῶς εἶπε Πλάτων. 10

Ὀξυμαθὴς ἄνθρωπος: ὁ ὀξέως μανθάνων τὸ λεγόμενον.

Ὁλοκαυτεῖν: ἀπὸ τοῦ ὁλοκαυτῶ, οὗ ὁ μέλλων ὁλοκαυτήσω. λέγεται καὶ διὰ τοῦ ῑ, ὁλοκαυτίζω, ἐξ οὗ ὁλοκαυτιῶ ὁ Ἀττικὸς μέλλων, οὗ τὸ ἀπαρέμφατον ὁλοκαυτιεῖν. 15

Ὀλεκρανίζεσθαι: τὸ τοῖς ὀλεκράνοις παίεσθαι. ὀλέκρανα δὲ τὰ ἄκρα τῶν ἀγκώνων.

Ὀξυρεγμία καὶ ὀξωρεγμία: τὸ αὐτό ἐστι· λέγεται γὰρ ἀμφότερα. 20

Ὀξύβαφον: διὰ τοῦ ῡ. παρὰ τὸ ὀξύ, καὶ οὐ παρὰ τὸ ὄξος σύγκειται. καὶ ὀξύγαρον, καὶ οὐκ ὀξόγαρον. δηλοῖ δὲ τὸ ὀξὺ κατὰ γένος ποιότητα πᾶσαν ὀξεῖαν, ἢ γεῦσιν ἢ σχῆμα ἢ ὄψιν ἢ πᾶν ὁτιοῦν ἧκον εἰς ὀξύ. ὡς εἶναι καὶ τὸ ὄξος εἶδος τοῦ ὀξέος. 25

Οὐκ ἀπείρῳ προσέβαλεν: ἐπὶ τῶν οἰομένων ἐξαπατήσειν, φωραθέντων δέ.

Ὀρίγανος: θηλυκῶς ἡ ὀρίγανος.

Ὁμαλός λέγουσι καὶ ὁμαλίζειν καὶ ὁμαλόν.

Ὀσμή: διὰ τοῦ σ μόνον, καὶ οὐ διὰ τοῦ δ. Ἰώνων δὲ διὰ τοῦ δ. 30

Ὀχεῖον: τὸν εἰς ὀχείαν ἀνειμένον ἵππον ἢ ὄνον.

Οὐδὲ εἰς τὸν ὀδόντα ἔχει φαγεῖν: ἐπὶ τῶν μηδὲ

σμικρότατα ἐχόντων φαγεῖν. σμικρότατον γὰρ ὑπὸ τὸν ὀδόντα ἐμπίπτει.

Ὀψισθείς: εἰς ὀψὲ τῆς νυκτὸς παραταθείς.

Οἰσπώτη: τὸ τῶν προβάτων ἀποπάτημα. τὸ δὲ τῶν αἰγῶν σφυράδες, ἐπεὶ ὥσπερ σφυρά ἐστι συμπεπλεγμένα. 5

Ὄψις: ἀντὶ τοῦ ὄνειρος.

Οἶσυον: οὐδετέρως. οἱ δὲ θηλυκῶς λέγοντες οἰσύα διαμαρτάνουσιν. σημαίνει δὲ ῥάβδους ἑλώδεις.

Οὔκοῦν: περισπώμενον μὲν συλλογιστικὴν διάνοιαν ἔχει, παροξυνόμενον δὲ διττῶς παρὰ τοῖς Ἀττικοῖς ἐκλαμβάνεται, ποτὲ μὲν ἀντὶ τοῦ μόλις ἐπ' ἀποφάσεως ταττόμενον, ποτὲ δὲ καθ' ὑπέρθεσιν· οὔκουν ἐάσεις - οὐκ ἐάσεις οὖν. καὶ παρ' Ἀριστοφάνει· 10

οὔκουν μ' ἐάσεις ἀναμετρήσασθαι τάδε, 15

ἀντὶ τοῦ οὐκ ἐάσεις οὖν με. καὶ Θουκυδίδης· οὔκουν ἀπιστεῖν εἰκός, οἷον οὐκ ἀπιστεῖν οὖν εἰκός. καὶ πάλιν· οὔκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ, ἀντὶ τοῦ οὐ χρὴ οὖν. σύγκειται δὲ ἐκ τῆς οὐκί ἀποφάσεως Ἰωνικῆς καὶ τοῦ οὖν συνδέσμου. 20

Ὀνεύειν: τὸ περιάγειν τὰ μηχανήματα, οἷς τούς τε λίθους καὶ τὰ ἄλλα ἕλκουσιν. ὄνος δ' ἐστὶν αὐτὸ τὸ μηχάνημα τὸ διὰ τροχιλίων καὶ σχοινίων. εἴρηται ὀνεύειν ἤτοι ὅτι καὶ ὄνοις ἐχρῶντο πρὸς τὴν περιαγωγήν, οὐ μόνον ἀνθρώποις, ἢ κατὰ μεταφορὰν ὄνων, ἐπεὶ καὶ οὗτοι ἀχθοφόροι. 25

Π.

Πολιτοκοπεῖν: καινότερον τοῦ δημοκοπεῖν, καὶ ἔοικε ταὐτὸν σημαίνειν. κόπτειν δὲ νῦν ἐστὶ τὸ λιπαρῶς ἐγκεῖσθαι καὶ πείθειν παρὰ γνώμην. καὶ πολιτοκόπος καὶ δημοκόπος. Πλάτων δὲ ἐν Πεισάνδρῳ 30

τὸ πολιτοκοπεῖν ἀντὶ τοῦ λοιδορεῖν καὶ κωμῳδεῖν εἶπεν.

Περιπλευριεῖς: σημαίνει τὸ περιπλακῆναι καὶ συγκοιμηθῆναι.

Παλαμηδικὸν τοὐξεύρεμα: οἷον σοφὸν καὶ εὐμήχανον. 5

Πραγματίας ὁ λόγος: ὁ πράγματα καὶ ἀηδίας παρέχων.

Πολύζωον κακόν: ἐπὶ πάνυ γηραιοῦ εἴποις ἄν.

Περίζυξ καὶ ἄζυξ: Εὔπολις καὶ Ἀριστοφάνης. 10

Παραξόνια: τὰ τῷ ἄξονι ἐμπηγνύμενα ὑπὲρ τοῦ κατέχειν τὸν τροχόν· ἃ οἱ πολλοὶ παραξονίτας ἢ ἀξονίδια καλοῦσιν.

Πλησιαίτατοι καὶ πλησιαίτεροι εἴρηται.

Παγετῶδες καὶ ψυχρόν. 15

Προςβολὴ σιδήρου: τὸ στόμωμα τὸ προςτιθέμενον ἐπ' ἄκρῳ τῷ σιδήρῳ ἐν ἐργαλείοις.

Πιτύων καρπούς: ἃ οἱ πολλοὶ κώνους καλοῦσι. πίτυν δὲ καὶ τὸ δένδρον ἐκάλουν, ὃ νῦν στρόβιλισν ὀνομάζουσιν. 20

Προώδων: ἡ προέχουσα εἰς τὸ ἔξω μέρος τοὺς ὀδόντας. καὶ ἐπὶ ἄρρενος.

Πλέον ἢ ἐνιαυτῷ πρεσβύτερος ὑπὸ τῆς ἀηδίας γίνομαι: ἀστεῖον. τὸ γὰρ ὑπὸ τῆς ἀηδίας οὕτω διατίθεσθαι, ὡς καὶ τῶν ἐτῶν ὑφαιρεῖσθαι, οὐδὲν ἀλλ' ἢ αὔξησίς ἐστιν. 25

Πλύνον πλύνεσθαι: σημαίνει μὲν τὴν ὕβριν, μετενήνεκται δὲ ἀπὸ τῶν πλυνομένων ἱματίων καὶ πατουμένων· καὶ γὰρ οὔροις καὶ τοῖς ἄλλοις ταῦτα ῥύπτεται, καὶ πλυνόμενα περιυβρίζεται καὶ πατούμενα. 30

Πέλαγος ἡ πόλις ἐστίν: εἰ θέλοις ἐγκωμιάζειν πόλιν.

Ποντοφάρυξ: εἴ τις βούλοιτο σκώπτειν τινὰ ἄπληστον καὶ φάγον, ὅτι ἡ φάρυξ διὰ μέγεθος πελάγει ἔοικεν.

Προτερεῖν ἐπὶ ὁδοῦ: σημαίνει τὸ προϊέναι ἑτέρου ἐν ὁδοιπορίᾳ.

Προεξεγείρειν πρᾶγμα: οἷον πρὸ τοῦ δέοντος καιροῦ ἀνακινεῖν.

Πέτρας εἴργασται ὅδε: ἐπὶ ἀτέγκτου καὶ ἀπείθοῦς. 5

Παλεύτρια: ἡ ἐξαπατῶσά. τίθεται ἐπὶ τῶν ὀρνίθων τῶν ἐξαπατώντων τὰ ἄλλα ὄρνεα, καὶ μάλιστα ἐπὶ τῶν περιστερῶν.

Προβατεύειν: πρόβατα τρέφειν.

Προχοίδιον: ὑποκοριστικῶς, ἀπὸ τοῦ πρόχους ὡς 10 οὖν βοῦς βοίδιον, οὕτω πρόχους προχοίδιον.

Πατρώζειν: τὰ τοῦ πατρὸς ἐργάζεσθαι.

Πίθων: ὁ πίθηκος, ὑποκοριστικῶς.

Παλιναίρετα: τὰ ἐκ καταλύσεως οἰκοδομίας παλαιᾶς εἰς ἑτέραν πρόσφατον οἰκοδόμησιν ἐμβαλλόμενα. 15

Παρέλυσεν: οἷον κατέλυσε καὶ ἐνίκησε καὶ οἷον ἔπαυσε τῆς ἀρχῆς.

Προβύσαι φορτικὸν γέλωτα: ἀντὶ τοῦ προβαλεῖν. ἡ μεταφορὰ ἀπὸ τῶν τοὺς λύχνους προβυούντων· καὶ γὰρ τούτων τὴν θρυαλλίδα ἐκ τοῦ ἔνδον εἰς τὸ ἔξω 20 προβάλλουσι. τίθεται ἐπὶ τῶν μηδὲν σεμνὸν ἐχόντων, ἀεὶ δὲ διὰ τοῦ γελωτσποιεῖν θηρωμένων τι.

Πρότηθυς: ἡ οὕτω γραῦς, ὡς πρὸ Τηθύος τῆς Ὠκεανοῦ γεγονέναι γυναικός. Κρατῖνος τὴν ὑπεργήρων οὕτω λέγει παίζων. 25

Πυθμὴν δικῶν: οἷον ῥίζα δικῶν, φιλόδικος.

Παρακεκροῦσθαι τῶν φρενῶν ἢ τοῦ νοῦ: οἷον παραπεπαῖσθαι καὶ μὴ ἐν τῷ καθεστῶτι εἶναι. ἡ μεταφορὰ ἀπὸ τῶν κεκρουμένων μέτρων καὶ δεδολωμένων. 30

Παρασοφίσματα: οἷον παρεξευρήματα.

Περίτριμμα πραγμάτων: οἷον τετριμμένον ἱκανῶς πράγμασιν.

Ποταμόῤῥυτος γῆ: ἡ διαῤῥεομένη ποταμοῖς.

Προτιμᾶν: τὸ φροντίζειν.

Παροψίδες: τὰ ὄψα τὰ ποικίλως κεκαρυκευμένα· καὶ οὐχ, ὡς οἱ νῦν, ἐπὶ τῶν λεκανίων.

Πέπραγεν: διὰ τοῦ γ. προκρίνουσι τοῦ πέπραχεν.

Πύελος: ἐν ᾧ ἔλουόντο, οἱ ἀρχαῖοι.

Προφορεῖσθαι: τὸ προφέρειν τὸν στημόνα διαζομένοις.

Πυκνότης τρόπου: ἐπὶ συνετοῦ καὶ φρονίμου.

Πι[illegible]κισμοί: αἱ πανουργίαι. 1

Περαντικὸς ῥήτωρ: ὁ πέρας τοῖς λόγοις ἐπιτιθεὶς ἐν ταῖς ἀποδείξεσι διὰ δύναμιν λόγων.

Παφλάσματα: ψευδεῖς καὶ ἀλαζόνες λόγοι, καὶ ἀναζέοντες ὥςπερ ἐκ πυρός.

Πάναισχρα ἔργα καὶ πάναισχροι λόγοι. 1

Παράβολος: ὁ ἐπ' οὐδενὶ δικαίῳ παραβαλλόμενος τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ τὴν ἐπιτιμίαν.

Πολεμιῶ: Ἀττικόν, ἀπὸ τοῦ πολεμίζω.

Παρεῳγμένης τῆς θύρας: οἱ ἰδιῶται παρανεῳγμένης. ὁμοίως παροίξει τὴν θύραν. 2

Πολὺ μεθέστηκε τοῦ τρόπου: ἀντὶ τοῦ μεταβέβληται τοῦ βίου καὶ τοῦ ἤθους.

Πρὸς τοῦ λέγοντος εἶναι: οἷον παντὶ τῷ λέγοντι πείθεσθαι.

Περικεκρουμένος ἄνθρωπος: ὁ οὐχ ὁλόκληρος. ἡ 2
μεταφορὰ ἀπὸ τῶν ἀγγείων τῶν ὑπὸ χρόνου περικεκρουμένων.

Παλάμημα καὶ τύρευμα: χρῶ.

Περίδρομοι ἐτῶν: οἷον περίοδοι.

Προβάλλεσθαι: ἀντὶ τοῦ μισεῖν καὶ ἀποτρέπεσθαι. 3

Περιειργμένος τόπος: ἀντὶ τοῦ περιπεφραγμένος.

Πρωπέρυσι: διὰ τοῦ ῶ λέγουσιν οἱ Ἀθηναῖοι, ὥςπερ τὸ πρωτόλειος.

Ποντοκύκη γυνή: ἡ οὕτω πανοῦργος, ὡς καὶ τὴν θάλατταν κυκᾶν. ὡς πηξιθάλαττα ἡ τὴν θάλασσαν πῆξαι δυναμένη, ἥκιστα πηγνυμένην. καὶ ἐπὶ ἄρρενος τὸ ὅμοιον ἐρεῖς.

Περιελαύνεσθαι: ἀντὶ τοῦ περιυβρίζεσθαι. 5

Προσδόκιμος: ἀντὶ τοῦ ἐπίδοξος ἔλεγον.

Περιστέλλεσθαι: ὃ ποιοῦσιν αἱ γυναῖκες, περικαλύπτουσαι ἑαυτάς.

Πάγος καὶ πάγετος: ἑκατέρῳ χρῶ.

Πρόπυστος: σημαίνει τὸν προπεπυσμένον καὶ προακηκοότα. 10

Πρὸς καιρὸν λέγειν: ἀντὶ τοῦ καίριον.

Παραθέσθαι: τὸ θέσθαι τι παρὰ μεσεγγύῳ.

Προαναγυμνάζειν στόμα ἢ φωνήν: ὃ ποιοῦσιν οἱ φωνασκοῦντες καὶ τῇ φωνῇ ἀγωνιζόμενοι, ὃ οἱ πολλοὶ ἀναφώνησιν λέγουσιν. 15

Πρῷον: τὸ ὑπὸ τῶν πολλῶν πρώϊμον.

Πρώ: δύο σημαίνει, τὸ πρὸ καιροῦ καὶ ἕωθεν. λέγεται καὶ δισυλλάβως.

Προπηλάκισις: οὐ μόνον προπηλακισμός. 20

Ρ.

Ῥαδάμανθυς τοὺς τρόπους: ῥηθείη ἂν ἐπί τινος δικαίου.

Ῥινώλεθρος ὀσμή: ἐπὶ δυσώδους ἐρεῖς. 25

Ῥαδινοὺς πόδας: τοὺς ὀρθοὺς καὶ ἁπαλοὺς καὶ εὖ πεφυκότας.

Ῥυπαρός: ἐπὶ τῶν γλίσχρων καὶ φειδωλῶν.

Ῥιγεσίβιοι: ἐπὶ τῶν πτωχῶν καὶ γυμνῶν, προσποιουμένων δ' ἀσκεῖν τὸ σῶμα. 30

Ῥωποπώλης: ὁ τὸν ῥῶπον πωλῶν, ὅ ἐστι ξηρὸς χόρτος καὶ ποικίλος.

Ῥάβδος, ῥαβδίον: τὸ ὑποκοριστικὸν δόκιμον.

Σ.

Συμβολεὺς τῶν φίλων: κατὰ τῶν τοὺς φίλους εἰς ἔχθραν συμβαλλομένων.

Σκαφῆς: οἱ σκαφεῖς, οὓς ἂν οἱ πολλοὶ σκαπανεῖς εἴποιεν.

Σπόνδαρχος: ὁ ἐξάρχων τῆς σπονδῆς ἐν τοῖς συμποσίοις.

Σκαφεῖον: ἐργαλεῖον, ᾧ σκάπτουσιν, ἤτοι ἄμη ἢ ἀξίνη.

Σκληροβίοτος: ὁ σκληρῷ βίῳ καὶ δυςχερεῖ χρώμενος.

Στείλασθαι τὸ πρόςωπον: ἀντὶ τοῦ συστρέψαι καὶ σκυθρωπάσαι. ἢ μεταφορὰ ἀπὸ τῶν ἱστίων τῶν στελλομένων ἐν τῇ νηῒ καὶ συστρεφομένων.

Σκληρότης ὅρκων: ὁπόταν τις ὀμόσῃ φρικώδεις τινὰς ὅρκους.

Σιτομνημονεῖν: τὸ ἐπιμέλειαν ποιεῖσθαι τοῦ τὸν σῖτον διδόναι εἰς τροφάς.

Σιαλίζειν: ὅτε ὁρᾷς ἐσθίοντί τινι σίαλον ἐπιόντα τῷ στόματι, σιαλίζειν λέγε.

Σκώληξ ἡ κωφὴ τῶν κυμάτων ἐπανάστασις τῆς θαλάττης εἴρηται, ὅτι παραπλησίως τῷ σκώληκι τῷ ζώῳ τὰ κύματα κυλινδεῖται.

Στρεβλός: ὁ διάστροφος τοὺς ὀφθαλμούς, ἀλλ' οὐχὶ στραβός.

Σφαιρομαχεῖν: τὸ τὰς σφαίρας περιδονούμενον διαμάχεσθαι.

Σπονδαγωγοὶ κήρυκες: οἱ σπονδὰς φέροντες.

Σελὶς βιβλίου: λέγεται δὲ καὶ σελὶς θεάτρου.

Σημῆναι καὶ ἐσήμηνα ἐρεῖς ἀντὶ τοῦ σημᾶναι καὶ ἐσήμανα. ὡςαύτως φῆναι καὶ ἀποφῆναι καὶ προφήνας, καὶ ἐθέρμηνα καὶ θερμήνας, καὶ ἐτεκτήνατο τεκτήνασθαι, καὶ ἐμήνατο μήνασθαι καὶ ἐκμῆναι· καὶ διὰ τοῦ ῥ, ἐχθήρας·

καὶ ἐκάθηρας· καὶ διὰ τοῦ λ, ἔσφηλα καὶ σφήλας.

Σπευστόν: σπουδῆς ἄξιον.

Στρυφνὸν ἦθος: τὸ σκληρόν.

Σίκυος σπερματίας: ὃ οἱ πολλοὶ πέπονα οὐκ ὀρθῶς λέγουσι. τὸ γὰρ πέπων κατὰ πολλῶν φέρεται τῶν εἰς πέψιν φθασάντων. 5

Συμπονηρεύεσθαι: τὸ κοινωνεῖν πονηρίας.

Σταφυλαί καὶ βότρυες: χρῶ.

Σοροδαίμων: ἐπὶ τεθνηκότος τάττεται. δηλοῖ δὲ ὁ ἄξιος ἐν σορῷ δαίμων εἶναι δι' ὑπερβολὴν γήρους. 10

Συλλογιμαῖος φορυτός: ἐπί τινος οὐδενὸς ἀξίου ἀνθρώπου.

Σωρὸν κρεῶν: εἰς ἀνόητόν τινα καὶ μηδὲν ἄλλο ἢ σάρκας ἔχοντα. 15

Συνθεῖναι ποίημα καὶ λόγον: οὐ μόνον συγγράψαι.

Σπουδαρχίδης: σημαίνει τὸν σπεύδοντα ἐπὶ τὰς ἀρχάς. καὶ σπουδαρχίας.

Συννοεῖν: ἀντὶ τοῦ ἐννοεῖν. 20

Σκυτεύειν: τῷ σκυτοτομεῖν μᾶλλον χρηστέον.

Στραγγαλιώδης ἄνθρωπος: ὁ οὐχ ἁπλοῦς, ἀλλ' ἐπιτεταραγμένος.

Σύμμαχα ὅρκια: ἃ ἂν τις ἐπὶ συμμαχίαν ὀμόσῃ.

Σαφὲς φῶς: οἷον ἀκριβὲς καὶ λαμπρόν, καὶ οὐκέτι λυκόφως ἀλλ' ἥλιος, 25

Στρόβιλος: τὴν τοῦ ἀνέμου συστροφήν, οὐχ ὡς οἱ νῦν τὸν καρπὸν τῶν πιτύων. Πλάτων καὶ μεταφορικῶς κέχρηται ἐπὶ ᾠδῆς κιθαρῳδικῆς, πολὺν ἐχούσης τὸν τάραχον. 30

Συκολογεῖν: οὐ μόνον συκάζειν.

Σκωρία: ἐπὶ τῆς τοῦ σιδήρου ἀποκαθάρσεως τῆς ἐν τῷ πυρὶ γινομένης καὶ ὑφιζούσης.

Σφήκωμα: τὸ διεσφιγμένον τῇ σφίγξει καὶ διεῤῥαμμένον ἐπιμελῶς. τὸ γοῦν ἐκ τῶν σπαρτίων διαῤῥαπτόμενον σφήκωμα ἔλεγον. οἱ δὲ νῦν σπαρτίον.

Σμῆνος καὶ ἐσμός: ἑκάτερον δόκιμον.

Σκοτεινὸς ὀργήν: ὁ δόλιος καὶ οὐ φανερὸς ὀργήν.

Σισυφίζειν: πανουργεύεσθαι καὶ δολιεύεσθαι καὶ δολίως τι πράττειν.

Σύγκλυδες: σύλλεκτοι καὶ παντοδαποί.

Στελερός: ἀῤῥενικῶς λέγεται ὑπὸ τῶν Ἀττικῶν. Ὅμηρος οὐδετέρως εἶπεν.

Σύριγξ: ὑπόγειον ὄρυγμά ἐστιν ἐπίμηκες. καὶ ἐν Θήβαις δὲ ταῖς Αἰγυπτίαις αἱ σύριγγες τοιαῦταί εἰσι τῇ κατασκευῇ.

Στόμις καὶ βίαιος ἵππος: ὁ μὴ πειθόμενος τῷ χαλινῷ.

Σαῦρος: ἀῤῥενικῶς λέγουσι. Θεόκριτος θηλυκῶς εἶπε σαῦρον.

Συντείνειν: τὸ τρέχειν συντεταμένως.

Συμμαθητάς: οἱ ἀκριβεῖς συμφοιτητάς.

Τ.

Τρέφειν καὶ διάγειν ἐν πολλοῖς ἀγαθοῖς: τίθεται ἐπὶ τῶν πάσῃ ἐπιμελείᾳ καὶ δαψιλείᾳ ἐπί τινα χρωμένων.

Τὰ νεῦρα τῆς τραγῳδίας: οἷον τὰ κυριώτατα καὶ ἀνέχοντα αὐτήν.

Τρυπαλώπηξ: ὁ διὰ πανουργίαν πάντα τρυπῶν καὶ ἐργάζεσθαι δυνάμενος.

Τοκοπράκτωρ: ἀλλὰ καὶ τοκογλύφος.

Τριπάλαια: τὰ πάνυ παλαιά.

Ταχυχειρίαν: ἐπὶ πράγματος ῥᾳδίως κατεργαζομένου.

Τὸ

Τὸ βλέμμα παρενήνεκται: ἐπὶ τῶν μὴ καθεστώτων τὴν διάνοιαν.

Τεμάχη μόνον ἐπὶ ἰχθύων, τόμους δὲ ἐπὶ κρεῶν καὶ ἐχελίδας.

Τεφρωθὲν πῦρ: ἀντὶ τοῦ καταμαρανθέν. 5

Τραχηλόσιμος ἄνθρωπος: ὁ βραχὺν τὸν τράχηλον ἔχων.

Τοῦ μηδενὸς τίμιος: οἷον μηδενὸς ἄξιος.

Τὸν ψόφον τῶν ῥημάτων: ἐπὶ τῶν ἐν λόγοις κομπαζόντων. 10

Τάγηνον οἱ Ἀττικοί, τήγανον οἱ Δωριεῖς.

Τρις ἐχθιστος ἄνθρωπος: οἷον παντὸς μίσους καὶ παντὸς ἔχθους ἄξιος.

Τῆς οἴκαδε κομιδῆς: ἀντὶ τοῦ τῆς ἐπανόδου.

Τυντλώδης καὶ ληρώδης λόγος: οἷον ὁ πεπατημένος καὶ κοινός. τύντλος γὰρ ὁ πεπατημένος πηλός. 15

Τοῦ πατρὸς τὸ παιδίον: παλαιὰ ἡ παροιμία, τιθεμένη ἐπὶ τῶν ὅμοια ποιούντων τοῖς πατράσιν.

Τέλμα: ὁ τόπος ὁ πηλώδης καὶ κοιλώδης ἐκ τοῦ συνίστασθαι ἐν αὐτῷ τὸ ὕδωρ. 20

Τῆς νῦν νεολαίας: τῆς νῦν νεότητος, τοῦ νῦν γένους. ἐκ τοῦ νέος καὶ τοῦ λαός.

Τροφαλὶς τυροῦ: εἴρηται ἀπὸ τοῦ θρέψαι, ὅ ἐστι πῆξαι.

Τἄλλα καὶ φιλώμεθα: παροιμία ἐπὶ τῶν ἐν μὲν τοῖς ἄλλοις συγχωρούντων, ἃ βούλονταί τινες, ἐνὶ δέ τινι μηκέτι. σημαίνει δὲ οἷον τἄλλα φίλοι ὦμεν, κατὰ δὲ τοῦτο διαφερώμεθα. 25

Τοπάζειν: τὸ ὑπονοεῖν.

Τηθαλλαδοῦς: ὁ ὑπὸ τήθῃ καὶ γυναιξὶ τεθραμμένος, καὶ διὰ τὴν τρυφὴν ἐκλελυμένος καὶ ἄχρηστος. 30

Τὸ φρόνημα ὀγκοῦν: οἷον ἐπαίρεσθαι καὶ χαυνοῦσθαι.

Τὴν καρδίαν κάεσθαι: ἐπὶ ὑπερβαλλούσης ῥηθείη ἂν ἀνίας.

Τιλλοπώγων: ὁ τὸν ἑαυτοῦ ἀποτίλλων πώγωνα.

Τυφογέρων: τοὺς διὰ γῆρας τετυφωμένους καὶ ἐπικεκαυμένους.

Τυμβογέρων: ἐπὶ τῶν πάνυ γηραιῶν, οἷον ὁ διὰ μακρὸν γῆρας τάφος ὢν καὶ οὐκέτι ἄνθρωπος. τέσσαρά εἰσιν ὀνόματα τοῦ γέροντος, ὠμογέρων, ὁ πρὸ τοῦ προσήκοντος καιροῦ γηράσας· εἶτα ὁ γέρων, ὁμωνύμως τῷ παντὶ γέροντι· τρίτου δὲ σύφαρ - ἔστι δὲ σύφαρ κατὰ γλῶτταν τὸ ἔνδυμα τοῦ ὄφεως -· τέταρτος τυμβογέρων, ὁ τύμβου χρείαν ἔχων.

Τρίχα, τέτραχα, πένταχα: βαρυτόνως.

Τημελῆ, καὶ τετημέληται, τετημέλημαι, ἀτημέλητος, τημελουμένη: πάντα δόκιμα. σημαίνει δὲ τὸ ἐπιμελεῖσθαι.

Τητινόν: τὸ ἐπέτειον· τῆτες γὰρ τὸ ἐπ' ἔτος. Ἀττικώτερον τὸ τητινόν· εἴρηται μέντοι καὶ ἐπέτειον. τῷ δὲ τόνῳ ὡς ἐαρινόν, ὀξυτόνως.

Τροχισθῆναι: ὑπὸ τροχοῦ κατατμηθῆναι ἢ κατασθραυσθῆναι, ὃ οἱ ἀμαθεῖς κατατροχισθῆναι λέγουσιν.

Τόλμη καὶ τόλμα, πρύμνη καὶ πρύμνα. νάρκη δὲ διὰ τοῦ ῆ.

Τοῦ κατ' ἐμὲ κόμματος: οἷον τῆς κατ' ἐμὲ τάξεως. ἡ μεταφορὰ ἐκ τοῦ νομίσματος.

Τοὺς πλεύμονας ὑπὸ γέλωτος ἀναβρασθῆναι: σημαίνει τὸν σφοδρώτερον γέλωτα.

Τρὶς ἐξ ἑνὸς βλέπειν: ἐπὶ τῶν διὰ φόβον πάνυ δεδορκότων, καὶ ὑπὸ φόβου καὶ τὰ ἁπλᾶ τριπλᾶ βλεπόντων.

Τοῦ λέγοντος εἶναι: σημαίνει τὸ λέγοντι παντὶ πειθεσθαι.

Τῶν διαβαλλόντων εἶναι: ταὐτὸν τῷ προειρημένῳ.

Τονθορύζειν: τετρασυλλάβως καὶ τρισυλλάβως. σημαίνει τὸ γογγύζειν.

Υ.

Ὑπόξυλος ποιητής, ῥήτωρ καὶ φίλος καὶ τὰ ὅμοια: εἴρηται κατὰ μεταφορὰν τῶν ἀπὸ ξύλου πεποιημένων σκευῶν, οἷς ἐπιπολῆς ἐλήλαται ἄργυρος ἢ χρυσός. καὶ τίθεται ἐπὶ τῶν πονηρῶν μέν, ἐντυχεῖν δ' ἐπιεικῶν.

Ὑποζυγιώδης ἄνθρωπος: ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως, ὥςπερ καὶ τὰ ὑποζύγια.

Ὕρισχος: ὃ διαφθείροντες οἱ ἰδιῶται βρίσχον καλοῦσιν. ἔστι δὲ πρόκανόν τι, ἐν ᾧ σῦκα καὶ τὴν ἄλλην ὀπώραν ἐκ τῶν ἀγρῶν εἰς ἄστυ φέρουσι, κοφίνῳ ἐμφερές.

Ὑληφορεῖν: ἀντὶ τοῦ φορτία φέρειν.

Ὑπερθεμιστοκλῆς: καινοτάτη ἡ φωνή. σημαίνει οἷον ὑπὲρ Θεμιστοκλέα τῇ σοφίᾳ. ὅμοιον Ὑπερπερικλῆς καὶ Ὑπερσωκράτης καὶ εἴ τι τοιοῦτον. ἀλλὰ κἀπὶ τοὐναντίου Ὑπερευρύβατος ὁ ὑπερβάλλων Εὐρύβατον πονηρίᾳ.

Ὑγρόγελως: ὁ ὑγρὸν καὶ διακεχυμένον γελῶν, καὶ μὴ αὐστηρὸν μηδὲ βίαιον.

Ὑπερδεδίσκηκας πονηρίᾳ πάντας: οἷον ὑπερβέβληκας. ἡ μεταφορὰ ἀπὸ τῶν ὑπερδισκευόντων ἀλλήλους. ὅμοιον τὸ ὑπερηκόντισας.

Ὑποτοπεῖσθαι καὶ ὑποτοποῦμαι: τὸ ὑποπτεύω καὶ ὑπονοῶ. ὑποτοπεῖν καὶ ὑποτοπῶ ἐνεργητικῶς.

Ὑπεροψωνεῖν: τὸ ἀγοράζοντός τινος ὄψον ἕτερον τῇ τιμῇ ὑπερβάλλοντα ὠνεῖσθαι.

Ὑπόλισπος πυγήν: ὁ ἀποτετριμμένος τὴν πυγὴν καὶ μικρὰν ἔχων. ἡ μεταφορὰ ἀπὸ τῶν λισπῶν· λίσπαι γάρ εἰσιν αἱ ἀποτετριμμέναι ἀστράγαλοι.

Ὑψαυχεῖν: Σοφοκλῆς.

Ὑπουλα γόνατα καὶ ὕπουλον χεῖρα καὶ πόδα, σῶμα: τὸ φλεγμαῖνον διά τινας πληγάς· τὸ δόξαν μὲν ἔχον ὑγιείας, ἔνδοθεν δὲ σαθρὸν καὶ φλεγμαῖνον. ὅθεν μεταφέρουσιν ἐπὶ τῶν εὐπρεπῶς μὲν διαλεγομένων, ἔνδοθεν δὲ ἐπιβουλευόντων.

Ὑποκρούειν τοὺς ῥήτορας: τὸ μεταξὺ λεγόντων αὐτῶν ὑποφθεγγόμενον ἐμποδίζειν. 10

Υἱέος: ἁμαρτάνουσιν οἱ διὰ τοῦ ῱ τὴν γενικὴν προφέροντες, ὡς Πηλέως.

Υἱεῖ: τῇ δοτικῇ χρῶνται, τῇ δ᾽ εὐθείᾳ υἱεύς οὔ, οὐδὲ τῇ αἰτιατικῇ υἱέα. 15

Ὑπέραυχοι: οἱ ὑπὲρ τὸ δέον αὐχοῦντες.

Ὑπογράμματα: οἷς ὑπογράφοντται τοὺς ὀφθαλμούς. ἔστι δέ τις μέλαινα σκευασία, ἣν καὶ στίβην καλοῦσιν.

Ὕποινος: ὁ οἰνωμένος. 20

Ὑπερφυὴς Κρόνος: ἐπ᾽ ἀρχαιότητι καὶ εὐηθείᾳ.

Ὑάλινα καὶ ὕαλος: διὰ τοῦ ᾱ, οὐ διὰ τοῦ ῑ.

Ὑπεσπανίσθαι συνέσεως: οἷον ἀσύνετον εἶναι.

Ὑπερδικῆσαι: ὑπέρ τινος εἰπεῖν δίκην.

Ὑπνίσαι: κατακοιμῆσαι, εἰς ὕπνον ἀγαγεῖν. 25

Ὑπερβαίνειν νόμους: τὸ παρανομεῖν.

Ὑπερφλυαρεῖν: οἷον σφόδρα φλυαρεῖν.

Ὑποσχηματίζεσθαι: οἷον προσποιεῖσθαι καὶ πλάττεσθαι.

Ὑποσακίζεται τὰ χρήματα: ἀντὶ τοῦ ὑπαναλίσκεται, ὑποκενοῦται· ἀπὸ τῶν τὰ σακία κενούντων, ἢ ἀπὸ τῶν τοῖς σακίοις διηθουμένων, οἷον οἴνου ἤ τι- 30

νος τοιοῦτου. ὑποσαλίζεται οὖν τὰ χρήματα, οἷον ὑπορρεῖ.

Ὑπερκριθῆναι κατὰ κάλλος, κατὰ ῥητορικήν, κατὰ φιλοσοφίαν.

Ὑπασθενεῖν: καινῶς τὸ ἀπάρχεσθαι ἀσθενεῖν καὶ μήπω κατέχεσθαι φανερῶς ὑπὸ τῆς νόσου. 5

Ὑπερπυππάζειν: ὑπερθαυμάζειν, ἐκπλήττεσθαι, παρὰ τὸ πύππαξ, ὅ ἐστιν ἐπίῤῥημα θαυμασμοῦ.

Ὑποκαθεῖναι τὰς ὀφρῦς: οἷον παύσασθαι χαλεπαίνοντα. τὸ γὰρ ἀνατείνειν ὀργῆς καὶ θυμοῦ καὶ αὐθαδείας. 10

Ὑσπληξ: θηλυκῶς, οὐκ ἀῤῥενικῶς.

Ὑπαπαίδευτος: ὁ μὴ τελέως ἀπαίδευτος. καὶ ὑπότυφλος ὁ μὴ τελέως τυφλός.

Ὑπέρινος: ὑπερκεκενωμένος διὰ καθάρσεως. ἰνᾶσθαι γὰρ τὸ καθαίρεσθαι καὶ ἔξεμεῖν. 15

Ὑπὲρ τὸ φεῦ: οἷον ὑπερβαλλόντως καὶ ἐκπληκτικῶς: τὸ γὰρ φεῦ ἐπὶ ἐκπλήξεως τίθεται.

Ὑποτροπάζειν: ὅταν πεπαυμένης τῆς νόσου πάλιν ἐπινοσῇ τις. 20

Ὑπερχολᾶν: οἷον μεγάλως μελαγχολᾶν. καὶ ὑπερχολῶ τῷδε ἀντὶ τοῦ διὰ τόδε.

Ὑπερακήκοα: οἷον ἄκρως ἀκήκοα.

Φ. 25

Φυσᾷν δίκτυον: παροιμία ἐπὶ τῶν μάτην τι πραττόντων. ὥςπερ εἰς πῦρ ξαίνειν, καὶ λίθον ἕψειν, καὶ σπείρειν πέτρας, ὠὸν τίλλειν, εἰς τετρημένον πίθον ἀντλεῖν, καὶ τὰ ὅμοια. 30

Φαῦλα: τὰ ἁπλᾶ καὶ μηδεμίαν ἔχοντα ποικιλίαν.

Φειδαλφιτεῖν: τὸ φείδεσθαι τῶν ἀλφίτων, οἷον τροφῆς καὶ σιτίων.

Φιλελπίς: ὁ φιλῶν ἐλπίδα καὶ ἡδόμενος ἐν τῷ ἀεί τι ἐλπίζειν.

Φλεβοτονεῖσθαι: τὸ τείνειν τὰς φλέβας λέγοντά τι ἢ πράττοντα.

Φορμοκοιτεῖν: τὸ ἐπὶ φορμοῦ καθεύδειν. φορμὸς δέ ἐστι πλέγμα τι ἐκ φλέω. τάττεται ἐπὶ λυπρῶς καὶ κακῶς κοιμωμένων, οὐκ ἐχόντων κνάφαλλον. 5

Φιλοτησίας προπίνειν: διττόν ἐστι τὸ δηλούμενον. καὶ ποτὲ μὲν κατὰ γενικὴν λέγεται, ἄλλοτε δὲ κατ᾽ ὀρθὴν καὶ εὐθεῖαν ἢ αἰτιατικὴν ἢ κλητικήν. ἂν μὲν οὖν κατὰ γενικήν, σημαίνει αὐτὴν τὴν πρόποσιν, αὐτὸ τοῦργον καὶ τὴν δεξίωσιν τὴν ἐν τῷ πίνειν· ἐκλήθη γοῦν ἀπὸ τῆς φιάλης. τὸ δὲ κατ᾽ ὀρθὴν ἢ αἰτιατικὴν ἢ κλητικὴν μόνως τάττεται ἐπὶ τῆς κύλικος. Δημοσθένης· φιλοτησίας προὔπινε. τοῦτο τῆς κατὰ γενικὴν συντάξεως καὶ διὰ παράδειγμα. οὐ γάρ, ὡς οἴονταί τινες, φιλοτησίας τὰς κύλικας λέγει, ἀλλὰ τῆς φιλοτησίας λέγει, καὶ ἔστιν ἐλλειπτικὸς ὁ τρόπος, οἷον χάριν ἢ ἕνεκα, ἵν᾽ ἢ τὸ ἐντελές, φιλοτησίας ἕνεκά σοι προπίνω, οἷον φιλίας. Λουκιανός. 10 15 20

Φίλετνος: ὁ φιλῶν ἔτνος ἐσθίειν. ἔτνος δὲ κύαμος ἢ τι ὄσπριον ἄλλο.

Φλέως: δισυλλάβως, τὸ φυόμενον ἐν τοῖς ἕλεσι φυτόν.

Φοῖνιξ: ἣν ἔχουσιν οἱ ῥαβδοῦχοι ἐν τοῖς ἀγῶσι φοίνικος τοῦ δένδρου. καὶ ῥάδικα καλοῦσιν οἱ ποιηταί. 25

Φορίνην: τὸ τῶν κρεῶν δέρμα ἢ τῶν ἰχθύων.

Φῷδες: τὰ ἐν τοῖς σκέλεσι γινόμενα ὑπεκκαύματα ὑπὸ τοῦ πυρός, ἐπειδάν τις πλησίον αὐτοῦ καθιζάνῃ. εἴρηται παρὰ τὸ φῶς, ὃ ταὐτόν ἐστι τῷ πυρί. κλίνεται φῳδός. ἑνικῶς δ᾽ οὐ λέγεται, οὐδὲ δυϊκῶς, ἀλλὰ πληθυντικῶς, φῷδες, φῳδῶν, φῳσί, φῷδας. 30

Φιλόδειπνος: ὁ ἐπὶ δεῖπνα καὶ ἑστιάσεις φιλῶν ἀπιέναι.

Φορυτός: ὁ κοπρώδης τόπος.

Φιλῳδός: ὁ φιλῶν ᾄδειν.

Φθόη: ἡ φθίσις ἡ ἐν τῷ σώματι γινομένη.

Φήληκες: τῶν σύκων τὰ δόξαν παρέχοντα ὡς ἤδη πέπονα καὶ ἐδώδιμα, ἄωρα δέ ἐστι. παρὰ τὸ φηλοῦν, ὅ ἐστιν ἀπατᾷν. 5

Φίλιος: ὁ φιλίας ἔφορος θεός.

Φυλοκρινεῖν: κυρίως μὲν τὸ τὰς φυλὰς τὰς ἐν ταῖς πόλεσι διακρίνειν, σημαίνει δὲ καὶ τὸ ἄλλο τι διατάττειν καὶ διακρίνειν. 10

Φυλλοχοεῖν: ἐπὶ τῶν δένδρων τῶν ἀποβαλλόντων τὰ φύλλα. φυλλοροεῖν.

Φορτηγεῖν: φόρτον ἄγειν. καὶ φορτηγούς. Ἀριστοφάνης.

Φθειροκτονεῖν: τὸ τοὺς φθεῖρας κτείνειν. 15

Φιλοπροσήγορος: ὁ ἐν τῷ προσαγορεύειν εὔμενής.

Φάλανθος: ὁ ἀναφαλανθίας, ὁ οὐδέπω μὲν φαλακρός, ὑπὸ δὲ τῆς οὐλότητος τῶν τριχῶν τὸ μέτωπον μεῖζον ἀναφαίνων. εἴρηται δὲ ἀπὸ τοῦ φαλοῦ, ὅ πέρ ἐστι τὰ λάμπρυσμα. 20

Φάλαγξ: τὸ ξύλον ἡ φάλαγξ, ἃ νῦν φαλαγγώματα καλοῦσιν.

Φοιτητής: ὁ μαθητής. κυρίως δὲ λέγονται φοιτηταὶ οἱ γραμματικὴν ἢ μουσικὴν μανθάνοντες.

Φρυνώνδειον: οἷον πανοῦργον. Φρυνώνδας γὰρ ἐπὶ πονηρίᾳ διεβεβόητο. 25

Φιλάμπελος ἄνθρωπος: ὁ φιλῶν ἀμπέλων ἐργασίαν.

Φιλοψυχεῖν: τὸ φιλεῖν ζῆν.

Χ

Χάραξ: θηλυκῶς ἐπὶ τοῦ τῆς ἀμπέλου στηρίγματος. τὸ μέντοι χαράκωμα ἀῤῥενικῶς, ὁ χάραξ.

Χόλικες: οἱ πολλοὶ ἀῤῥενικῶς, οἱ δ' ἀρχαῖοι θηλυκῶς. 5

Χρυσίῳ βάλλειν κορώνας: ἐπὶ τῶν ὑπερφυῶς πλουσίων, ὡς ἀντὶ λίθων χρυσίῳ χρῆσθαι πρὸς τὸ ἀποσοβεῖν τὰς κορώνας.

Χυτροπλάθος: ὁ χύτρας πλάττων. 10

Χελύνη: τὰ περὶ τὰ χείλη μέρη τοῦ προσώπου. οἱ δ' ἀμαθεῖς χελύνιον.

Χαριστικός: ὁ πολλοῖς χαριζόμενος.

Χειρωναξία: πολὺ μὲν τὸ χειρώναξ, τὸ δ' ἔργον οὐχ οὕτως, κἂν Αἰσχύλος δόκιμον ποιῇ τὴν φωνήν. 15

Χρέμπτεσθαι καὶ διαχρέμπτεσθαι ἐρεῖς.

Χορηγεῖον: ὁ τόπος, ἔνθα ὁ χορηγὸς τούς τε χοροὺς καὶ τοὺς ὑποκριτὰς συνάγων συνεκρότει.

Χολλάδες: διὰ δυοῖν λλ, αἱ τῆς γαστρὸς διὰ παχύτητα ἐπιπτύξεις. Ὅμηρος δι' ἑνὸς τὰ ἔντερα. 20

Χρυσόλαμπις: θηρίδιόν τί ἐστιν, ὃ ἐν τῷ σκότει λάμπει.

Χωρὶς οἰκοῦσιν: οἷον διεστήκασιν·

χωρὶς γὰρ οἰκοῦσιν ἀρεταὶ τῶν ἡδονῶν.

Χολάφινα: τὰ χολῇ κεχρισμένα. 25

Χελυνοίδης: ὁ τὴν χελύνην μεγάλην ἔχων. ὅμοιον τὸ πεοίδης, οἷον ὁ μέγα καὶ ἀπρεπὲς αἰδοῖον ἔχων.

Χραίνεσθαι πρὸς ἥλιον: τὸ λεγόμενον ὑπὸ τῶν πολλῶν ἐπικαίειν ἐν τῷ ἡλίῳ.

Χέρνιβα: τὰ πρὸς τὰς θυσίας σκεύη. 30

Χωρεῖν ἐπὶ σκέλος: τὸ ὀπίσω ἀναχωρεῖν, μὴ δόντα τοῖς ὑπεναντίοις τὰ νῶτα. Ὅμηρος δὲ λέγει ὀλίγον γόνυ γουνὸς ἀμείβων.

Χολή ἐστιν: οἷον ἀηδὲς καὶ προσκορές. Ἀριστοφάνης.

Χλωρὸς τυρός: ὁ νέος καὶ πρόσφατος.

Χθιζινόν καὶ χθεσινόν: τὸ δὲ χθιζὸν Ὅμηρος.

Ψ.

Ψευδολωττεῖν: τὸ ψευδολογεῖν.

Ψυχαγωγός: οἱ μὲν Ἀλεξανδρεῖς τὸν τῶν παίδων ἀνδραποδιστὴν οὕτω καλοῦσιν, οἱ δ' ἀρχαῖοι τοὺς τὰς ψυχὰς τῶν τεθνηκότων γοητείαις τισὶν ἄγοντας. τῆς αὐτῆς ἐννοίας καὶ τοῦ Αἰσχύλου τὸ δρᾶμα Ψυχαγωγός.

Ψήκτρα: ᾧ σκεύει ψήχουσι τοὺς ἵππους.

Ψυχὴ μία εἷς ἦν: ἐπὶ τῶν σφόδρα στεργόντων ἀλλήλους καὶ οἷον συμπεφυκότων ἐν φιλίᾳ.

Ψηλαφίνδα: παιδιά τίς ἐστιν, ἑνός τινος δεδεμένου τοὺς ὀφθαλμούς, καὶ τοὺς ἐν κύκλῳ ψηλαφῶντός, καὶ λέγοντος ἑκάστου τοὔνομα.

Ψυχῆς λαχεῖν: ἐπὶ τῶν πιεζομένων καὶ καταναγκαζομένων ὑπό τινων οὕτω λέγουσιν, οὐκ ἐᾷ ἡμᾶς οὐδὲ ψυχῆς λαχεῖν, οἷον ζῆσαι καὶ ἀναπνεῦσαι.

Ψακάζειν: διὰ τοῦ ᾱ, οὐ διὰ τοῦ ᾰ.

Ψυχορροφεῖν: ἐπὶ τοῦ τὴν ψυχὴν ἐκροφεῖν διὰ κακῶν παρουσίαν ἡ τραγῳδία. ὁ δὲ Πλάτων ἰδίως ἐπὶ ὄνου διὰ ψυχροῦ πινομένου τίθησιν.

Ω.

Ὡραίαν: τὴν ὥραν. ἡ δὲ τοιαύτη τροπὴ Ἀττικοῖς ἰδία: Ἀθηνᾶ Ἀθηναία, ἴση ἰσαία. οὕτω καὶ ὥρα ὡραία.

Ὠμὸς δαίμων: ὁ χαλεπὸς καὶ ἀπαραίτητος.

Ὠνυχισμένος: ἐπὶ τοῦ τετμημένου ὑπὸ λύπης.

Ὡς: Σοφοκλῆς ἐν Ἀντιγόνῃ κατ' ἔλλειψιν εἶπε τοῦ ἐμοὶ δοκεῖ ἢ ἐμοὶ κριτῇ ἤ τινος τοιούτου.

Ὠκυτόκιον: φάρμακόν τι, ὃ περιάπτουσι ταῖς κυϊσκομέναις ὑπὲρ τοῦ ταχέως τεκεῖν καὶ μὴ ἐν ταῖς ὠδῖσι διατρίβειν καὶ κάμνειν.

ΑΝΤΙΑΤΤΙΚΙΣΤΗΣ.

Ἀπὸ στόματος: Ξενοφῶν ἐν τῇ Ἀναβάσει, Πλάτων Θεαιτήτῳ.

Ἀστή: πᾶσα ἡ ἐξ ἡστινοσοῦν πόλεως, οὐ μόνον ἐξ Ἀθηνῶν.

Ἀθηναίαν: οὐκ Ἀττικήν. 5

Αὐτὸς αὑτόν: ἀντὶ τοῦ ἐμαυτόν.

Αὑτοῦ: ἀντὶ τοῦ σαυτοῦ.

Αὑτῷ: ἀντὶ τοῦ ἐμαυτῷ.

Ἀκράχολος: Πλάτων δευτέρῳ Πολιτείας.

Ἀνέπεσεν: ἀντὶ τοῦ ἀνεκλίθη. 10

Ἀεί ποτε: Θουκυδίδης τετάρτῳ.

Ἀποκριθῆναι: οὐκ ἀποκρίνασθαι.

Αἰσχυντηλὸς εἶ: Πλάτων Γοργίᾳ.

Ἀπὸ πρώτης: ἀντὶ τοῦ πρῶτον.

Ἄξιον: ἀντὶ τοῦ εὔωνον. Λυσίας ἐν τῷ κατὰ τῶν σιτοπωλῶν. 15

Ἀξία: ἀντὶ τοῦ ἀξίωμα. Δημοσθένης ἐν τῇ ἐπιστολῇ, ἧς ἀρχὴ περὶ μὲν τῶν κατ᾽ ἐμαυτόν.

Ἀκούειν: ἀντὶ τοῦ πειθαρχεῖν. Δημοσθένης κατὰ Λεπτίνου. 20

Ἀκούει καλῶς: ἀντὶ τοῦ εὐφημεῖται. Ἡρόδοτος τρίτῳ.

Ἀκροᾶσαι σύ: ἀντὶ τοῦ ἀκροᾷ ἢ ἀκούεις.

Αἱρετίζειν: ἀντὶ τοῦ αἱρεῖσθαι.

Ἄκληρος: ἀντὶ τοῦ ἀτυχής.

Ἀκληρίαν: Ἀντιφάνης Ἀδώνιδι. ὁ αὐτὸς εὐκλήρωμα ἀντὶ τοῦ κατόρθωμα. 25

Ἀκμήν: ἀντὶ τοῦ ἔτι. Ὑπερείδης ὑπὲρ Κρατίνου.

Ἀνταποδοῦναι, ἀνταπαιτῆσαι, ἀνταμύνασθαι: Ἡρόδοτος πρώτῳ.

Ἀνταπολαμβάνειν: Δημοσθένης ἐν τῷ κατὰ Λεπτίνου.

Ἀντιλογῆσαι: Ἀριστοφάνης Νεφέλαις. 5

Ἀστοργία, φιλοστοργία, στοργή: Ἀντιφῶν ἐν δευτέρῳ περὶ τῆς ῥητορικῆς τέχνης.

Ἀγοράσαι: ἀντὶ τοῦ ὠνήσασθαι, οὐκ ἐπὶ τοῦ ἐν ἀγορᾷ διατρίβειν. Δημοσθένης κατὰ Ἀριστογείτονος.

Ἀνελευθερία: Πλάτων Πολιτείας δευτέρῳ. 10

Ἀναπειρίαν: Ἀριστοφάνης Πλούτῳ.

Ἀμελετησία: Πλάτων Θεαιτήτῳ.

Ἀχρηστίαν: Πλάτων πρώτῳ Πολιτείας.

Ἀγαθουργίαν: Ἡρόδοτος πρώτῳ.

Ἀσυνεσία: Θουκυδίδης τρίτῳ. 15

Ἀντιβολία: Θουκυδίδης ἑβδόμῳ.

Ἀθεραπευσία: Πλάτων Πολιτείας τρίτῳ.

Ἀλιμενία: Ὑπερείδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν.

Ἀπειθαρχία: Ἀντιφῶν Πολιτικῷ. 20

Αἰσχροκερδής: Εὐριπίδης Ἀνδρομέδᾳ.

Ἀψυχίαν: ἀντὶ τοῦ δειλίαν. Πλάτων Γοργίᾳ.

Ἀληθεστέρως: Πλάτων τρίτῳ Πολιτείας.

Ἀμεινόνως; Ἀριστοφάνης Θεσμοφοριαζούσαις.

Αἴτιαμα: Αἰσχύλος Προμηθεῖ δεσμώτῃ. 25

Ἀνθρωπινώτερον: Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου.

Ἁλιότερον: Δημοσθένης κατὰ Λεπτίνου.

Αὐτός: ἀντὶ τοῦ ὁ δεσπότης. αὐτὸς λέγει, αὐτὸς ἄρχεται, Ἀριστοφάνης. 30

Ἀποκεφαλίζειν: ἀντὶ τοῦ ἀποτυμπανίζειν.

Ἀλήθειν: οὐκ ἀλεῖν.

Ἀναρίθμητος: Ἡρόδοτος πρώτῳ.

Ἀπαρασκεύαστον: Ἀντιφῶν τρίτῳ ῥητορικῆς τέχνης.
Ἀμάθητος: ἀντὶ τοῦ ἀμαθής. Φρύνιχος Κόνῳ.
Ἀφθόνητος: Πίνδαρος Ὀλυμπιονίκαις.
Ἀποφυγγάνει: Δημοσθένης κατὰ Ἀριστοκράτους.
Ἀποτετύχηται: ἀντὶ τοῦ ἀποτέτευκται. Ἀνάξιππος Κεραυνῷ. 5
Ἁμαρτία: Πλάτων Πολιτείας πρώτῳ καὶ δευτέρῳ, Ἡρόδοτος πρώτῳ καὶ τρίτῳ.
Ἁμαρτεῖν καὶ ἀδικῆσαι: διαφόρως τάσσουσιν.
Ἁμαρτωλία: Ἀριστοφάνης Εἰρήνῃ, Εὔπολις Μαρικᾷ. 10
Ἀναπεῖσαι: ἀντὶ τοῦ ἀναπεῖσαι. Κάνθαρος Τηρεῖ.
Ἀψιμαχεῖν: Ὑπερείδης ἐν τῷ περὶ τῶν ὁρίων. καὶ ἀψίμαχον γερόντιον.
Ἀλετρίβανον: ἀντὶ τοῦ δοίδυκα. Ἀριστοφάνης Εἰρήνῃ τρὶς κέχρηται τῇ λέξει. 15
Ἄγειν: ἐπὶ τοῦ σταθμοῦ. Δημοσθένης κατὰ Τιμοκράτους· ὃς ἦγε δαρεικοὺς τριακοσίους.
Ἀργύρωμα, χρύσωμα: οὐχὶ ἀργυροῦν, χρυσοῦν.
Ἀθυρόγλωσσος: Εὐριπίδης Ὀρέστῃ.
Ἀργύρια: πληθυντικῶς, οὐχ ἑνικῶς. Πλάτων Κλεοφῶντι. 20
Ἀριστητικός: ἀντὶ τοῦ ἦθος ἔχων ἀριστᾷν. Εὔπολις Δήμοις.
Ἀστράγαλοι: ἀρσενικῶς, οὐχὶ θηλυκῶς. Πλάτων Θεαιτήτῳ. 25
Ἀπεδημηκότος: Δημοσθένης κατὰ Λεπτίνου, Ξενοφῶν Ἀπομνημονευμάτων τρίτῳ.
Ἀμύνει τοὺς πολεμίους: ἀντὶ τοῦ ἀμύνεται. Πλάτων Φαίδρῳ.
Ἀπάρτι: ἀντὶ τοῦ ἄρτι ἀπὸ νῦν. Πλάτων Σοφισταῖς. 30
Ἀθετεῖν φασὶν οὐ δεῖν λέγειν, ἀλλ' ἀναίρειν. ἰασιν οὖν ὁ γραμματικὸς μέμφεται ἐπὶ τῇ λέξει Ἀρίσταρχον.
Ἀναπτερῶσαι: Ξενοφῶν Συμποσίῳ.

Ἀναβολὴν ᾠδῆς: ὡς λέγουσιν ἄνω βάλε ἡμῖν. καὶ ὁ ποιητής·

ἤτοι ὁ φορμίζων ἀνεβάλλετο.

Αἰδέσεως: ἀντὶ τοῦ αἰδοῦς. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου.

Ἀδημοσύνη: Ξενοφῶν Ἀπομνημονεύμασιν.

Ἀφθονέστερον: Πίνδαρος Ἐπινικίοις.

Ἀρχαιέστερον: Πίνδαρος Ὕμνοις.

Ἀνισῶσαι: ἐπὶ τοῦ πλεῖον ἐγχέαι πιεῖν τῷ ὕστερον ἐλθόντι.

Ἀκακίαν: ἀντὶ τοῦ ἁπλότητα.

Ἀφελοῦμαι: ἀντὶ τοῦ ἀφαιρήσομαι. Τιμόστρατος Φιλοδεσπότῃ.

Ἀλυκόν: ἀντὶ τοῦ ἁλμυρόν. Ἀριστοφάνης Βαβυλωνίοις.

Ἀσχάλλειν: Δημοσθένης κατὰ Μειδίου.

Ἀνελπίστως: ἀντὶ τοῦ ἀδοκήτως. Δημοσθένης περὶ τοῦ στεφάνου,

Ἀνώτερον: ἀντὶ τοῦ ἀνωτέρω. Δημοσθένης περὶ τοῦ στεφάνου.

Ἀρεστός: ἀντὶ τοῦ ἀρέσκων. Πλάτων Φαίδρῳ.

Ἀξιούμενος: παρακαλούμενος. καὶ ἀξίωμα ἀντὶ τοῦ παράκλησις.

Ἀνὰ μέρος: ἀντὶ τοῦ ἐν μέρει. Εὐριπίδης Φοινίσσαις.

Ἀνὰ μέσον: ἀντὶ τοῦ ἐν μέσῳ. Ἀντιφάνης Ἀδώνιδι.

Ἀπεῖπασθαι τὸν παῖδα: ἀντὶ τοῦ ἀρνήσασθαι. Ἡρόδοτος πρώτῳ.

Ἀναβῆναι τὸν ἵππον: ἀντὶ τοῦ ἐπιβῆναι. Θεόπομπος ἐν ἐπιτομῇ Ἡροδότου.

Ἀνέψυξα: ἀντὶ τοῦ ἀνεπαυσάμην. Δίφιλος Φιλαδέλφῳ.

Ἀναιδίζεσθαι: Ἀριστοφάνης Ἱππεῦσιν.

Ἀκολασταίνειν: Πλάτων Πολιτείας τρίτῳ.

Ἀπόστασις: ἀντὶ τοῦ οἴνου ἀποθήκας ἔχουσα. Φιλιππίδης Μαστροπῷ.

Ἀχρὶ

Ἄχρι τοῦ νῦν: μετὰ ἄρθρου. Τιμόστρατος Ἀσώτῳ.

Ἀλλοτριοπράγμων, ἀλλοτριοπραγμοσύνη: Πλάτων Πολιτείας τρίτῳ.

Ἀγκυρίσαι: ἐπὶ τοῦ παλαίσματος.

ἀγκυρίσας ἔῤῥηξεν, 5

Ἀριστοφάνης Ἱππεῦσιν.

Ἀνδρών: ἐπὶ τοῦ μεγάλου οἴκου. Ἡρόδοτος πρώτῳ.

Ἄλλος ἄλλον παρεκάλει: ἀντὶ τοῦ ἀλλήλους. Ἀραρὼς Ἀδώνιδι.

Ἀναχάμψει: ἀντὶ τοῦ ὑποστρέψαι ποιήσει. Ἀντιφάνης Ἀδελφαῖς. 10

Ἀνάβα, κατάβα, διάβα, ἀπόστα: Μένανδρος Ἐπικλήρῳ·

ὅρα σὺ καὶ φρόντιζε κἀπόστα βραχύ.

Ἀναβῆναι: ἀντὶ τοῦ ἀναχωρῆσαι. Ἀντιφάνης Αἰγυπτίοις. 15

Αἰτεῖν καὶ αἰτεῖσθαι διαφέρει·

οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ' αἰτούμενος.

αἰτεῖσθαι γάρ φησι τὸν ἀποδιδόντα, τὸν δὲ μὴ ἀποδώσοντα αἰτεῖν. Ἄλεξις δ' Ἐπικλήρῳ, ἐκδιδόντος τινὸς θυγατέρα· 20

ἀλλ' ἔγωγε, παῖ, δίδωμι· καὶ ποήσω πάνθ' ὅσα οὗτος αἰτεῖται παρ' ἡμῶν.

Ἀκραιφνὲς ὕδωρ: Ἀριστοφάνης Ἀμφιαράῳ.

Ἀπορίαν καὶ πενίαν ἀδιαφόρως ἔλεγον. 25

Ἀπόδειξιν δοῦναι: ἀντὶ τοῦ ἀποδείξασθαι. Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι.

Ἀλουργόν: οὐχ ὡς οἴονται ἁλουργές μόνον.

Ἄφθονον: τὸν μὴ φθονοῦντα. Πλάτων Πολιτείας τετάρτῳ. 30

Ἀποχρᾷν: οὐκ ἀποχρῆναι. Ἡρόδοτος πρώτῳ.

Ἀνεμιαῖον ᾠόν: Πλάτων Θεαιτήτῳ, Ἀραρὼς Καινεῖ.

Ἄλλος: ἐπὶ τοῦ ἑτέρου. ὁ ποιητής·

ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.

Ἀγαδενδράς: Ἄλεξις Ἀμπελουργῷ.

Ἀπολογηθῆναι: ἀντὶ τοῦ ἀπολογήσασθαι. Ἄλεξις Ἀμπελουργῷ. 5

Ἄσημον: ἐπὶ τοῦ ἀργυρίου. Ἄλεξις Ἐκπωματοποιῷ.

Ἄθικτος: ἡ παρθένος. Ἀραρὼς Πανὸς γοναῖς.

Ἄγαλμα καὶ γραφὴν καὶ ἀνδριάντα ἀδιαφόρως. Ἀντιφάνης Ζωγράφῳ. 10

Ἀνδριάς: καὶ ἐπὶ γραφῆς. Πλάτων Πολιτείᾳ, Μένανδρος Δυσκόλῳ.

Ἀνδριάντα: τὸν λίθινον ἔφη Ἱππῶναξ Βούπαλον ἀγαλματοποιόν.

Ἀνθρωπίζεται: Ἀριστοφάνης Ἀμφιαράῳ. 15

Ἀνυπόδετος: Ἐπίχαρμος Ὀδυσσεῖ.

Ἀνυποδήματος: ἐν τοῖς Ἀθηναίων νόμοις καὶ τοῖς Ἀρεοπαγιτικοῖς.

Ἀμύγδαλα: Ἕρμιππος Φορμοφόροις.

Ἀντιγραφεύς: Δημοσθένης κατὰ Τιμοκράτους. 20

Ἀκολουθεῖν μετ' αὐτοῦ: ἀντὶ τοῦ αὐτῷ. Λυσίας: τὸν παῖδα τὸν ἀκολουθοῦντα μετὰ αὐτοῦ.

Ἁλμαία: Ἀριστοφάνης Ὁλκάσιν· ἁλμαίαν πιών.

Αὐθημερόν: Θουκυδίδης πρώτῳ.

Ἀπειλοῦμαι: ἀντὶ τοῦ ἀπειλῶ. Ἄλεξις· 25

διηπειλεῖτό σοι.

Ξενοφῶν ἐν Συμποσίῳ.

Ἀποθήκη: Θουκυδίδης ἕκτῳ.

Ἀνάδεξαι: οἷον ἐγγύησαι. Ἀντιφῶν πρὸς Πολύευκτον, Δεινόλοχος Ἀλθαίᾳ. 30

Ἀρτύσαι: ὅπερ σκευάσαι ἀξιοῦσι λέγειν.

Ἀρτύματα: οὐχ ἡδύσματα. Σοφοκλῆς Φαίαξιν.

Ἀπεγένετο: ἀπέθανε. Θουκυδίδης δευτέρῳ.

Ἀρχαϊκῶς: ἀντὶ τοῦ ἀρχαίως. Ἀριστοφάνης Νεφέλαις.
Ἀναποδίζων: ἀντὶ τοῦ τὰ πρότερα ἐρωτῶν. Ἡρόδοτος πέμπτῳ.
Αὐτοσχεδιάζειν: οὐ σχεδιάζειν, ὡς οἴονται. Ἰσοκράτης Εὐαγόρᾳ, Θουκυδίδης πρώτῳ. 5
Αὐτόκαχος: οἷον ἑαυτὸν κολάζων. Θεόπομπος Θησεῖ.
Αὐλαίαν: τὸ παραπέτασμα. Ὑπερείδης κατὰ Πατροκλέους.
Ἀφασία: Ἀριστοφάνης Θεσμοφοριαζούσαις, καὶ ὁ ποιητής· 10

δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε.

Ἀνθέων: ἀντὶ τοῦ ἀνθῶν, ἀπὸ τῆς ἄνθης.
Ἀρχῆθεν: Ἡρόδοτος ἑβδόμῳ.
Ἀπρασία: Εὔπολις Αὐτολύκῳ.
Ἀμφιτάπητα: Ἄλεξις Ἰάσιδι. 15
Ἀναλοῦν: ἀναλίσκειν. Ἀραρὼς Καμπυλίωνι.
Ἀπόσιτος: ἄσιτος. Φιλωνίδης Κοθόρνοις.
Ἀναλφάβητος: Φιλύαλλος Αἰγεῖ.
Ἁρμογή: ἀντὶ τοῦ ἁρμονία.
Ἀναλέγειν: ἀντὶ τοῦ ἐκλέγειν. Ἄρχιππος Ἀμφιτρύωνι. 20
Ἀποσημῆναι: ἀντὶ τοῦ δηλῶσαι. Σοφοκλῆς Φαίαξιν.
Ἄβολον ἵππον: Σοφοκλῆς Μούσαις.
Ἀφελής: Σοφοκλῆς Φρίξῳ.
Ἀρνακίς: Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι.
Ἀδελφίζειν: ὡς ἀδελφῷ προσφέρεσθαι. 25
Ἀσχημονῆσαι: Εὐριπίδης Ἑκάβῃ.
. . . . . Στράττις Ἰφιγένοντι.
Ἀφάνηας: Ἐπίχαρμος Ἡρακλείτῳ.

Β. 30

Βίος: ἐπὶ συνουσίας. Ἡρόδοτος, Μένανδρος Δημιουργῷ, Εὔπολις Αἴξιν, ὁ ποιητὴς πολλάκις.
Βίος: ἐπὶ ἀλόγων ζώων. Ξενοφῶν Ἀπομνημονεύμασιν.

Βαβαί, βαβαί:

οὐχὶ τῶν μετρίων, ἀλλὰ τῶν βαβαὶ βαβαί,

Ἄλεξις Σικυωνίῳ.

Βλάξ, βλακεύειν, βλακεύεσθαι καὶ βλάκες καὶ βλακικῶς: Πλάτων Γοργίᾳ, ὁ αὐτὸς Εὐθυδήμῳ, Ἀριστοφάνης Πλούτῳ.

Βαλάντιον οὐχί φασι δεῖν λέγειν, ἀλλὰ φάκωλον. Ξενοφῶν Συμποσίῳ, Λυσίας ἐν τῇ πρὸς Κλεινίαν διαμαρτυρίᾳ.

Βᾶρις: κατ' οἰκίας καὶ πλοίου. Σοφοκλῆς ἐν Ποιμέσι βαρίβαν λέγει τὸν ναύτην ἢ τὸν τῆς βάρεως ἐπιβεβηκότα.

Βατάνια: τὰς λοπάδας, ὡς Ἀλεξανδρεῖς. Ἀντιφάνης Γάμοις.

Βαλανεύω: Ἀριστοφάνης Εἰρήνῃ·

. . . . κἀγὼ ἐμαυτὸν βαλανεύσω.

Βαιτών καὶ βαιτάς: ἀντὶ τοῦ μωρὸς ἢ μωρά.

Βοῦ: ἀντὶ τοῦ βοός. Σοφοκλῆς Ἰνάχῳ.

Βουκολεῖσθαι αἶγας: Εὔπολις Αἰξίν. ἱπποβουκολῶ Εὐριπίδης Φοινίσσαις.

Βιασμός: Εὔπολις Αὐτολύκῳ.

Βρέφος: ἐπὶ ἀλόγου ζώου. Ἡρόδοτος τρίτῳ. ὁ ποιητής·

. . . . βρέφος ἡμίονον κυέουσαν.

Βλαφθείς: ὁ ποιητής.

Βρώσιμον: βρωτόν. Δίφιλος Ἀνασωζομένῳ.

Βασίλισσα: Ἀλκαῖος Γανυμήδει, Ἀριστοτέλης Ὁμηρικοῖς ἀπορήμασιν.

Βατός: ἀρσενικῶς.

Βουλίαν: Ἀριστοφάνης Θεσμοφοριαζούσαις τὸ βουλεύειν·

παραδοὺς ἑτέρῳ τὴν βουλίαν.

Βαίτας οἱ κατὰ τὴν Ἀσίαν καλοῦσι τὰς δορὰς τῶν αἰγῶν.

Βόθυνον οὔ φασι δεῖν λέγειν. ἀλλὰ Σόλων ἔφη ἐν τοῖς νόμοις. Κρατῖνος Σεριφίοις·

ἀλλ' ἀπίωσιν ἐν χορῷ
ἐς βόθυνον ἰέναι.

ἔστι δὲ παιδιά τις ἐς βόθυνον ἰέναι. 5

Βιβάζειν: τὸ ὀχεύειν. Ἀλκαῖος δ' ἐν Καλλιστοῖ ἐπ' ἀνθρώπους ἔφη.

Βαίνων: ὁμοίως ἐπὶ τοῦ. ἐκβῆσαι δέ φασι δεῖν λέγειν καὶ καταβῆσαι, οὐκ ἐκβιβάσαι. Στράττις.

Βαυβᾷν: ἀντὶ τοῦ καθεύδειν. Εὐριπίδης Συλεῖ: 10

βαυβῶμεν εἰςελθόντες. ἀπόμορξαι σέθεν
τὰ δάκρυα.

Κάνθαρος Μηδείᾳ· βαυβήσομεν.

Βαυβαλίσαι: ἀντὶ τοῦ βαυκαλίσαι. Ἄλεξις Τιτθαῖς.

Βομβυλίον: Ἰσοκράτης Ἑλένῃ· τῶν μὲν γὰρ τοὺς 15 βομβυλίους καὶ τοὺς ἄλας ἐπαινούντων.

Βῶμαξ: ὑποκοριστικῶς ὁ βωμός.

Βράχιστον: βραχύτατον Σοφοκλῆς Δανάῃ.

Βρέτας: ὁ ἀναίσθητος. Ἀναξανδρίδης Διδύμοις.

Βατταρίζειν: Ἱππῶναξ. 20

Βαίνειν φασὶν ἐπὶ τοῦ ῥυθμοῦ, ὡς λέγομεν βῆθι τὸν στίχον τόνδε.

Βίκος: Ἱππῶναξ δευτέρῳ, Ἡρόδοτος πρώτῳ.

Βλενόν: τὸν νωθῆ καὶ μωρόν. Σώφρων Προμηθεῖ.

Βασιλεύς: χωρὶς τοῦ ἄρθρου. Ἀρισταγόρας Μαμμακύθῳ. 25

Βλάβος: τὴν βλάβην. Δημοσθένης κατὰ Λεπτίνου.

Βαμβάκους τοὺς φαρμακοὺς Κίλικες καλοῦσιν.

Βρῦ: ἐπὶ τοῦ πιεῖν. Ἀριστοφάνης Νεφέλαις δευτέραις.

Βούδια: οὐ μόνον βοίδια. Ἕρμιππος Κέρκωπι.

Βαρύσταθμον: Κάνθαρος Μηδείᾳ. 30

. . . . . πρὸς τοὺς κατάρνη ἀναφωνήσαντας εἰώθασιν οἱ ἀντιτιθέντες ἀντεμβοᾷν, καὶ ἔστιν οἱονεὶ σκῶμμα. Ἕρμιππος Δημόταις.

Βιάσαι: ἀντὶ τοῦ βιάσασθαι. Ἀλκαῖος·
ἐβίασέ μου τὴν γυναῖκα.

Βῆ: προβάτων βληχή. Ἀριστοφάνης·
θύτην μέλλει καὶ κελεύει βῆ λέγειν.

Βουλευτικά λέγεται γυμνάσια ἐν πολλαῖς πόλεσι καὶ σύνοδοί τινες, ὅπου οἱ βουλευταὶ ἢ ἑστιῶνται ἢ περιπατοῦσιν. 5

Βότινον: Ἀριστοφάνης Βαβύλοις.

Βόλβιτον: Ἱππῶναξ.

Γ.

Γυναί: ἀντὶ τοῦ γυναῖκες. Φιλιππίδης Ἀδωνιαζούσαις. Φερεκράτης Κραπατάλλοις τὴν γυνήν.

Γαμῶ ἡ γυνὴ λέγει, οὐ γαμοῦμαι. Ἀντιφάνης Ἀσώτοις. ἐγημάμην ὁ ἀνὴρ λέγει ἀντὶ τοῦ ἔγημα. 15

Γειτονιᾶν: ἀντὶ τοῦ γειτνιᾶν. Θεόπομπος Φιλίππῳ. καὶ γειτονεῖν.

Γενέθλιον ἡμέραν ἀξιοῦσιν ἀεὶ λέγειν, οὐ γενέθλια, οὐδὲ γενέσια. Εὐριπίδης Ἴωνι, Ἡρόδοτος τετάρτῳ.

Γενέσια: οὔσης τε ἑορτῆς δημοτελοῦς Ἀθήναις, Βοηδρομιῶνος πέμπτης, γενέσια καλουμένης, καθότι φησὶ Φιλόχορος καὶ Σόλων ἐν τοῖς ἄξοσι, καὶ τῆς τοῦ ὀνόματος χρήσεως οὔσης Ἑλληνικῆς, τί κωλύει μὴ μόνον ἐπὶ τῆς δημοτελοῦς ἑορτῆς, ἀλλὰ καὶ ἐπὶ τῆς ἰδίας ἑκάστου τάσσεσθαι; 20 25

Γοργός: τοῦτο ἀξιοῦσιν ἐπὶ τοῦ κατὰ τὰ ὄμματα τοιούτου τάσσεσθαι, ἢ ἐπὶ τοῦ κεκινημένου κατὰ πρόσωπον, οὐ μέντοι ἐπὶ τοῦ ταχέος ἢ ἀνδρείου. ἐλέγχει δ' αὐτοὺς Ἀριστοφάνης Εἰρήνῃ.

Γέμειν τὴν ναῦν μόνον φασὶ δεῖν λέγειν, τὰ δ' ἄλλα μεστὰ λέγειν. ἐλέγχει δ' αὐτοὺς Εὔβουλος Εἰρήνῃ. 30

Γῆν ἀξιοῦσιν ἀεὶ λέγειν ἑνικῶς, μηδέποτε δὲ πληθυντικῶς. Ἡρόδοτος πρώτῳ.

Γαλαθηνά τὰ ἐπὶ θηλῆς ἔτι λέγουσιν.

Γυναικισμός: Διοκλῆς Βάκχαις γυναικίζειν φησὶ καὶ γυναικηρόν.

Γυναικάριον: Διοκλῆς Μελίτταις.

Γογγυσμός: ἀντὶ τοῦ τονθορυσμοῦ. Ἀναξανδρίδης Νηρεῖ. 5

Γράστιν: ἐπὶ τῆς ὑγρᾶς κριθῆς, ἐπὶ τῶν καρπῶν.

Γναθοῖ: ἀντὶ τοῦ τὴν γνάθον τύπτει. Φρύνιχος Μονοτρόπῳ.

Γεννήσαιτο: ἀντὶ τοῦ γεννήσειεν. 10

Γεννῆσαι: ἐπὶ τοῦ τεκεῖν τὴν γυναῖκα.

Γλώττας: τὰς τῶν ποιητῶν ἢ ἅς τινας ἄλλας ἐξηγούμεθα.

Γονέας καὶ γραφέας καὶ τὰ ὅμοια, οὐ μὴν γονεῖς οὐδὲ γραφεῖς, ὡς οἴονται δεῖν λέγειν. 15

Γραμματικούς: ἀντὶ τοῦ γραμματιστάς. γραμματιστὰς δὲ ἀντὶ τοῦ ὑπογραφεῖς.

Γραία, οὐ γραῦς.

Γλαφυρώτατον: τὸν χαριέστατον.

Γρᾶσος οὔ φασι δεῖν λέγειν· οὐδ' ἀπόζειν γράσου, 20 *ἀλλὰ τράγου.*

Γέρα: Πλάτων ἕκτῳ Πολιτείας.

Γελασίνην: τὴν πολλὰ γελῶσαν. Ἀναξανδρίδης ἐν Κωμῳδοτραγῳδίᾳ.

Γνωστός: ἀντὶ τοῦ γνώριμος. Σοφοκλῆς Ἑρμιόνῃ. 25

Γνωρίσαι: ἀντὶ τοῦ ἑτέρῳ γνώριμα ποιῆσαι.

Γενειάζειν: Φιλήμων Λυλητῇ· γεγενείακεν.

Γαγγαλίζειν: οὐ γαργαλίζειν.

Γαυριᾷν: καὶ τοῦτο μέμφονται. Δημοσθένης περὶ τοῦ στεφάνου, Εὐριπίδης Βάκχαις. 30

Γεύεσθαι: οὐ μόνον ἐπὶ τοῦ ἐσθίειν, ἀλλὰ καὶ ἐπὶ τοῦ ὀσφραίνεσθαι, ὡς ἐν τῷ βίῳ γεύεται μύρων. Εὐριπίδης Κύκλωπι.

Γραικός: ὁ Ἕλλην.

Γαῖσον: τὸ ὅπλον, δοκοῦν εἶναι Ἰταλικόν.

Γαλιδεύς: ὁ τῆς γαλῆς σκύμνος. Κρατῖνος Ὥραις.

Γιγγλάρια οἱ αὐληταὶ λέγουσι γένος ὀργάνων.

Γιγγλίζειν τὸ ἀπειλεῖν οἱ ἰδιῶται λέγουσιν.

Γλάνιν: τὸν ἰχθύν. οὐκ ἄλλοι μόνοι λέγονται.

Γραΐζειν: ὅταν τὸ συναγόμενον ἐν ταῖς χύτραις καὶ ἐπαφρίζον ἐκχέωσιν. Ἀριστοφάνης Πλούτῳ.

Γραμματικός: ὁ πολλὰ γράμματα εἰδώς.

Γάστραι: τὸ σύντριμμα τῶν ἀμφορέων, ὧν αὐτὸ τὸ γαστρῶδες μένει. αὐτὴν δὲ τὴν γάστραν ἀντὶ τοῦ τῆς γαστρός.

Δ.

Δεδιακόνηκα: Δημοσθένης περὶ τοῦ ἐπιτριηραρχήματος.

Διαπαρθενεῦσαι:

Δεδιῳκημένα: Ἀντιφάνης Μηναγύρτῃ.

Δεῦρο: ἀντὶ τοῦ ἔρχου. Πλάτων Πολιτείας τρίτῳ.

Δραπέτευμα: Διοκλῆς Μελίτταις.

Δεῖται: ἀντὶ τοῦ δεῖ. ἀπελθεῖν με δεῖται.

Δεσμεύειν δεδεσμένον: Πλάτων Φαίδρῳ, Εὐριπίδης Βάκχαις.

Διδοῦσιν: οὐ διδόασιν. Ἀριστοφάνης Μητροφῶντι.

Δεδράμηκα: Φιλήμων Κοινωνοῖς.

Δακτυλίδιον: οὐ δεῖν φασὶν ὑποκορίζεσθαι, οὐδ' ἂν μικρὸν ᾖ.

Διαλέξασθαι: Ἀριστοφάνης Θεσμοφοριαζούσαις.

Διαλέγειν: ἀντὶ τοῦ διαλέγεσθαι. Ἕρμιππος Κέρκωψιν.

Διάλεγμα:

Δέλφακα: τὴν θήλειάν φασι δεῖν λέγειν, ἀδιαφόρως τῶν παλαιῶν τιθέντων.

Διάφορος: ἐχθρός.

Διαφόρως ἔχειν: ἐχθρῶς. Θουκυδίδης ἕκτῳ.

Διαφέρον: ἀντὶ τοῦ συμφέρον. Ἀντιφάνης Ἀνασωζομένῳ.

Δέρειν: τὸ τύπτειν, οὐχὶ τὸ ἐκδέρειν.

Δαρθείς: ἀντὶ τοῦ δαρείς. Νικόχαρις Κενταύρῳ. 5

Διπλάσαι: τὸ διπλασιάσαι. Ἄλεξις Κύπριδι.

Δοκιμαστήν: οὐκ ἀργυρογνώμονα.

Δόμων: οὐκ ἐπὶ τῆς οἰκίας, ἀλλ' ἐφ' οἷ ἡ συνήθεια τάττει. Ἡρόδοτος πρώτῳ καὶ δευτέρῳ.

Δύναται: οἷον τί δύναται ἥδε ἡ λέξις; ὁ στα- 10
τὴρ πόσους ὀβολοὺς δύναται;

Δεσποσύνην: Ἡρόδοτος ἑβδόμῳ. Δημοσθένης κατὰ Λεπτίνου. δεσποσύνους ἀντὶ τοῦ δεσπότας.

Δεύτερον: ἀντὶ τοῦ μεθ' ἑτέρου. Ἡρόδοτος πρώτῳ, Νικοφῶν Πανδώρᾳ. 15

Δεῖγμα ἀξιοῦσι λέγειν τὸ τοῦ λιμένος, οὐ τὸ ὑπόδειγμα.

Δοκήσει: ἀντὶ τοῦ δόξῃ. Ἀριστοφάνης Βατράχῳ.

Δυσθυμία: Σοφοκλῆς Τυροῖ.

Διατοιχεῖν: ἀντὶ τοῦ ἀνατοιχεῖν. Εὔβουλος Κατα- 20
κολλωμένῳ.

Διενεχθῆναι: ἀντὶ τοῦ μάχεσθαι. Ἄμφις Σαπφοῖ.

Διὰ χειρὸς δανεῖσαι: Τιμόστρατος Πανί.

Δρυοκολάπτης: τὸ ὄρνεον. Ἀριστοτέλης ἐν τῷ περὶ ζώων. 25

Δεδειπνάναι: Πλάτων Σοφισταῖς.

Δεδεξαμένη: Ἡρόδοτος ἕκτῳ.

Δευτέριον οἶνον: Νικοφῶν Χειροχάστορι.

Δεδνείπηκας: Μένανδρος.

Δυσημερεῖν: Φερεκράτης Κραπατάλλοις. 30

Διαχωρῆσαι: ἀποτῖσαι.

Δρᾶμ' ἀκοῦσαι: ἀντὶ τοῦ δράματος ἀκοῦσαι. Ἀντιφάνης Βουσίριδι.

Δεδιὼς ὄντος τοῦ ἀρσενικοῦ, δεδιυῖα τὸ θηλυκόν. Εὔβουλος.

Δεούμεθα: ἀντὶ τοῦ δεηθησόμεθα. Ἐπίχαρμος Δευκαλίωνι.

Διετίθουν: διετίθεσαν. Ἀντιφῶν Ἰάσονι.

Διαιρεῖν: λέγεται ἐπὶ δυοῖν, οὐκέτι ἐπὶ πλειόνων. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους φησὶ τῆς Θρᾴκης εἰς τρία διηρημένων.

Διάφευξις: Θουκυδίδης τρίτῳ.

Δόξασμα: Πλάτων Φαίδρῳ. 10

Δημοσιεύειν: τὸ δημεύειν. Πλάτων Φαίδρῳ, Θουκυδίδης τρίτῳ.

Δέσμιον: οὐ μόνον δεσμώτην.

Διδασκαλικός: Πλάτων Γοργίᾳ.

Δικᾶν: ἀντὶ τοῦ δικάσειν. Ἡρόδοτος πρώτῳ· οὔ φησι δικᾶν ἔτι. 15

Δικαιώματα: τὰ δίκαια. Θουκυδίδης πρώτῳ.

Διαφερόντως: ἀντὶ τοῦ διαφόρως. Ἀντιδόσει Ἰσοκράτης.

Δίκαιον μέτρον: τὸ ἴσον. Ἡρόδοτος δευτέρῳ. 20

Δοριάλωτος: Ἰσοκράτης περὶ τῆς ἀντιδόσεως.

Δόξαις: ἀντὶ τοῦ δόξειας. Πλάτων Φαίδρῳ.

Δωρῆσαι: ἀντὶ τοῦ δωρήσασθαι. Πίνδαρος Ὀλυμπιονίκῃ.

Δραστήριος: Θουκυδίδης πρώτῳ. 25

Δραχμεῖον: τὸν δραχμῆς ἄξιον.

Δινισμόν: Πλάτων Πολιτείας ἕκτῳ.

Δικάσιμον: Δημοσθένης πρὸς Πολύευκτον παραγραφῇ.

Δράκαινα: τὸ θηλυκόν. Εὐριπίδης Βάκχαις. 30

Δαιμονίζεσθαι: Σοφοκλῆς Δανάῃ. δεδαιμονισμένον ἀντὶ τοῦ τεθεωμένον.

Δυνάμεις: τὰ τῶν ἰατρῶν φάρμακα. *Τιμόστρατος.*

Δεξιότοιχοι: οἱ ἐν τῷ δεξιῷ ἐρέσσοντες.

Δίμυξον λύχνον: *Μεταγένης Φιλοθύτῃ.*

Διενεγκεῖν: ἀντὶ τοῦ προσπαλαίειν. *Τηλεκλείδης Ἡσιόδῳ.* 5

Δισωτήριον καλοῦσιν Ἀθήνησι τὸν ναὸν τοῦ σωτῆρος Διός. ἔστι δὲ Ἀττικὸν τὸ σχῆμα. Διπόλια γοῦν καλεῖται ἑορτή, καὶ Διπολιώδη φησὶν Ἀριστοφάνης. Θουκυδίδης δὲ Διάσια καλεῖ τὴν ἑορτήν.

Διὰ πάντων ἀγὼν λέγεται ὁ ἔσχατος. Κρατῖνος Πανόπταις. 10

Ε.

Ἐλέγοσαν, ἐγράφοσαν καὶ τὰ ὅμοια Ἀλεξανδρεῖς λέγουσι. Λυκόφρων Ἀλεξάνδρᾳ· 15

ναῦται λίαζον κἀπὸ γῆς ἐσχάζοσαν.

Ἐδιακόνουν: *Ἀλκαῖος Ἐνδυμίωνι.*

Ἐδιαίτων: ἀντὶ τοῦ διήτων.

Εἰσπορεύομαι καὶ ἐκπορεύομαι: ἀντὶ τοῦ ἐξέρχομαι. 20

Ἐπιχαιρέκακος: *Ἄλεξις ἐν Διαπλεούσαις λέγει·*

ἐπιχαιρέκακος εἶ καὶ φθονεῖς τοῖς πλησίον.

Εὐήθης: ὁ ἀγαθός. *Δημοσθένης κατὰ Τιμοκράτους· ἐγνωσμένος οὐκ ἠνείχετο δεῖν τῆς εὐηθείας τῆς ὑμετέρας.* 25

. . . χρηστοῦ δίδαγμ' εὐηθίας

καὶ φιλανθρώπου λογισμοῦ.

Θουκυδίδης τρίτῳ, Πλάτων Πολιτείας τετάρτῳ.

Ἐλεληθεισαν: *μετὰ τῆς θᾶ. Εὔπολις Αἰξίν.*

Εὔχαρι καὶ ἐπίχαρι: τὸ γελοῖον ἔτι μᾶλλον. 30

Εἴσω: ἀντὶ τοῦ ἔνδον. *Δημοσθένης περὶ τῆς παραπρεσβείας. Ὅμηρος·*

. . . . καὶ εἴσω δόρπον ἐκόσμει.

Εἰς ὀρθὸν φρονεῖν: ἀντὶ τοῦ καλῶς φρονεῖν. Σοφοκλῆς Τριπτολέμῳ.

Ἐνεός: ὁ μὴ ἀκούων. Ξενοφῶν Κύρου ἀναβάσει.

Εὐαγγέλια: μισθὸς τοῦ τι εὖ ἀγγεῖλαι.

Ἐκκόψαι: ἀντὶ τοῦ νικῆσαι κύβοις. Ἄλεξις Δακτυλίῳ. 5

Εὐτράπελον: φασὶν οὐ δεῖν τιθέναι ἐπὶ τοῦ γελοίου, ἀλλ' ἐπὶ τοῦ εὖ τρεπομένου πρὸς πάντα καὶ ἐπὶ τοῦ εὐστρόφου.

Ἐλεινόν: ἀντὶ τοῦ ἐλεεινόν. Εὔπολις Αἰξίν. Πλάτων ἕκτῳ Πολιτείας κατὰ τοῦ ἐλεητικοῦ τὸν ἐλεεινὸν τέθεικεν. 10

Ἐλεήμων: καὶ τοῦτο αἰτιῶνται. Δημοσθένης κατὰ Μειδίου.

Ἐλεημονέστατον: Ἰσοκράτης περὶ ἀντιδόσεως.

Ἐν τοσούτῳ: ἐν τῷ μεταξύ. 15

Ἐμέ ἀντὶ τοῦ ἐμαυτόν, σέ ἀντὶ τοῦ σαυτόν. Φιλήμων Γαμοῦντι·

σῶζε σαυτόν, ἐγὼ δ' ἐμέ.

Ἀναξανδρίδης·

ὑπὲρ σεαυτοῦ πρᾶτθ' ὅ τι . . ἄν σοι δοκῇ, 20
ἐγὼ δ' ὑπὲρ ἐμοῦ.

Ἐπανακάμψαι: ἐπαναστρέψαι. Φιλιππίδης Βασανιζομένῃ.

Ἐχθροτέρως: ἀντὶ τοῦ ἐχθρότερον. Θουκυδίδης.

Ἐπιτηδειοτέρως: 25

Εὐειδής: οὕτω φασὶν ἀδόκιμον εἶναι τὸ ὄνομα. ἀλλ' ὁ καλὸς Ξενοφῶν Ἀπομνημονευμάτων τρίτῳ, Ἡρόδοτος πρώτῳ δὶς καὶ τρίς, καὶ ἀπειράκις οἱ κωμικοί.

Ἐμφανίσαι: ἀντὶ τοῦ μηνῦσαι. Ἰσοκράτης ὑπὲρ τῆς ἀντιδόσεως· μᾶλλον ὑμῖν ἐμφανιεῖν τὴν ἀλήθειαν. 30

Εὐπαίδευτος, εὐπρόσωπος, εὐπαιδευσία, εὐπροσωπία.

Εὐοψίαν: ἀντὶ τοῦ εὐπροσωπίαν. Ἄλεξις Γαλατείᾳ.
Ἐδυνάσθην: Ὅμηρος·

οὐδὲ δυνάσθη
εὖ σχεθέειν.

Ἐναντίον τινὸς τόδε ἐπράχθη οὗ φασι δεῖν λέγειν, ἀλλὰ παρόντος τινός. Δημοσθένης κατὰ Ἀφόβου ἐπιτροπικῷ. 5
Ἐπίστη: ἀντὶ τοῦ ἐπίστασαι.
Ἐξαναλάβω: Θουκυδίδης πρώτῳ.
Ἐκποθεν ἐμοὶ γέγονεν: Ὅμηρος· 10

σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες.

καθόλου περιττὰς προσλαμβάνειν προθέσεις οὐκ ἦν ἄηθες τοῖς ἀρχαίοις.
Ἐξαφείλατο: Ἡρόδοτος πρώτῳ.
Ἐξαπολωλότα: Δημοσθένης κατὰ Φορμίωνος. 15
Ἐξ ὅτου: ἀντὶ τοῦ ἐξ οὗ, ἦλθον. Κράτης Τόλμαις.
Ἑστήξουσι: Δημοσθένης κατὰ Λεπτίνου.
Ἐπιτριτῶσαι: ὡς ἐπιδευτερῶσαι. Ἀναξίλας Ἀγροίκῳ.
Ἐθισμός: ἀντὶ τοῦ ἔθος. Ποσείδιππος Φιλοπάτορι.
Ἐξετασμός: ἀντὶ τοῦ ἐξέτασις. Δημοσθένους ἐν τῷ ὑπὲρ τοῦ στεφάνου εἰπόντος, οὗ φασι δόκιμον εἶναι οὕτω τιθέμενον. 20
Ἐπελάβετό μου: οὕτως εἰπόντος Πλάτωνος Πολιτείας τρίτῳ.
Ἐκποιῆσαι: ἀντὶ τοῦ ἐκτελέσαι. Σώφρων. 25
Ἐκδημία: οὐ μόνον ἀποδημία. Εὐριπίδης Ὑψιπύλῃ.
Ἐπίδημος: ἀντὶ τοῦ ἔνδημος. Ἀντιφάνης Ἀγροίκῳ.
Ἐνδημεῖν: Θουκυδίδης πρώτῳ, ἐνδημοτάτους εἰπών.
Ἐπιτροπεῖν: ἀντὶ τοῦ ἐπιτροπεύειν. Πλάτων Φαίδρῳ. 30
Ἐξαίρειν: ἀντὶ τοῦ ἀπαίρειν. Εὐριπίδης δὲ Ῥαδαμάνθυι·

οὐδεὶς γὰρ ἡμᾶς . . . . ἐξαιρήσεται,
ἀντὶ τοῦ ἀφαιρήσεται.

Ἐργολάβος: Δημοσθένης ἐπιστολῇ, ἧς ἡ ἀρχή· Περὶ μὲν τῶν κατ' ἐμαυτόν.

Ἐργοδοτῶν: ὡς κἂν τῇ συνηθείᾳ. Ἀπολλόδωρος. 5

Ἐπέκεινα, ἐπιτάδε: Πλάτων περὶ ψυχῆς.

Ἐξ αὐτῆς: ἀντὶ τοῦ παραχρῆμα. Κρατῖνος Δηλιάσιν.

Ἐντέλλω: ἀντὶ τοῦ ἐντέλλομαι. Σοφοκλῆς Θυέστῃ.

Ἐν ὥρᾳ: οὐ μόνον, ὡς ἀξιοῦσι, καθ' ὥραν.

Εὐθετῆσαι: καθότι καὶ ἀθετῆσαι. 10

Ἐδέετο ἀντὶ τοῦ ἐδεῖτο, παρεκάλει.

Ἐντρέπεσθαι: ἐπιστροφὴν ποιεῖσθαι. Ὅμηρος·
. . . . ἐντρέπεται φίλον ἦτορ.
Δημοσθένης περὶ παραπρεσβείας.

Ἐξόριστον: ἀντὶ τοῦ φυγάδα. Δημοσθένης ἐν τῷ 15
κατὰ Μειδίου.

Ἔκλεξις: Πλάτων πέμπτῳ Πολιτείας.

Ἐγγύησις: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Ἕλξις: Πλάτων Πολιτείᾳ.

Ἐπιστράτευσις: Ἡρόδοτος τρίτῳ. 20

Εὐωχεῖν: ἀντὶ τοῦ εὐωχεῖσθαι. Ἀνδοκίδης Συμβουλευτικῷ.

Ἐπισάξαι: ἀντὶ τοῦ ἐπιγεμίσαι. Ἡρόδοτος τρίτῳ.

Ἐπιτιμᾶν: ἀντὶ τοῦ ἐπιπλήσσειν. Δημοσθένης περὶ τριηραρχήματος. 25

Ἕλκει σταθμόν: ἀντὶ τοῦ ἄγει. ἐκβάλλουσιν ὡς ἀδόκιμον. Ἡρόδοτος πρώτῳ.

Εὐπαθεῖν τὸ ἡσθῆναι καὶ εὐπάθειαν τὴν ἡδονήν. Πλάτων Πολιτείας ἕκτῳ καὶ τετάρτῳ.

Ἐντρεχῆ ἄνδρα: Πλάτων Πολιτείᾳ. ἐντρεχέστατον, 30

Ἐνιαυτοί οὐ λέγονταί φασι πληθυντικῶς. Ὅμηρος·
ἀλλ' ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν.
Ἡρόδοτος πρώτῳ.

Ἑλκύδρια: τὰ μικρὰ ἕλκη. Λυσίας κατὰ Λυσιθέου.
Ἐγχωρεῖ: ἐνδέχεται.
Εὑρίσκειν τιμήν: ὡς κἀν τῇ συνηθείᾳ.
Εὐλογεῖν: τὸ ἐπαινεῖν.
Ἐπίσκεψις: Θουκυδίδης τρίτῳ. 5
Ἐνσεῖσαι: ἀντὶ τοῦ ἐντινάξαι.
Ἐχόμενον: ἀντὶ ὑστέρου. Ἰσοκράτης περὶ ἀντιδόσεως.
Ἐγχώριος ἀνήρ, ἐγχώριον πρᾶγμα: Εὔπολις Δήμοις.
Εἴησαν: ἀντὶ τοῦ εἶεν. Ξενοφῶν Ἀπομνημονευμάτων 10 πρώτῳ.
Ἐξελεύθερον: ἀντὶ τοῦ ἀπελεύθερον.
Ἐντέχνως ἀποδοκιμάζουσι λέγειν.
Ἐν γαστρὶ ἔχειν: τὸ κύειν. Ἡρόδοτος πρώτῳ.
Ἐμπειρικῶς: ἀντὶ τοῦ ἐμπείρως. Ἄλεξις Οἴνῳ. 15
Ἐξωμνύοντο: μετὰ τοῦ ō, Αἰολικῶς.
Ἐκφυγγάνω: Δίφιλος Εὐνούχῳ.
Ἐθελορήτωρ: ἐκβάλλουσι τὰ σύνθετα. Θουκυδίδης ἐθελοφιλόσοφος· καὶ Θουκυδίδης δὲ ἐθελοπρόξενος. 20
Εὐαρέστως: καὶ τοῦτο διώκουσιν.
Ἐλλύχνιον: Ἡρόδοτος πρώτῳ.
Εὐστόχως: Εὐριπίδης Πελιάσιν.
Ἐμφερέστερα: Αἰσχύλος Ἱκέτισιν.
Ἐωνηκώς: ἀντὶ τοῦ ἐωνημένος. Λυσίας κατὰ Καλ- 25 λίου ἐνδείξεως.
Ἐνεδρεία: ἀντὶ τοῦ ἐνέδρα. Ἐπίχαρμος Ὀδυσσεῖ αὐτομόλῳ.
Ἐμπαίζειν: ἐπὶ τοῦ καταγελᾶν. Ἀριστοφάνης Πλούτῳ.
Εὔσχημον: ἐπὶ τοῦ καλοῦ. 30
Εὐσχημόνως: καλῶς.
Εὐειματεῖν: Ἀντιφάνης Ἀφροδισίῳ.

Ἐξαλλάξαι: ὡς Ἀλεξανδρεῖς, ἀντὶ τοῦ τέρψαι. Μένανδρος·

ἄνθρωπον ἐξαλλάξομεν.

Ἐξαλλάγματα: Ἀναξανδρίδης Θησεῖ·

παρθένοι παίζουσι.. ..πρὸς ἔλαφρ' ἐξαλλάγματα. 5

Ἔλαφρός: ὁ τὰς φρένας κοῦφος. Φιλήμων Αἰτωλῷ.

Εὐόμιλος: καί τοί γε τὴν ὁμιλίαν αὐτῶν ἐκβαλλόντων.

Εὐθύ: ἀντὶ τοῦ εὐθέως.

Ἐξέβη ἡμῖν τὸ ἐνύπνιον: Ἄλεξις Κιθαρῳδῷ.

Εἷς ἕκαστος: Ἄλεξις Ἑλένης μνηστῆρσιν. 10

Ἐπίτοκον οὐκ ἀξιοῦσι λέγειν, ἀλλ' ἐπίτεκα.

Ἐπιστάτης: ἀντὶ τοῦ διδάσκαλος ὁμολογουμένως Ἀντιφάνης.

Ἐγκυρῆσαι: ἀντὶ τοῦ ἐντυχεῖν. Κρατῖνος Δηλιάσιν.

Εὐσταλής: Θουκυδίδης πρώτῳ. 15

Ἐμπολῆσαι: ἀντὶ τοῦ ὠνήσασθαι.

Ἐφάπαξ: Εὔπολις Κόλαξιν.

Ἐξηγητής: Εὔπολις Χρυσῷ γένει·

. . . . . Λάμπων

οὐξηγητής. μάντις γὰρ . . ἦν, καὶ χρησμοὺς 20

ἐξηγεῖτο.

Ἡρόδοτος τετάρτῳ.

Ἐθελοντηδόν: Θουκυδίδης ὀγδόῳ.

Ἐπινέφελον: Πλάτων Λαΐῳ.

Ἐπανορθώσασθαι: Ἀριστοφάνης Θεσμοφοριαζούσαις. 25

Ἐγρηγόρησεν: Ξενοφῶν τετάρτῳ Ἀναβάσεως.

Ἐτάζειν: τὸ ἐξετάζειν. Ἡρόδοτος τρίτῳ.

Ἐτασμόν: τὸν ἐξετασμόν.

Ἔγκαθετος: Ὑπερείδης κατὰ Αὐτοκλέους. 30

Ἐξιδιάσασθαι: Δίφιλος Ἐπιτροπῇ.

Εὐεργεσία: Εὐριπίδης Βάκχαις.

Εὐορκησία: Ἀλέξανδρος Ἑλένῃ.

Εὐώνυ-

Εὐώνυμον: τὴν ἀριστερὰν χεῖρα.

Ἐπεπτώκειμεν: Μένανδρος Καταψευδομένῳ.

Ἕλλην γυνή: Φιλήμων Παιδαρίῳ.

Ἑλλὰς ὁ ἀνήρ: Σοφοκλῆς Αἴαντι Λοκρῷ.

Ἐκ διαδοχῆς: τὸ ἐν μέρει. Ἀντιφάνης Ἀγροίκῳ. 5

Ἔσθειν: Ὅμηρος·

ἔσθων καὶ πίνων.

Ἑπτέτης: χωρὶς τοῦ ᾱ. Χιωνίδης Ἥρωσιν.

Ἐντυλίξαι: τὸ ἐνειλῆσαι. Διοκλῆς Μειλίτταις.

Ἐλᾶν: ἀντὶ τοῦ ἐλαύνειν. Κάνθαρος Μηδείᾳ. 10

Ἔφιππος: ἀντὶ τοῦ ἱππότης ἢ ἐπιβεβηκὼς ἵπποις.

Ἐμπυρισμός: Ὑπερείδης ὑπὲρ Λυκόφρονος.

Ἔνωμον: τὸ κατὰ πᾶν πέπειρον.

Ἐκπερδικίσαι: ἐκφυγεῖν καὶ διολισθεῖν. Ἀριστοφάνης Ἐκκλησιαζούσαις. 15

Ἐνθρυπτά: Δημοσθένης περὶ στεφάνου.

Ἐξάλειπτρον: φιάλη τι ὅμοιον. Ἀριστοφάνης Ἀχαρνεῦσιν.

Ἐπιβατικά καλοῦσιν, ἃ οἱ ναυτικοὶ παρενθήκας λέγουσιν. 20

Ἔξω γλαῦκα οἱ ναυτικοὶ λέγουσιν, ὅταν ἡ θάλασσα ὑπερχέηται.

Ζ.

25

Ζῆλος: κἀπὶ τῆς ζηλοτυπίας, οὐχ, ὡς οἴονται, ἐπὶ τῆς μιμήσεως μόνον.

Ζήσει: Πλάτων Πολιτείας ἕκτῳ, οὐ ζήσεται.

Ζῇ: ἀντὶ τοῦ ζῆθι. Εὐριπίδης Ἰφιγενείᾳ·

ἀλλ' ἕρπε καὶ ζῇ καὶ δόμους οἴκει πατρός. 30

Σοφοκλῆς Δανάῃ·

ζῇ, πῖνε, φέρβου.

Ζευγηλάτης: Σοφοκλῆς Τριπτολέμῳ.

Ζυμήσασθαι: Ἀριστοφάνης Νεφέλαις.
Ζωδάριον: Ἄλεξις Λυκίσκῳ.
Ζῴδιον: ζῶον.
Ζάγρα: λοιδορίας εἶδος. Τιμόστρατος Παρακαταθήκῃ τὰς βασάνους καὶ τὰς πληγὰς ζάγριον λέγει.
Ζιγοῦν ἀντὶ τοῦ πίνειν Κίλικες λέγουσιν.
Ζημίαν λαβεῖν: ἀντὶ τοῦ ζημιωθῆναι.

Η

Ἤνεγκον: ἐπὶ πρώτου προσώπου. Σοφοκλῆς Τυροῖ, Ἀριστοφάνης Θεσμοφορίαις.
Ἡμίκακον: Ἄλεξις Αἰχμαλώτῳ.
Ἥδεται: Εὐριπίδης Βάκχαις.
Ἤθη: πληθυντικῶς φασὶ μὴ δεῖν λέγειν, ἀλλ' ἑνικῶς. ἀλλ' Ἀντιφάνης εἶπε πληθυντικῶς.
Ἥδιον: Ἄλεξις Ὀδυσσεῖ ἀπονιπτομένῳ.
Ἡσύχιος:
Ἡσυχώτερον:
Ἡσύχιμον: Πίνδαρος Ὀλυμπιονίκαις.
Ἡρακλέες: Πλάτων Θεαιτήτῳ· μυρίοι ἤδη μοι Ἡρακλέες καὶ Θησέες ἐντυχεῖν.
Ἡγεμονεύειν: Πλάτων Πολιτείας τετάρτῳ.
Ἡγεμονεύεσθαι: Θουκυδίδης τρίτῳ.
Ἥλω: ἀντὶ τοῦ ἑάλω.
Ἡιματῶσθαι: Ἔριφος Μελιβοίᾳ.
Ἥσθημα: τὴν ἡδονήν. Εὔπολις Δήμοις.
Ἠκροᾶσο: ἀντὶ τοῦ ἠκροῶ. Ἀντιφάνης Ἐπιδαύρῳ.
Ἡμερινὸν φῶς: Πλάτων Πολιτείας τετάρτῳ.
Ἡμίσεως: ἐπίῤῥημα. Πλάτων Πολιτείας ἕκτῳ.
Ἡμίσεας: ἀντὶ τοῦ ἡμίσεις.
Ἡμιλίτριον: Ἐπίχαρμος Χείρωνι.
Ἡμιούγκιον: Ἐπίχαρμος Ἀμύκῳ.

Ἡμῖνα: ἐν τῇ ἀναφερομένῃ εἰς Ἐπίχαρμον Ὀψοποιίᾳ.

Ἤτοι: οὐκ ἄρχον, ἀλλ' ὑποτασσόμενον. Πίνδαρος Θρήνοις.

Ἕξις: ἀντὶ τοῦ ἄφιξις. Εὐριπίδης Τρωάσιν.

Θ.

Θροῦς: Θουκυδίδης τετάρτῳ.

Θυμωθῆναι: Ἡρόδοτος τρίτῳ.

Θανατήριον ἀξιοῦσιν, οὐ θανάσιμον λέγειν. Πλάτων Πολιτείας δευτέρῳ, Εὐριπίδης Μηδείᾳ.

Θερισμόν: ἀντὶ τοῦ ἀμητόν. Ἡρόδοτος τετάρτῳ, Εὔπολις Μαρικᾷ.

Θηλάζειν: Πλάτων Πολιτείας τρίτῳ.

Θηλάζει: ἀντὶ τοῦ δίδωσι θηλήν. Φρύνιχος Μονοτρόπῳ.

Θῦσαι: ἀντὶ τοῦ σφάξαι. Εὐριπίδης Ὀρέστῃ.

Θυροκοπεῖν καὶ θυροκοπία: Δίφιλος.

Θρίδακα: Ἡρόδοτος τρίτῳ δίς.

Θερεία: Ἡρόδοτος πρώτῳ.

Θερμολουτεῖν: Ἄλεξις Ἑλένης μνηστῆρσιν.

Θερμαίνεσθαι: οὐ μόνον τὸ ὕδωρ, ἀλλὰ καὶ τὸ λεβήτιον ἢ χαλκίον.

Θησέω: ἀντὶ τοῦ θησείω. Φερεκράτης Δουλοδιδασκάλῳ.

Θρασέα: Φιλήμων Γάλλῳ· θρασέα γυνή.

Θαυμαστότερον: οὐ θαυμασιώτερον.

Θρεσκεία: Ἡρόδοτος δευτέρῳ.

Θεμιτόν: Ἡρόδοτος τρίτῳ, Πλάτων περὶ ψυχῆς.

Θηρία ἀξιοῦσι τὰ ἄγρια λέγεσθαι, ἵππον δὲ ἢ ἡμίονον πολιτικά. Εὔπολις Δήμοις.

Θυγατριδεῖν: ἀντὶ τοῦ θυγατέρα καλεῖν. Ἀραρὼς Καινεῖ.

Θεώσειν καὶ θεῶσαι: κατ' ἔνδειαν τοῦ ῑ, τὸ περιενεγκεῖν θεῖον καὶ καθῆραι. Ἀραρὼς Καμπυλίωνι.

Θηραμένης: τὴν κλητικήν. Φιλιππίδης Κοθόρνοις.
Θυρίδα: τῆς πινακίδος τὴν πτύχα.

I.

Ἵνα τί: ἀντὶ τοῦ διὰ τί.
Ἱκετείαν: ἀντὶ τοῦ ἱκεσίαν. Θουκυδίδης τρίτῳ.
Ἰταλικόν: Πλάτων Γοργίᾳ.
Ἱεράν: ἀντὶ τοῦ ἱέρειαν. Πλάτων.
Ἰδιωτεύειν: Πλάτων Γοργίᾳ.
Ἰατρεύειν: Πλάτων Πολιτείας δευτέρῳ.
Ἰτητέον: ἀντὶ τοῦ ἰτέον. Δίφιλος Ἐλλεβοριζομένοις.
Ἰσχυρίσκος: ἀντὶ τοῦ ἰσχυρός. Ἄλεξις Προσκεδαννυμένῳ.
Ἰσχυρικώτερον: Πλάτων Θεαιτήτῳ.
Ἱππεύεσθαι: παθητικῶς. Ἡρόδοτος πρώτῳ.
Ἱκανότης: Λυσίας πρὸς Πανταλέοντα.
Ἴδοιτο: ἀντὶ τοῦ ἴδοι. Ἡρόδοτος τρίτῳ.
Ἱερά: τὰ τῶν τεθνηκότων ὀστᾶ. Ὑπερείδης κατὰ Ἀρχεστρατίδου.
Ἰδίωσις: Πλάτων τετάρτῳ Πολιτικῶν.
Ἰσάργυρον, ἰσόχρυσον: ἀντὶ τοῦ πολυτίμου.
Ἰσχνόφωνον τὸν μογιλάλον οὐκ ἐῶσι λέγειν, ἀλλὰ τὸ μογιλάλον ἀπελαύνουσιν. Ἡρόδοτος ἰσχόφωνον.
Ἱματιομίσθαι: οἱ μισθοῦντες τὰ ἱμάτια.
Ἱμάντες: τὰ σχοινία, οἷς αἱ κεραῖαι ἀνέλκονται.
Ἴσα: τὸ ἐπιχαρτικὸν ἐπιφώνημα. μέμφεται. Πλάτων Λαΐῳ.

K.

Κάθου: Ἄλεξις Ταραντίνοις, Δίφιλος Εὐνούχῳ.
Κάθῃ: ἀντὶ τοῦ κάθησαι. Ὑπερείδης ὑπὲρ Κρατίνου.
Καθίζανε: ἀντὶ τοῦ κάθησο.

Καθίσω: καθεδοῦμαι. Ἀπολέγων Διαμαρτανούσῃ.

Καθιζησόμεθα: ἀντὶ τοῦ καθεδούμεθα. Πλάτων Φαίδρῳ.

Κοκκύζειν τοὺς ἀλεκτρυόνας: Δίφιλος Πλανθοφόρῳ.

Κόβαλος: ὁ σκιραπώδης καὶ ἀειδής. Ἀρίσταρχος Βατράχοις.

Κράζειν: οὕτω δεῖν φασὶ λέγειν, ἀλλὰ κραυγάζειν ἢ βοᾶν.

Κραυγασμός: ἀντὶ τοῦ κραυγή. Δίφιλος Ἀποβάτῃ.

Κατὰ μόνας: ἀντὶ τοῦ ἰδίᾳ. Θουκυδίδης πρώτῳ, Ξενοφῶν Ἀπομνημονευμάτων τετάρτῳ.

Κάλτιον: τὸ ὑπόδημα.

Καλλονή: ἐπὶ τοῦ κάλλους. Εὐριπίδης.

Κακά τὰ παιδία λέγει ἐπὶ τῶν ἀπαρεσκόντων.

Κόρδακα καὶ κορδακίζειν: ὅτι δὴ γένος ὀρχησμοῦ ὁ κόρδαξ, Ἀριστόξενος ἐν τῷ περὶ τραγικῆς ὀρχήσεως δηλοῖ οὕτως· ἦν δὲ τὸ μὲν εἶδος τῆς τραγικῆς ὀρχήσεως ἡ καλουμένη ἐμμέλεια, καθάπερ τῆς σατυρικῆς ἡ καλουμένη σίκινις, τῆς δὲ κωμικῆς ὁ καλούμενος κόρδαξ.

Κρούειν: κατὰ τοῦ ῥαπίσαι ῥῆμα μόνον οἴονται τίθεσθαι αὐτό, ὡς ὅταν εἴπῃ Ὑπερείδης καὶ τῷ σκέλει με ῥῆμα ἔκρουσεν. ἐπὶ δὲ τῆς συνηθείας κατὰ τοῦ κόψαι τὴν θύραν τάσσεται. καὶ κατὰ τοῦ κακεμφάτου ἐν τῇ συνηθείᾳ τὸ κροῦσαι κεῖται, ἀντὶ τοῦ συγγενέσθαι.

Κεντρίζειν: Ξενοφῶν Συμποσίῳ.

Κλεῖν ἀξιοῦσι λέγειν, οὐ κλεῖδα. Δίφιλος Εὐνούχῳ.

Κυντερώτερον καὶ κυντατώτατον: Εὔβουλος Παρμενίσκῳ.

Κυντότατον: Ἀριστοτέλης περὶ ποιητικῆς· τὸ δὲ πάντων κυντότατον.

Κόφινος οὐ ῥητέον φασίν, ἀλλὰ ἀῤῥίχος. Πλάτων Ἑορταῖς.

Καυχᾶσθαι: ἀντὶ τοῦ αὐχεῖν. Πίνδαρος Ὀλυμπιονίκαις.

Κοροκόσμια κυρίως μέν ἐστι τὰ ἐπὶ τῶν τριοδίων πρόςωπα ξύλινα, ἃ δὴ οἱ Ἀττικοὶ κόρας καλοῦσι· τέτραπται δὲ ἐκεῖθεν κἀπὶ τοὺς κόσμους τῶν παρθένων. ὅλως δ' ἡγοῦνται τὴν λέξιν βάρβαρον. 5

Κεράμινον: ἀντὶ τοῦ κεραμεοῦν. Ἡρόδοτος πρώτῳ.

Κάτοπτρον οὐ φασι δεῖν λέγειν, ἀλλ' ἔςοπτρον. 10

Κατηγορίας ἔχω: ἀντὶ τοῦ κατηγοροῦμαι. Δημοσθένης περὶ στεφάνου.

Κακολογεῖν: Ὑπερείδης κατὰ Ἀρισταγόρου.

Κακοποιεῖν: Αἰσχύλος Κήρυξιν.

Καταλαλεῖν: Ἀριστοφάνης Γήρᾳ. 15

Κάπηλος: ἐπὶ πάντων φασὶ τῶν μεταβαλλομένων τίθεται. ἀλλὰ καὶ ἰδίως ἐπὶ τῶν πωλούντων οἶνον.

Καταλλαγῆναι: φασὶ διαλλαγῆναι. Θουκυδίδης τετάρτῳ δίς.

Κυρίαν οὐ φασι δεῖν λέγειν, ἀλλὰ κεκτημένην· τὸν δὲ κεκτημένον μὴ λέγεσθαι ἀντὶ τοῦ δεσπότου. Σατυρικοῖς κεκτημένον λέγει, Φιλήμων κυρίαν. 20

Κομψόν: ἐπὶ τοῦ κομψευομένου φασὶ δεῖν λέγειν, καὶ τοὺς ἐπὶ τῶν ἀσθενούντων λέγοντας, ὅτι κομψότερον διάκειται, μέμφονται. ἀλλὰ Πλάτων Πολιτείας τετάρτῳ κομψοὺς οὐ τοὺς κεκομψευμένους λέγει, ἀλλὰ τοὺς ἀμείνονας. 25

Κλέπτρια: Σωτάδης Ἐγκλειομένοις.

Καταχωλέ: Ἀλκαῖος Γανυμήδει. σκώπτων γὰρ Ἥφαιστον ὁ Ζεὺς φησι· 30

καταχωλέ, θᾶσσον, ἢ κεραυνοπλὴξ ἔσῃ.

Κύπριον: τὸ τάριχον. Ποσείδιππος Μεταφερομένοις.

Κόλλοπάς φασι δεῖν κυρίως λέγειν τοὺς τῶν ὀργάνων,

οὓς καλοῦσι κολλάβους, οὐ τοὺς ἀνδρογύνους. Εὔβουλος Ἀντιόπῃ ἐπὶ τοῦ ἀνδρογύνου.

Κλιβανίτης ἄρτος: Ἀμειψίας Ἀποκοτταβίζουσιν.

Κρεμάσω: οὐ μόνον κρεμῶ. Ἀλκαῖος Γανυμήδει.

Κεραννύουσιν: οὐ κιρνᾶσιν, ὡς οἴονται. 5

Κέρκους τὰς οὐρὰς οὐκ οἴονται δεῖν λέγειν. ἐπιχωριάζει δὲ κατὰ τὴν Ἀσίαν, βάρβαρον μέντοι νομίζεται. Πλάτων Σοφισταῖς.

Κροταλίζειν: ἀντὶ τοῦ κροτεῖν. Ἀναξίλας Ἀντίδο. . .

Κραυγὴν ποιῆσαι: ἀντὶ τοῦ κραυγάσαι. 10

Καταδιῶξαι: Λυσίας κατὰ Ἐπικράτους.

Κατακρύψαι: ἀντὶ τοῦ ἐπικρύψαι ἢ κρύψαι.

Κρεάδιον οὔ φασι δεῖν λέγειν τὸ ὑποκοριστικόν.

Καταγώγιον: ἀντὶ τοῦ κατάλυσιν.

Κατάλυσιν: καὶ ταύτην ἐπαιτιῶνται. Ἀντιφάνης 15 Ἀδώνιδι.

Καταδεεστέρως: Ἰσοκράτης περὶ ἀντιδόσεως.

Κακοτεχνίζων: ἀντὶ τοῦ κακοτεχνῶν. Ἀλκαῖος Γανυμήδει.

Καρθείς: ἀντὶ τοῦ κειράμενος. καρῆναι γὰρ τὸ πρό- 20 βατον, κείρασθαι δὲ τὸν ἄνθρωπόν φασι δεῖν λέγειν.

Καθέστηκεν: ἀντὶ τοῦ ἔστι. γελᾶται ὑπὸ πολλῶν.

Κοκκύμηλα λέγεσθαι οὔ φασιν, ἀλλὰ μᾶλλον βράβηλα. ἀλλὰ λέγεται καὶ κοκκύμηλα καὶ κοκκυμηλέα.

Κόκκους οὐ δικαιοῦσι λέγειν ῥοᾶς ἢ σταφυλῆς, ἀλλὰ 25 ῥάγας.

Καμμύειν οὔ φασι δεῖν λέγειν, ἀλλὰ καταμύειν.

Κατεσκευασμένην οἰκίαν: ἀντὶ τοῦ πάνθ' ὅσα ἔχουσαν.

Κακῶς ἔχειν: ἐπὶ τῶν ἀσθενούντων. 30

Κηδεία: τὸ κῆδος.

Κῆδος οὔ φασι λέγεσθαι ἐπὶ νεκρῶν, ἀλλ' ἐπὶ γάμων.

Κρυφῇ: ἀντὶ τοῦ λάθρα. Ξενοφῶν Συμποσίῳ.

Κόμμιδι: ἡ δοτική. Ἡρόδοτος δευτέρῳ.
Κέρατα: οὐ μόνον κέρα.
Κολοβωθῆναι· Ἀραρὼς Ἀδώνιδι.
Καταβιβάσαι φασὶν οὐ δεῖν λέγειν, ἀλλὰ καταβῆσαι.
Καρπίσασθαι: ἀντὶ τοῦ καρπώσασθαι. 5
Κεφαλαιότατον: Πλάτων Γοργίᾳ.
Κρόνος: μωρός. Ὑπερείδης.
Κεναγγίαν: τὴν πεῖναν. Πλάτων Συμμαχίᾳ.
Κῦμα: ἀντὶ τοῦ κύημα.
Κράμβην: τὸν ἀσπάραγον. καὶ ἰατροὶ οὕτως. 10
Κερματίζειν: κατακολλυβίζειν. ἐπί τινων κατακοπὰς καλούντων.
Κυδώνιον μῆλον: βραχέως. Φιλήμων Ἰατρῷ.
Κοράκινον: τὸ χρῶμα.
Κατᾶραι: ἀντὶ τοῦ ἐλθεῖν. Θεόπομπος. 15
Κακόβιος: Θεόπομπος ἐν τῇ ἐπιτομῇ Ἡροδότου.
Κακομαθής: Ἀναξανδρίδης Ἀχιλλεῖ.
Κακόδουλος: Κρατῖνος Θρᾳκί.
Κακοπρόσωπος: Ποσείδιππος.
Καταβοή: Θουκυδίδης ὀγδόῳ. 20
Καταλελάβηκεν: Ἡρόδοτος πρώτῳ.
Καταστροφήν: ἐπὶ τελευτῆς.
Κεφαλαί: ἀντὶ τοῦ πολλοῦ.
Κακουχία: Ἄλεξις Ἐπικλήρῳ.
Κατ' ἀγρόν: ἀντὶ τοῦ ἐν ἀγρῷ. Ἄμφις Δακτυλίῳ. 25
Κατεύχεσθαι: ἐπὶ τοῦ ἀγαθοῦ, ἀντὶ τοῦ εὔχεσθαι. Φιλιππίδης Ἀδωνιαζούσαις.
Κλινάριον: οὐ μόνον κλινίδια. Ἀριστοφάνης Δαιταλεῦσιν.
Κοπάσαι: Ἡρόδοτος ἑβδόμῳ· ἐκόπασεν ὁ ἄνεμος.
Κυνάριον: οὐ μόνον κυνίδιον. Ἀλκαῖος κωμικῶς. 30
Κεφαλοτομεῖν: Θεόφραστος περὶ εὐδαιμονίας.
Κιννάβαρις: ἀρσενικῶς. Ἀναξανδρίδης Γεωγράφῳ.
Κακκάβη: Ἕρμιππος Δημόταις.

Κάθεξις: Θουκυδίδης τετάρτῳ.

Κόλασμα: Ἀριστοφάνης Νεφέλαις.

Κορδύλη: τὸ ἔπαρμα. Σιμωνίδης δευτέρῳ.

Καύσιμα ξύλα: Ἄλεξις.

Καθαρὸς δοῦλος: οἱονεὶ ἀπηκριβωμένος. Ἀντιφάνης Ἀγροίκῳ. 5

Κατόχους τινὰς λέγουσιν οἱ παιδοτρῖβαι. καὶ κατόχως εἴρηται ἀντὶ τοῦ μνημονικῶς. Ἕρμιππος Δημόταις.

Κιόκρανα: τὰς τῶν κιόνων κεφαλάς. Πλάτων Λάκωσιν. 10

Καθήκει: ἀντὶ τοῦ προσήκει.

Καταλέγειν τοῖς παισὶ τοὺς διδασκάλους:

Κίστας ἀξιοῦσι λέγειν τὰς μυστικάς. ἀλλ' ἐτίθετό γε κἀπὶ τῶν χηλῶν. 15

Κύων: ὦ κύων, διὰ τοῦ ω. Ἄρχιππος Ἀμφιτρύωνι.

Κόγχος ἐν τῇ συνηθείᾳ λέγεται βρωμάτιόν τι λοπαδευόμενον.

Κακεντρεχής: Ἐπίχαρμος Πολίταις.

Καταφαγάς: Μένανδρος Πωλουμένοις. 20

Κιχορία: τὸ ἄγριον λάχανον. Ἀριστοφάνης Δράμασιν.

Κόκκυ: οὐδὲ κόκκυ. ἀντὶ τοῦ οὐδὲ βραχύ.

Κορωνιδεύς: ὁ τῆς κορώνης νεοσσός. Κρατῖνος Πυλαίᾳ.

Κατηρτυκέναι ἐλέγοντο οἱ μηκέτι βόλον ἔχοντες ἵπποι. Εὐριπίδης Αἰόλῳ. 25

Κάνναβις: Σοφοκλῆς Θαμύρᾳ, Ἡρόδοτος τετάρτῳ.

Λ.

Λελάβημαι: ἀντὶ τοῦ εἴλημμαι. Ἡρόδοτος ἕκτῳ καὶ τετάρτῳ, Εὐριπίδης Βάκχαις. 30

Λίτρα: ἣν μὲν καὶ νόμισμα Σικελικόν· ὅτι δὲ καὶ ἐπὶ τοῦ σταθμοῦ, Ἐπίχαρμος Ἐλπίδι ἢ Πλούτῳ.

Λοιμός: οὐκ ἐπὶ τοῦ λοιμικοῦ πάθους, ἀλλ' ἐφ' οὗ ἡ συνήθεια τάσσει. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος· οὗτος οὖν αὐτὸν ἐξαιτήσεται, ὁ φαρμακός, ὁ λοιμός.

Λαγγάζει: ἀντὶ τοῦ ἐνδίδωσιν. Ἀντιφάνης Ἀντερώσῃ.

Λαμπρόψυχος: ἀντὶ τοῦ μεγαλόψυχος. Ἀραρὼς Πανὸς γοναῖς.

Λύχνα: οὐδετέρως. Ἡρόδοτος δευτέρῳ, Εὐριπίδης Κύκλωπι.

Λιθάζειν: οὐχὶ λεύειν καὶ καταλεύειν. Ἀναξανδρίδης Θετταλοῖς.

Λαθροφαγεῖν: Μεταγένης Φιλοθύτῃ.

Λιποψυχεῖν: Σοφοκλῆς Πηλεῖ.

Λαβὼν τὸν ἵππον οὔ φασι λέγεσθαι. λαμβάνει γάρ τις σκεῦος ἤ τι τοιοῦτον.

Λαβόμενος: ἀντὶ τοῦ λαβών. Ἄλεξις Ἀρχιλόχοις.

Λόγον λαμβάνειν: Πλάτων Πολιτείας πρώτῳ.

Λεπτοτέρως: Ἀναξανδρίδης Ὁπλομάχῳ.

Λαβύραν: Ξενοφῶν Συμποσίῳ. σημαίνει τὸ χαίρειν.

Λὰξ βῆναι καὶ λὰξ πατῆσαι λέγεσθαί φασι, λὰξ δὲ κάθου μὴ λέγεσθαι.

Λάκαιναν τὴν παρθένον φασὶ δεῖν καλεῖν, τὴν δὲ χώραν Λακωνικήν. Ἄλεξις Ἑλένης ἁρπαγῇ.

Λείψας: ἀντὶ τοῦ λιπών. Ἀριστοφάνης Ἀνδρομέδᾳ.

Λῆμμα καὶ ἀνάλωμα: Ἀναξανδρίδης Λοκρίσιν.

Λεπτολογία: Ἕρμιππος Δημόταις.

Λύσιμον: θηλυκῶς λέγει Εὐριπίδης Πελιάσιν.

Λέπε: ἀντὶ τοῦ τύπτε. Πλάτων Ἀφιεροῦντι·

λέπει τραχεῖαν ἔχων.

Λάσανα: ἐφ' ὧν ἀποπατοῦμεν. Πλάτων Ποιητῇ. μετενήνεκται δὲ ἀπὸ τούτου καὶ ἐπὶ τοὺς μαγειρικοὺς βαύνους.

Λευκὴν ἡμέραν: τὴν ἀγαθήν. Σοφοκλῆς Ἀθάμαντι.

Λογάρια: ὑποκοριστικῶς.

λογάριά μοι λέγει,

Φαίδων Ζωπύρῳ.

Λόγον ἔχων: ἀντὶ τοῦ φροντίζειν. Θεόπομπος Φιλιππικοῖς.

Μ.

Μέθυσον οὔ φασι δεῖν λέγειν, ἀλλὰ μεθύσην τὴν γυναῖκα.

Μετάνοια: μετάμελος. Θουκυδίδης.

Μεταμελεῖν: ἀντὶ τοῦ μετανοεῖν. Θουκυδίδης τρίτῳ. μεταμέλεια.

Μνημόσυνον: Θουκυδίδης πέμπτῳ· εἴ τι μνημόσυνόν ποτε ἔμελλεν ἔσεσθαι.

Μήνυτρα:

Μομφή: ἀντὶ τοῦ μέμψις.

Μόμφιν: ἀντὶ τοῦ μέμψιν. Τηλεκλείδης.

Μόμφον: τὴν μέμψιν. Εὐριπίδης Πλεισθένει.

Μεταπέμψαι: ἀντὶ τοῦ μεταπέμψασθαι.

Μεταχειρίζειν: ἀντὶ τοῦ μεταχειρίζεσθαι. Θουκυδίδης τετάρτῳ.

Μνηστεύειν: ἀντὶ τοῦ μνηστεύεσθαι. καὶ μνήστευσιν τὴν μνηστείαν.

Μνείαν: τὴν μνήμην. Σοφοκλῆς Ἀλεξάνδρῳ.

Μειζόνως: ἀντὶ τοῦ μεῖζον. Θουκυδίδης τετάρτῳ, Πλάτων Πολιτείας τρίτῳ.

Μαχαίρας οὐ μόνον τὰς μαγειρικὰς ἐκάλουν, ἀλλὰ καὶ τὰ ξίφη. Πλάτων Φαίδρῳ.

Μὴ νόμισον; ἀντὶ τοῦ μὴ νομίσῃς. Σοφοκλῆς Πηλεῖ. καὶ μὴ ψεῦσον.

Μέτοχος: Ἀριστοφάνης Γηρυτάδῃ.

Μετοχή: Ἡρόδοτος πρώτῳ.

Μοιχίδιον: τὸ ἐκ μοιχοῦ γεγενημένον. Ὑπερείδης ἐν τῷ κατὰ Ἀριστοφῶντος.

Μικρόφωνος: Ἄλεξις Ἀταλάντῃ.

Μάχην: καὶ τὴν ἐκ λόγων διαφοράν.

Μᾶλλον μᾶλλον: ἀντὶ τοῦ ἀεὶ καὶ μᾶλλον. Ἄλεξις Πεζονίκῃ. 5

Μεῖζον μεῖζον, μικρὸν μικρόν: ἀντὶ τοῦ ἀεὶ κατὰ μικράν. Ἀντιφάνης Ἀγροίκῳ.

Μίαν μίαν: ἀντὶ τοῦ κατὰ μίαν. Σοφοκλῆς Ἐριδι.

Μετάβα: ὥσπερ καὶ ἀνάβα καὶ κατάβα. Ἄλεξις Ἀμφώτιδι. 10

Μακρὸν ποιῶ: ἀντὶ τοῦ μηκύνω. Φιλιππίδης Φιλάρχῳ.

Μήχι: ὡς ναίχι καὶ οὐχί. Εὔβουλος Δαιδάλῳ.

Μιαρόν λέγοντες, μιαρίαν οὔ φασι δεῖν λέγειν. 15

Μάλιστα ὁμοιότατος: Ἡρόδοτος πέμπτῳ.

Μόρον τὸ συκάμινον.

Μεσαμβρίσαι: ἡμέρα κοιμηθῆναι.

Μυκτῆρα: οἱ μὲν ἀξιοῦσιν οὕτως ὅλην τὴν ῥῖνα λέγεσθαι, οἱ δὲ ταύτην μὲν ῥῖνα, μυκτῆρας δὲ τὰ ἑκατέρωθεν τρήματα. 20

Μύῤῥαν: τὴν σμύρναν. Σαπφὼ δευτέρῳ.

Μάννα: τοῦ λιβάνου τὸ λεπτόν.

Μεσόκοπον: ἀῤῥενικῶς, τὸ ἐπιμέσου ἡλικίας. Κρατῖνος. 25

Μεγαλοψυχίαν οὔ φασι δεῖν λέγειν, ἀλλὰ μεγαλοφροσύνην.

Μύστακα: βραχέως. Εὔβουλος Γιτθῇ.

Μακεδόνισσαν: τὴν γυναῖκα. Στράττις Μακεδόσιν.

Μαιείαν: Πλάτων Θεαιτήτῳ. 30

Μαιεύτριαν: ἀντὶ τοῦ μαῖαν. Σοφοκλῆς Ἀλεξάνδρῳ.

Μναδάρια: ὑποκοριστικῶς τὰς μνᾶς. Δίφιλος Βαλανείῳ.

Μετὰ ταῦτα: ἀντὶ τοῦ ὕστερον. *Δημοσθένης κατὰ Λεπτίνου.*

Μυκείαν: *Λυσίας πρὸς Σοφοκλέα.*

Μεμφθῇ: ἀντὶ τοῦ μέμψηται. *Θουκυδίδης τετάρτῳ.*

N.

Νεώτερος: ἀντὶ τοῦ νέος. *Θουκυδίδης τρίτῳ.*

Νέαξ: ὁ νέος. *Νικοφῶν.*

Νουνεχόντως: *Ἰσοκράτης Ἀντιδόσει.*

Νομικόν: τὸν ἐπιστήμονα τῶν νόμων.

Νουθέτησιν: *Εὔπολις Αὐτολύκῳ.*

Νεαλής: ἀντὶ τοῦ νεωστὶ εἰς τὸ δεσμωτήριον ἀπηγμένος. *Δημοσθένης κατὰ Ἀριστογείτονος.*

Νεαρός: ἀντὶ τοῦ νέος. *Εὐριπίδης Ὑψιπύλῃ.*

Νεκρόν: τὴν γυναῖκα. *Δίφιλος.*

Νόσον ἔχειν: ἀντὶ τοῦ φαῦλον ἔθος ἔχειν. *Εὐριπίδης Ἀντιόπῃ.*

Ναυκληρεῖν: ἀντὶ τοῦ οἰκίας δεσπόζειν. *Ἄλεξις Λοκροῖς.*

Νῶτον: τὸ νῶτον οὔ φασι δεῖν λέγειν, ἀλλὰ τὰ νῶτα.

Νόσσον: χωρὶς τοῦ ε̄. *Αἰσχύλος Κήρυξιν.*

Νήθειν: οὐ μόνον νεῖν.

Νόμους: τὸ νόμισμα, οὓς οἱ *Ἰταλικοὶ νούμους καλοῦσιν.*

Ξ.

Ξυγγίνεται: ἀντὶ τοῦ μίσγεται ἡ γυνὴ τῷ ἀνδρί.

Ξεναπατᾶς: ἰδίως ἐπὶ τῶν ὅταν μὴ τοιοῦτοι πνέωσιν οἱ ἄνεμοι ἐν τοῖς πελάγεσιν, ὁποῖοι ἐν τοῖς λιμέσιν.

Ξύρεσθαί φασι λέγειν καὶ ξυρόμενον.

Ο.

Ὁμιλία: Θουκυδίδης ἕκτῳ· καὶ λόγοις ὡμίλησα τρέπουσιν, ἀντὶ τοῦ συνεγενόμην. Δημοσθένης Ἐπιστολῇ· καὶ κρῖναι τινὰ μὲν πράγματα ἐξ ὁμιλίας δύναται· καὶ νῦν ἀντὶ τοῦ ἐκ τοῦ συνεῖναι. Πλάτων Πολιτείαις τετάρτῳ. 5

Ὁμιλεῖν: τὸ συγγενέσθαι ἄνδρα γυναικί.

Ὄχλος: ἐπὶ τῆς ὀχλήσεώς φασι θετέον εἶναι, οὐκ ἐπὶ πλήθους. 10

Ὀνομαστόν οὔ φασι δεῖν λέγειν, ἀλλὰ διώνυμον. Πλάτων Θεαιτήτῳ.

Οὐχ οἷον ὁρίζομαι, οὐχ οἷον ἁλίσκω καὶ τὰ ὅμοια. σὺ δέ· πολὺ ἀπέχω τοῦ ὁρίζεσθαι.

Ὀφθαλμὸν ἐπιβάλλειν: τὸ περιέργως θεᾶσθαι. Ἄλεξις Τροφωνίῳ. 15

Ὀξίνην οἶνον: Δίφιλος Φιλαδέλφοις.

Ὁλοσχερῶς: Δίφιλος Ἐγκαλοῦσιν.

Οἰκοδομεῖν: Πλάτων Πολιτείαις.

Οἰκοδομίαν: Θουκυδίδης ἑβδόμῳ. 20

Οἰκοδόμησις: Θουκυδίδης ἑβδόμῳ.

Οὐγκίαν: τὸν σταθμόν.

Ὄζειν οὔ φασι δεῖν λέγειν, ἀλλ' ὀδωδέναι. καὶ ὀδμήν, οὐχὶ ὀσμήν.

Οὐδαμῇ: ἀντὶ τοῦ οὐδαμόθι. Τηλεκλείδης Ἡσιόδῳ. 25

Ὀξάλμην: Ἀριστοφάνης Σφηξίν.

Ὄστινα: τὰ ὀστέϊνα. Ἀριστοφάνης.

Ὁρκωμόσια: πληθυντικῶς. Πλάτων Φαίδρῳ.

Ὀψίζεσθαι: Λυσίας κατὰ Αὐτοκράτους μοιχείας· τοῖς ὀψιζομένοις ἐν ταῖς ὁδοῖς ἐπιτιθέμενοι, τὰ ἱμάτια ἀποδύονται. 30

Οἰνηρὸν κεράμιον: Ἡρόδοτος τρίτῳ.

Ὀλιγοφιλίαν: Ἀντιφῶν τρίτῳ.

Ὁλκὸς ἄνθρωπος: Πλάτων Πολιτείας πέμπτῳ. σημαίνει δὲ τὸν ἑλκυστικόν, ἐπαγωγόν.

Ὄνειρα: Ἡρόδοτος πρώτῳ ὄνειρον οὐδετέρως. Ὅμηρος ὀνείρατα.

Ὀφλισκάνειν: Εὔπολις Μακαρισμῷ. 5

Ὀξὺ ἀκούων: ἀντὶ τοῦ ὀξέως.

Ὀβολίας ἄρτους: τοὺς ὀβολοῦ πωλουμένους. Ἀριστοφάνης Πελαργοῖς.

Π. 10

Παρ' ἡμᾶς οἰκεῖ: ἀντὶ τοῦ παρ' ἡμῖν. Ἄλεξις Φιλαθηναίῳ.

Πορρώτερον καὶ πορρωτέρω: Δημοσθένης ἐν τῷ κατὰ Λεπτίνου. 15

Πρώτους: τοὺς ἀρίστους. Πλάτων Πολιτείᾳ, Ἡρόδοτος πρώτῳ.

Ποιεῖν ἀγῶνα τραγῳδῶν οὔ φασι δεῖν λέγειν, ἀλλ' ἀγωνοθετεῖν.

Πολλὰς ποιεῖν κριθάς: ἀντὶ τοῦ πολλὰς γεωργεῖν κριθάς. καὶ πολὺν οἶνον ποιεῖν. 20

Περὶ πρῶτους ὕπνους: Εὔβουλος Ἀντιόπῃ.

Πάπποι: εἰς τὰ φερόμενα μετέωρα ὅμοια πτίλοις διὰ τοῦ ἀέρος.

Προνούστερος: ἀντὶ τοῦ προνοητικώτερος. Σοφοκλῆς Αἴαντι μαστιγοφόρῳ. 25

Πληγὴν ἔχων: ἀντὶ τοῦ τετρωμένος. Ἀναξανδρίδης.

Πελαγίζειν: τὸ διὰ πελάγους πορεύεσθαι. Ὑπερείδης.

Πολιτεύειν: ἀντὶ τοῦ πολιτεύεσθαι. Θουκυδίδης τρίτῳ, Πλάτων Πολιτείας πρώτῳ. 30

Πικραίνεσθαι: Δημοσθένης Ἐπιστολῇ.

Προσθεῖναι τὰς θύρας: ἀντὶ τοῦ ἐπικλεῖσαι. Ἡρόδοτος τρίτῳ.

Πρόβατα: πάντα τὰ τετράποδα. Ἡρόδοτος τετάρτῳ.
Προσεκαύθη: ἀντὶ τοῦ ἐκάη. Ξενοφῶν Συμποσίῳ.
Παιδικόν: ἀντὶ τοῦ παιδαριῶδες. Ἄλεξις Φιλαθηναίῳ.
Παιδικά: ἀντὶ τοῦ ἐρώμενον.
Πρό: ἀντὶ τοῦ ἀντί. Φιλήμων Παγκρατιαστῇ·

δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου.

Ὅμηρος·

ἀθλεύων πρὸ ἄνακτος.

Προσέκοψεν: ἀντὶ τοῦ προσέπταισεν. Ἄλεξις Ἐπιστολῇ.
Προπέσειν: προπετῶς τι ποιῆσαι. Ὑπερείδης Ῥοδιακῷ.
Προελεῖν: ὡς ἡ συνήθεια, ἀντὶ τοῦ προενεγκεῖν.
Παραιρήματα ἱματίων: Θουκυδίδης τετάρτῳ.
Προδιδάξαι: ἀντὶ τοῦ διδάξαι. Δημοσθένης περὶ τοῦ ἐπιτριηραρχήματος.
Πανοικία: ἀντὶ τοῦ πανοικί. Φιλήμων Νόθῳ.
Παράκαιρος: ἀντὶ τοῦ ἄκαιρος. Ἐπίχαρμος Πολίταις.
Περίστασις: ὑπερβάλλουσα συμφορά.
Πελεκᾶν: εὕρηται καὶ ἐπὶ τοῦ κακεμφάτου. Ἀραρὼς Καινεῖ·

ἡ σὴ θυγάτηρ, ὅτ' ἐκεῖνος αὐτὴν ἐπελέκα.

Πελεκᾶς: τὸ ζῶον.
Πλωτικόν: τὸν συνεχῶς πλέοντα.
Πλησιασμός: ἀντὶ τοῦ μίξις.
Πτωχεύειν: οὐ τὸ ἐπαιτεῖν, ἀλλὰ τὸ πένεσθαι. Ἀντιφάνης.
Πρωτόβαθροι: ἐν ταῖς σκηναῖς οἱ πρῶτοι τῶν χορευτῶν ἑστῶτες.
Πιττάκιον εἶπε Δεινόλοχος Τηλέφῳ.
Πέπαυνται: τὸ πληθυντικόν. ὁ αὐτὸς Κωμῳδοτραγῳδίᾳ.
Περικατάληπτος γίνομαι: Φιλιππίδης Φιλευριπίδῃ.
Παραβάλλεις εἰς τὸν τόπον: ἀντὶ τοῦ φοιτᾷς συνεχῶς.

Πυξίον:

Πυξίον: ὅπου οἱ ζωγράφοι γράφουσιν. Ἀγίας Ζωγράφῳ.
Παραχορδίσαι: ἁμαρτεῖν καθαρίζοντα. Ἀριστοφάνης.

Ρ.

Ῥαβδίζειν: Φερεκράτης Δουλοδιδασκάλῳ. 5
Ῥύμην οὔ φασι δεῖν λέγειν, ἀλλὰ στενωπόν.
Ῥαχίζει: ἀντὶ τοῦ μεγάλα ψεύδεται. Δείναρχος κατὰ Δημοκλέους.
Ῥύγχος: τὸ πρόσωπον. Ἀραρώς·
ὁ γὰρ θεὸς τὸ ῥύγχος εἰς ἡμᾶς στρέφει. 10
Ῥυφῆσαι: διὰ τοῦ ῡ. Ἀριστοφάνης Πλούτῳ.
Ῥάξαι: ἀντὶ τοῦ καταβαλεῖν. Δημοσθένης κατὰ Κόνωνος αἰκίας.
Ῥαπίδα: τὴν βελόνην. Ἐπίχαρμος.

15

Σ.

Στρατόπεδον: ἀντὶ τοῦ στρατεύματος. Θουκυδίδης τετάρτῳ· τὸ στρατόπεδον ἀνεχώρησεν. Ἰσοκράτης Ἀντιδόσει· στρατόπεδον συνάγειν.
Συμπατριώτης: Ἄρχιππος. τὸ μέντοι πατριώτης 20
Ἄλεξις.
Συνήλικα: Ἀναξίλας Βοτρυλίωνι.
Σιγηλός: Νικοφῶν.
Σιωπηλός: Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι.
Στρηνιᾷν: καθ' οὗ ὁ βίος τάσσει. Δίφιλος. 25
Στρωματόδεσμον: καὶ ἀῤῥενικῶς καὶ οὐδετέρως. Ἀμειψίας.
Συνέπεσε γενέσθαι: ἀντὶ τοῦ συνέβη. Ἰσοκράτης Ἀντιδόσει.
Στρόφον: τὸν δεσμόν. Ἡρόδοτος. 30
Σεφθεῖσα: ἀντὶ τοῦ σεβασθεῖσα. Πλάτων Φαίδρῳ.
Σακκεύειν: τὸ ὑλίζειν. Ἡρόδοτος τετάρτῳ.
Συνεπαινεῖν: ἀντὶ τοῦ συγκατατίθεσθαι. Φιλιππίδης.

Συγκόψαι: ἐπὶ τοῦ πληγαῖς αἰκίσασθαι. Μεταγένης Θουριοπέρσαις.

Σπληνιᾶν: τὸ τὸν σπλῆνα ἀλγεῖν.

Συμπάσχειν: τὸ ἐλεεῖν. Ἀντιφάνης Διδύμοις.

Σωννύω: ἀντὶ τοῦ σώζω. Δεινόλοχος Μηδείᾳ.

Σφηκῶσαι: τὸ δῆσαι. Φρύνιχος Φοινίσσαις.

Στίβη: ἢ τὰ ὄμματα αἱ γυναῖκες ὑπογράφονται.

Σκώληκα: τὸ παυόμενον θαλάσσιον κῦμα καὶ ἀρχόμενον. Πλάτων Ἑλλαδίῳ.

Τ.

Τρίκλινον οὐ ἐπὶ τῶν τριῶν κλινῶν φασὶ δεῖν τάσσειν, ἀλλ' ἐπὶ τοῦ οἴκου. καὶ ἀρσενικῶς λέγοντες τρίκλινον ἁμαρτάνουσι τὸ τρίκλινον οὐδετέρως.

Τρώγειν οὔ φασι δεῖν λέγειν τὸ ἐσθίειν, ἀλλὰ τὸ τραγήματα ἐσθίειν.

Τρωγάλια: οὐ μόνον τραγήματα ἔλεγον.

Τροχάζειν οὔ φασι δεῖν λέγειν, ἀλλὰ τρέχειν.

Τραυματισθῆναι: ἀντὶ τοῦ τρωθῆναι. Θουκυδίδης ἐπ . . . . Ἡρόδοτος πρώτῳ, δευτέρῳ, τρίτῳ.

Τοιουτότροπον: Θουκυδίδης τετάρτῳ.

Τριαχθῆναι λέγουσιν οἱ παλαιστρικοὶ ἀντὶ τοῦ τρὶς πεσεῖν, ἢ τὸ τρὶς τροχάσαντα νικηθῆναι στάδιον δίαυλον.

Τροποῦσθαι κώπην: Εὔβουλος Κατακολλωμένοις.

Τρίτῳ καὶ τετάρτῳ ἔτει: ἀντὶ τοῦ πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν.

Τελεσθῆναι: τὸ ἀναλωθῆναι. Ἀντιφῶν.

Υ.

Ὕπαγε: πορεύου. Ἡρόδοτος τετάρτῳ, Ἀριστοφάνης Βατράχοις.

Ὑπερήφανον: ἀντὶ τοῦ καλὸν πάνυ. Πλάτων Γοργίᾳ.

Ὑπόθεσιν: ἀντὶ τοῦ ὑποθήκην. Μένανδρος.

Ὑπέρχολος γενόμενος: ἀντὶ τοῦ ὑπεραγανακτήσας.

Ὑδρηροὺς πίθους καὶ οἰνηρούς: Αἰσχύλος Καείραις.

Ὑπόγυος: ἀντὶ τοῦ ἐγγύς. Ἰσοκράτης περὶ τῆς ἀντιδόσεως. 5

Ὑγιηρότατος: Ἡρόδοτος δευτέρῳ.

Ὑπουργία: ἀντὶ τοῦ ὑπηρεσία. Λυσίας ἐν τῇ Σωκράτους ἀπολογίᾳ.

Ὑποπίνειν: μεθύσκεσθαι. Νικοφῶν Πανδώρᾳ. 10

Ὑπογάστριον: τὸ τάριχος.

Ὑποκροῦσαι: ἐμποδίσαι. Ἄλεξις Βοστρύχῳ.

Ὑγρόν: τὸ ἁπαλόν, ὡς τοὺς ὀρχηστὰς ὑγροὺς λέγομεν.

Ὑπόμακρον: τὸ ὑπόμηκες. Ἄλεξις.

Ὑβριστότερον: Ἡρόδοτος τρίτῳ. 15

Φ.

Φυγαδεῦσαι: τὸ φυγάδα ἐλάσαι. Θεόπομπος ἐπιτομῇ Ἡροδότου.

Φάλαγγας κωλύουσι λέγειν τὰ ξύλα, ἐφ᾽ ὧν τὰ πλοῖα νεωλκεῖται. 20

Φιλεῖν φασὶ δεῖν λέγειν τὸ κατὰ ψυχήν, καταφιλεῖν δὲ καὶ κύσαι τὸ διὰ τοῦ στόματος.

Φίλημα δοῦναι: ἀντὶ τοῦ καταφιλῆσαι. Νικοφῶν Πανδώρᾳ. 25

Φιλαδελφία καὶ φιλεταιρία: Ἄλεξις.

Φιλόγυνος: οὐ μόνον φιλογύνης. Λυσίας πρὸς Φιλοκράτην.

Φατρίζειν: τὸ εἰς τὰς φατρίας συνιέναι. Λυσίας.

Φειδωλίαν οὔ φασι δεῖν λέγειν. Πλάτων. 30

Φέρειν τὸν οἶνον: ἐπὶ τοῦ νήφειν. Διόφαντος Μετοικιζομένῳ.

Φορητός: ἀνεκτός. Δημοσθένης κατὰ Μειδίου.

Φοιτητὴν οὔ φασι δεῖν λέγειν, ἀλλὰ συμφοιτητήν.
Φιλοτραφής: ὃν ἡ συνήθεια φιλότροφον λέγει. Εὐριπίδης Αὐγῇ.

Χ.

Χρῆμα: ἀργύριον. ἀρίθμησον τὸ χρῆμα, Ἡρόδοτος.
Χέρσα: τὰ μὴ γεωργούμενα. Αἰσχύλος Προμηθεῖ.
Χολᾶν: τὸ ὀργίζεσθαι. Ἀντιφάνης.
Χρωματίζειν: Πλάτων Πολιτείᾳ.
Χαλκίζειν: ἀντὶ τοῦ χαλκῷ κυβεύειν. Ἄλεξις.
Χρήσασθαι: ἀντὶ τοῦ δανείσασθαι. Ἀντιφάνης.
Χρῆται καλῶς τῷ σκέλει: ἐπὶ τῶν παγκρατιαστῶν.
Χρονίσαι: τὸ βραδῦναι. Εὐριπίδης Ἡρακλεῖ.

Ψ.

Ψυχαγωγεῖν: τὸ τέρπειν, οὐ μόνον ἐπὶ τοῦ ἐξαπατῶντα πιπράσκειν. Πλάτων Φαίδρῳ.
Ψελλός: Αἰσχύλος Προμηθεῖ. τέθεικε δὲ τὴν λέξιν ἐπὶ τοῦ σαφῶς μὴ εἰρημένου.
Ψυχρὸς ἄνθρωπος: ἀντὶ τοῦ δυσκίνητος.
Ψήφισμα ἔθηκεν: ἀντὶ τοῦ ἔγραψε. Κρατῖνος Ὥραις, Πλάτων Ποιητῇ.
Ψωμοκόλακες: Φιλιππίδης Ἀνανευούσῃ.
Ψαφαρόν: τὸ ἁπαλόν. Πλάτων Ποιητῇ.
Ψέκτης: ὁ πάντα ψέγων. Πλάτων Πολιτείᾳ.
Ψέλια: τὰ τοῖς πήχεσιν, οὐ μόνον στρεπτά. Φρύνιχος.

Ω.

Ὧδε: ἀντὶ τοῦ ἐνθάδε. Πλάτων Γοργίᾳ.
Ὡραΐζεσθαι: Κρατῖνος Ὥραις.
Ὠιδικός: ἀντὶ τοῦ εὖ ᾄδων.
Ὠτοκάταξιν: τὸν συντετριμμένον τὸ οὖς. Ἀριστοφάνης Βαβυλωνίοις.

ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ,

ΠΟΙΑ ΤΩΝ ΡΗΜΑΤΩΝ

ΓΕΝΙΚΗΙ ΚΑΙ ΔΟΤΙΚΗΙ ΚΑΙ ΑΙΤΙΑΤΙΚΗΙ
ΣΥΝΤΑΣΣΟΝΤΑΙ.

Ἀντιλαμβάνομαι: γενικῇ. Δημοσθένης ἐν πρώτῳ τῶν Ὀλυνθιακῶν· „καὶ ἕως μὲν καιρός, ἀντιλάβεσθε „τῶν πραγμάτων."

Ἀπαιτῶ: αἰτιατικῇ. τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ λόγῳ. „ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι." 5

Ἀποστερῶ: γενικῇ. ὁμοίως τοῦ αὐτοῦ λόγου· „εἰ δὲ „τούτων ἀποστερηθῇ τῶν χρημάτων." ἀλλὰ καὶ πρὸς αἰτιατικήν. κατὰ Φιλίππου· „πρῶτον ὅτι ἐχθρὸς ἄν- „θρωπος, καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ." καὶ κατὰ Ἀφόβου· „τὰ μὲν ἄλλα πάντα ἀπεστερήκασιν." 10

Αἱρεῖσθαι: ἀντὶ τοῦ προτιμᾶσθαι, αἰτιατικῇ. Ὀλυν- θιακῷ τρίτῳ· „ἀλλὰ δικαίου πολίτου κρίνων τὴν τῶν „πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος „αἱρεῖσθαι."

Αἰσχύνομαι: κατὰ περιποίησιν, δοτικῇ. „δοκεῖ δέ μοι 15 „θεῶν τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ „τῆς πόλεως αἰσχυνόμενος, τὴν φιλοπραγμοσύνην ταύ- „την ἐμβάλλειν Φιλίππῳ."

Ἀπέγνων: γενικῇ. κατὰ Φιλίππου, πρώτῳ· „εἴπερ μὴ „παντάπασιν αὐτῶν ἀπεγνώκατε." αἰτιατικῇ δὲ Δίων 20 ἐν πεντεκαιδεκάτῳ βιβλίῳ· „μὴ οἱ Συρακούσιοι νεω- „τερίσωσί τι, τὴν βοήθειαν ἀπογνόντες."

Ἀμνημονῶ: αἰτιατικῇ. κατὰ Φιλίππου δευτέρῳ· „οὐ- „δὲ ἀμνημονεῖ τοὺς λόγους καὶ τὰς ὑποσχέσεις, ἐφ' αἷς „τῆς εἰρήνης ἔτυχε." Δίων δὲ γενικῇ· „ὥστε ἐκείνων 25 „μὲν ἀμνημονῶμεν."

Αἰτιῶμαι: αἰτιατικῇ. τρίτῳ κατὰ Φιλίππου· „ἕτεροι

„δὲ τοὺς ἐπὶ τῶν πραγμάτων ὄντας αἰτιώμενοι καὶ „διαβάλλοντες οὐδὲν ἄλλο ποιοῦσιν." ἐν δὲ τῇ ἐπιστολῇ Φιλίππου δοτικῇ· „ὑπὲρ ὧν αἰτιώμεθα ἀλλήλοις." τοῦτο δὲ ἀντὶ τοῦ ἐγκαλοῦμεν.

Ἀφίσταμαι: γενικῇ. κατὰ Φιλίππου· „οὐδέν ἐστιν, „ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων δυςκολώτερον εἰς τὸ „παρόν, ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς ἀφεστήκατε τῶν „πραγμάτων." 5

Ἀντιποιοῦμαι: γενικῇ. ἐν τῇ ἐπιστολῇ Φιλίππου· „ὑπὲρ ἧς ἀντιποιουμένων αὐτῆς οἶμαι πολὺ δικαιό- „τερον." 10

Ἀμφισβητῶ: γενικῇ. ἐν τῷ αὐτῷ λόγῳ· „τρίτον συγ- „χωρηθείσης ὑφ' ὑμῶν τῶν εἰθισμένων ἀμφισβητεῖν „καὶ οὐθὲν ὑμῖν προςηκόντων." Λυσίας ἐν τῷ πρὸς Διογένην περὶ χωρίου· „ἀμφισβητεῖν δὲ τοῖς ὀρφανοῖς „ὧν αὐτοῖς οἱ πατέρες κατέλιπον." 15

Ἀποδίδωμι: τὸ πιπράσκω, γενικῇ. ἐκ τοῦ τῆς παρω- πρεσβείας· „ὁ δέ, ὧν τὰ τῆς πόλεως πράγματα χρη- „μάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζεν." καὶ Ἀπ- πιανὸς δευτέρῳ· „ἀπέδοτο εὐτελεστάτης τιμῆς." 20

Ἀπορῶ: γενικῇ. ἐκ τοῦ τέλους τοῦ πρὸς Λεπτίνην· „κἂν ἄρα ἔλθῃ ποτὲ καιρός, οὐκ ἀπορήσετε τῶν ἐθε- „λησόντων ὑπὲρ ὑμῶν κινδυνεύειν."

Ἄρχω: γενικῇ. ἐν τρίτῳ βιβλίῳ Δίωνος· „οὔ γε καὶ ὁ „πατὴρ ἀμέμπτως ὑμῶν ἦρξεν." Ἀππιανὸς δὲ δοτικῇ· 25 „διεχρήσατο Νέρων, ὅτε ἦρχε Ῥωμαίοις," ὡς καὶ παρ' Ὁμήρῳ·

ἄρχευ Ἀργείοισιν.

Ἀπειλῶ: δοτικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „σὺ δὲ ἀπει- „λεῖς πᾶσι." καὶ παρ' Ὁμήρῳ· 30

. . . . . οὐδ' Ἀγαμέμνων
λῆγ' ἔριδος, τὴν πρῶτος ἐπηπείλησ' Ἀχιλῆϊ.

Ἀποδέχομαι: γενικῇ. περὶ τῶν πρὸς Ἀλέξανδρον συν-

θηκῶν· „ἄξιον ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, „σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακε- „λευομένων ἐμμένειν." Ἰσοκράτης πρὸς Δημόνικον αἰτιατικῇ· „μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον „μετὰ θράσους ἀποδέχου." 5

Ἀφαιρῶ: αἰτιατικῇ. περὶ τῶν πρὸς Ἀλέξανδρον συν- θηκῶν· „ὃ παρ' ἐλάχιστον ἐποίησεν αὐτοὺς ἀφαιρε- „θῆναι δικαίως τὴν κατὰ θάλατταν ἡγεμονίαν."

Ἀνθίσταμαι: δοτικῇ. περὶ τοῦ στεφάνου· „καὶ διὰ „τοὺς πολλοὺς τούτων καὶ τοὺς ἀνθισταμένους τοῖς 10 „ὑμετέροις βουλήμασιν ὑμεῖς ἐστὲ σῶοι καὶ ἔμμισθοι."

Ἀναμνήσω: αἰτιατικῇ. ἐν τῷ αὐτῷ λόγῳ· „ἃ δ' ἀφ' ἧς „ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγώ, διεκωλύθη, ταῦτα „ἀναμνήσω."

Ἀπελαύνω: αἰτιατικῇ. ἐν τῷ αὐτῷ λόγῳ· „οὗς ἡ μὲν 15 „πόλις, ὡς ἐχθροὺς καὶ οὔτε δίκαια οὔτε συμφέροντα „λέγοντας, ἀπήλασεν."

Ἀνέχομαι: αἰτιατικῇ. ἐκ τοῦ περὶ στεφάνου· „εἰ ἐγὼ „μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς „δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε." καὶ ὁ δῆμος 20 „ἀνέξεταί μου τοῦ σώματος."

Ἀδικῶ: αἰτιατικῇ. ἐκ τοῦ περὶ στεφάνου· „ἐάν τις „ἠδικηκώς τι τυγχάνῃ τὴν πόλιν."

Ἀπιστῶ: δοτικῇ. ἐκ τοῦ αὐτοῦ λόγου· „τούτου μεμνῆ- „σθαι καὶ ἀπιστεῖν αὐτοῖς." καὶ Ἰσοκράτης ἐν τῷ 25 τῆς Ἑλένης ἐγκωμίῳ· „ἀπιστοῦντας τοῖς οἰκειοτάτοις."

Ἀποτυχεῖν: γενικῇ. ἐκ τοῦ περὶ στεφάνου· „νῦν μὲν „ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν „ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ."

Ἀγάζω: γενικῇ. ἐκ τοῦ αὐτοῦ· „τίς γὰρ οὐκ ἂν ἀγά- 30 „σαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς." καὶ αἰτιατι- κῇ. Ἰσοκράτης· „οἶμαι δὲ καὶ τὸν πόλεμον θεῶν

„τινὰ συναγαγεῖν, ἀγασθέντα τὴν ἀρετὴν αὐτήν." καὶ Ὅμηρος ἐν τῇ τρίτῃ·

τὸν δ' ὁ γέρων ἠγάσσατο.

Ἀπατῶ καὶ ἐξαπατῶ: αἰτιατικῇ. ἐκ τοῦ περὶ στεφάνου· „οὐδ' εἰ δεκάκις Φίλιππος αὐτοὺς ἐξηπάτα."

Αἰτῶ: αἰτιατικῇ. ἐκ τοῦ παραπρεσβείας· „ταύτας αἰτῶ „σε καὶ δέομαι δός μοι." Λυσίας δὲ γενικῇ· „εἴ τις „ἄλλος βούλεται, αἰτείσθω ὑμῶν."

Ἀνταλλάττομαι: αἰτιατικῇ τὸ προδιδόμενον, καὶ γενικῇ τὸ οὗ τινὸς χάριν. „καὶ οὐκ ἀνταλλακτέον εἶ- „καί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν οὐδενὸς κέρδους."

Ἀκούω: αἰτιατικῇ. ἐκ τοῦ παραπρεσβείας· „ὅμως δὲ ὅτι „καὶ τόδε ἀκούσατε." καὶ κατὰ Ἀριστοκράτους· „καὶ „μετ' εὐνοίας ἀκούσατε ἃ λέγω." γενικῇ δὲ ἐπὶ τοῦ συνιέναι. κατὰ Τιμοκράτους· „καίτοι πῶς οὐ δεινὸν „εἰδότα μὲν τοὺς νόμους, ὧν ὀλίγῳ πρότερον πάντες „ἠκούσατε."

Ἀφελοῦμαι: αἰτιατικῇ. ἐκ τοῦ πρὸς Λεπτίνην· „εἰ „γὰρ ἀπεχθάνεσθαί τισι δεῖ, τοῖς ἀδικοῦσι τὸν δῆ- „μον, οὐ τοῖς ἀγαθόν τι ποιοῦσιν ἔγωγε νομίζω δεῖν."

Ἀφαρπάζω: αἰτιατικῇ. κατὰ Μειδίου· „καὶ Χαβρίαν „οὔτε τύπτοντα οὔτε ἀφαρπάζοντα τὸν στέφανον."

Αἴσθομαι: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „ὅλη „γὰρ ἡ πόλις τὴν ἀντίδοσιν καὶ τὴν ἐπιβουλὴν τότε „ταύτην καὶ τὴν ἀσέλγειαν ᾔσθετο."

Ἀποψηφίζω: γενικῇ, ἀντὶ τοῦ τὴν κατὰ σοῦ ψῆφον ἀναιρῶ. ἐκ τοῦ κατὰ Μειδίου· „ἀλλὰ νομίζεις ἡμᾶς „ἀνέξεσθαί σου, αὐτὸς δὲ τυπτήσειν; καὶ ἡμᾶς μὲν „ἀποψηφιεῖσθαί σου, σὺ δὲ οὐ παύσεσθαι;"

Ἀπεχειροτόνησαν: ἀντὶ τοῦ ἀπεψήφισαν, γενικῇ. κατὰ Μειδίου· „καὶ γὰρ εἰ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, „τότε ὅτ' ἦν ἡ προβολή, τὰ πεπραγμένα ὁ δῆμος

„ἀκούσας ἀπεχειροτόνησε Μειδίαν, οὐκ ἂν ὁμοίως ἦν „δεινόν."

Ἀπολαύω: αἰτιατικῇ. κατὰ Ἀριστοκράτους· „ὑμεῖς δὲ „οὐδ' ὁτιοῦν ἀπολαύετε, ἀλλὰ μάρτυρές ἐστε τῶν ἑτέ- „ρων ἀγαθῶν, οὐδενὸς ἄλλου μετέχοντες ἢ τοῦ ἐξα- 5 „πατᾶσθαι." Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ γενικῇ· „ἵνα οἱ τῶν συμφορῶν κοινωνήσαντες οὗτοι καὶ τῶν „ἀγαθῶν ἀπολαύσωσιν."

Ἀπέχω: γενικῇ. κατὰ Ἀνδροτίωνος· „οἶμαι τοίνυν αὐ- „τὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων." 10

Ἁλῶ: γενικῇ. κατὰ Τιμοκράτους· „ἐὰν δέ τις ἀπα- „χθῇ, τῶν γονέων κακώσεως ἡλωκὼς ἢ ἀστρατείας." καὶ πάλιν· „ἐὰν δέ τις ἁλῷ κλοπῆς, καὶ μὴ τιμηθῇ „θανάτου."

Ἀμελῶ: γενικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „ὅτι τοῦ 15 „μὲν δήμου ἠδικημένου ἠμέλησεν."

Ἀφέμενον: γενικῇ Ἰσοκράτης. ἐκ τοῦ πρὸς Νικοκλέα· „χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων" ἤγουν ἀναχωρήσαντα.

Αἴτιος γέγονεν ἢ ἐστί: δοτικῇ. ἐκ τοῦ κατὰ Τιμο- 20 κράτους· „οὐδ' ἂν αὐτὸν οἶμαι Τιμοκράτην εἰπεῖν, „ὡς αἴτιός ἐστιν ἄλλος τις αὐτῷ πλὴν αὐτὸς αὐτῷ."

Ἀγωνίσωνται: γενικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „ἕως ἂν τῶν ψευδομαρτυριῶν ἀγωνίσωνται."

Ἀπιστῶ: δοτικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „ἔδοξε 25 „γὰρ τῇ πολιτείᾳ ἀπιστεῖν αὐτοῖς."

Ἀποδοκιμάζω: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Ἀριστογείτο- νος· „ἀλλ' ὅτι τῆν ἀρχήν, ἣν ἔλαχεν, ἀπεδοκιμάσατε."

Ἀπαγορεύω: δοτικῇ. ἐκ τοῦ κατὰ Νεαίρας· „ἀλλὰ „μόναις ταύταις ἀπαγορεύουσιν οἱ νόμοι ταῖς γυναι- 30 „ξὶ μὴ εἰσιέναι εἰς τὰ ἱερά."

Ἀνταίρω: δοτικῇ. Δίωνος ἑβδόμῳ βιβλίῳ· „κουλανοὶ „δὲ χεῖρας μὲν οὐκ ἀντήραντο αὐτῷ."

Ἀφροντιστῶ: γενικῇ. Δίωνος ὀγδόῳ βιβλίῳ· „ἦν γὰρ „καὶ πάνυ αὐτὸς ἑαυτῷ πρὸς πάντα τὰ τοιαῦτα ἀρ- „πῶν."

Ἀλλοτρισοῦμαι: γενικῇ. Δίωνος δωδεκάτῳ βιβλίῳ· „ἐκεῖνος μὲν γὰρ ἀπαλλοτριωθῆναι ὑμῶν τρόπον τι- „νὰ ἠδυνήθη."

Ἀντεπεξελθεῖν: δοτικῇ. Δίωνος ἐννεακαιδεκάτῳ βι- βλίῳ· „καὶ τούς τε ἀντεπεξελθόντας οἱ ἀνέκοψαν."

Ἀπογινώσκω: αἰτιατικῇ. Δίωνος εἰκοστῷ πρώτῳ βι- βλίῳ· „ὅ τε Φαμέας ἀπογνοὺς τὰ τῶν Καρχηδονίων „πράγματα." ὁ δὲ Ἀππιανὸς ἐν τῇ Ἀννιβαϊκῇ διχῶς, αἰτιατικῇ μέν, „ἀπογνοὺς ἅπαντα," πρὸ δὲ ἑκατὸν στίχων γενικῇ, „ἀπογνοὺς οὖν ἑαυτοῦ Ἀννίβας."

Ἀναλέγω: τὸ ἀναγινώσκω, αἰτιατικῇ. Δίωνος ἐν τρια- κοστῷ ἑβδόμῳ βιβλίῳ· „καὶ τοῦ Νέπωτος τὸ γραμ- „ματεῖον, ὅπως αὐτὸς ἀναλέξῃ, λαβόντος ἐξήρπασεν."

Ἀπόχρη: ἀρκεῖ, δοτικῇ. Δίωνος· „οὐκ ἀπέχρησεν αὐ- „τῷ τοῦτο, ἀλλὰ καὶ ἐμὲ ἐλθεῖν πρὸς αὐτὸν ἐκέλευ- „σεν."

Ἀφικνοῦμαι: Δίωνος τριακοστῷ ἑνάτῳ βιβλίῳ γενι- κῇ· „διάλιπὼν δέ, καὶ ἐς ἀναλογισμὸν τῆς τε ἑαυτοῦ „ἀρετῆς καὶ τῆς τῶν ἐναντίων κακίας ἀφικνούμενος."

Ἀπείργω: γενικῇ. Δίωνος τεσσαρακοστῷ πρώτῳ βι- βλίῳ· „τὰ ἀμείνω διδάσκειν καὶ τῶν χειρόνων ἀπείρ- „γειν."

Ἀντιπολεμῶ: δοτικῇ. Δίωνος τεσσαρακοστῷ τετάρτῳ βιβλίῳ· „καὶ ἀπ' ἀρχῆς ἀντιπολεμήσαντι τῷ Καί- „σαρι."

Ἀπεχρήσαντο ἢ ἀνεχρήσαντο — διφορεῖται γάρ — αἰτιατικῇ. Δίωνος τεσσαρακοστῷ ὀγδόῳ βιβλίῳ· „ὁ μὲν οὖν Βροῦτος ὅ τε Κάσσιος οὕτως ἀπώλοντο „τοῖς ξίφεσιν, οἷς τὸν Καίσαρα ἀνεχρήσαντο." τὸ δὲ ἀκριβὲς ἀπεχρήσαντο θέλει, καθὼς αὐτὸς ὁ

Δίων μετά τινα ἔφη· „αὐτόν τε ἐκεῖνον παρ' ὀλίγον „ἦλθον ἀποχρήσασθαι."

Ἁμαρτεῖν: πρὸς αἰτιατικήν. Δίωνος πεντηκοστῷ δευτέρῳ βιβλίῳ· „ὡς ἄν γέ τις, τοῦτ' εὐλαβούμενος, „ἀνωμάλως αὐτὰ διανέμειν ἐθελήσῃ, τὸ σύμπαν 5 „ἁμαρτήσεται." καὶ ἐν τῷ αὐτῷ γενικῇ· „εἰ ἄξιον „τῆς διὰ ταῦτα σπουδῆς τὴν τυραννίδα νομίζει, τοῦ „παντὸς ἁμαρτήσει."

Ἀρέσκω: δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „ἀναστὰς ὁ „βουλόμενος, καὶ παρελθὼν εἰς ὑμᾶς, ἀποφηνάσθω 10 „μὴ μετέχειν μηδὲ ἀρέσκειν αὐτῷ τὰ ὑπὸ Φιλοκρά„τους πεπραγμένα."

Ἁρμόττω: δοτικῇ. „καὶ τοῖς χρημάτων δεομένοις καὶ „τοῖς ἀπολαύειν τῶν ὑπαρχόντων ἐπιθυμοῦσιν ἀμφο„τέροις ἁρμόττει." 15

Ἀμύνω καὶ ἐπαμύνω: ἤτοι βοηθῶ ἢ ἐκδικῶ, δοτικῇ· ἀμύνομαι δὲ τὸ τιμωροῦμαι αἰτιατικῇ. τοῦ μὲν πρώτου Ἰσοκράτους ἐν τῷ Πανηγυρικῷ· „καὶ τοῖς „ἀδικουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν." καὶ ἐν τῷ Ἀρεοπαγιτικῷ· „ἀλλ' ὑπολαμβάνοντες αἰσχύνην 20 „αὐτοῖς εἶναι τῶν πολιτῶν ἀπορίαν, ἐπήμυνον ταῖς „ἐνδείαις." τοῦ δὲ δευτέρου Πορφύριος· „προστρίψα„σθαι μύσος καὶ ἀμύνασθαι τὸν ἠδικηκότα."

Ἀπορῶ: γενικῇ. Ἰσοκράτης ἐν τῷ Ἀρεοπαγιτικῷ· „τοὺς δέ, ἢν ἀπορήσωσι τῶν ἐπαρκούντων." 25

Ἀκρωτηριάζομαι: Προκοπίου ἐκ τῆς μονῳδίας . . Ἀντιόχου αἰτιατικῇ· „εἰ δὲ πόλιν σμικρὰν ἐπὶ σκηνῆς „πορθουμένην ἐδάκρυσαν, τί ποτε ἄρα ἠκρωτηρια„σμένος τῆς οἰκουμένης ὅ τι δὴ τάχα κεφάλαιον."

Ἀντέχω: δοτικῇ, ἀντὶ τοῦ αὐταρκῶ. Θουκυδίδης δεύ- 30 τέρῳ· „τὸ δὲ σῶμα, ὅσον περ χρόνον καὶ ἡ νόσος „ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε παρὰ δόξαν „τῇ ταλαιπωρίᾳ."

Ἀνθησσῶ: Θουκυδίδης τετάρτῳ δοτικῇ· „πεφύκασί τε „τοῖς μὲν ἑκοῦσιν ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδο- „νῆς."

Ἀντιβολῶ: αἰτιατικῇ. Δημοσθένης κατὰ Μειδίου· „ὑμεῖς τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε παρε- 5 „στάναι καὶ τὸν ὅρκον, ὃν ὀμωμόκατε, τούτοις ἀξι- „οῦντα καὶ ἀντιβολοῦντα ἕκαστον ὑμῶν."

Ἀγχιστεύω: γενικῇ. τοῦ Δευτερονομίου κεφαλαίῳ πεν- τηκοστῷ· „καὶ παραδώσουσιν αὐτὸν εἰς χεῖρας τῶν „ἀγχιστευόντων τοῦ σώματος." 10

Ἄν: τοῦτον τὸν σύνδεσμον οἱ τεχνικοὶ δυνητικὸν προς- αγορεύουσι· σημαίνει γὰρ πρᾶγμα μὴ γενόμενον, δυ- νηθὲν δὲ γενέσθαι, εἰ μή τι συμβὰν ἐκώλυεν, οἷον „εἰ μὴ τὴν Ἑλένην Ἀλέξανδρος ἥρπασεν, οὐκ ἂν Τροία „ἀπώλετο." ἠδύνατό φησι μὴ ἀπολέσθαι Τροία, εἰ μὴ 15 τῆς ἀπωλείας τὴν αἰτίαν παρέσχε, τὴν Ἑλένην ἁρπά- ξας, Ἀλέξανδρος.

Πέντε τοίνυν ἐγκλίσεων οὐσῶν, μετὰ προστακτι- κοῦ ῥήματος οὐ συντάσσεται· οὐδεὶς γὰρ λέγει ἀνά- γνωθι ἄν. ταῖς μέντοι ἄλλαις πάσαις συντάσσεται. 20

Ἐξ οὖν ὑπαρχόντων χρόνων, ἐνεστῶτος, παρατα- τικοῦ, παρακειμένου καὶ ὑπερσυντελικοῦ, ἀορίστου, μέλλοντος, ἐνεστῶτι καὶ παρακειμένῳ καὶ μέλλοντι οὐ συντάσσεται, τοῖς μέντοι τρισὶ τοῖς λοιποῖς παρὰ πᾶ- σι τοῖς σοφοῖς εὑρίσκεται. Καὶ μετὰ παρατατικοῦ μὲν 25 Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου· „ἔγραφον δ' ἂν „διαῤῥήδην, ἡλίκα ὑμᾶς εὖ ποιήσω." καὶ ἐν τῷ περὶ τοῦ στεφάνου· „εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κα- „τηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβου- „λεύματος εὐθὺς ἂν ἀπελογούμην." Μετὰ δὲ ὑπερσυν- 30 τελικοῦ ἐν τῷ περὶ στεφάνου πάλιν· „ὥστε τῆς εἰρή- „νης ἂν διημαρτήκει." καὶ πάλιν· „ἐπεὶ διά γε ὑμᾶς „αὐτοὺς πάλαι ἂν ἀπωλώλειτε." καὶ πάλιν· „ὅτι τῶν

„ἀδικημάτων ἂν ἐμέμνητο τῶν ἑαυτοῦ." καὶ πάλιν ἐν τῷ αὐτῷ· „καὶ εἰ μὴ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, τὸ „πρᾶγμα αἰσθομένη, ἐπεζήτησε τὸν ἄνθρωπον, ἐξήρ- „πάστο ἂν ὁ τοιοῦτος." Μετὰ δὲ ἀορίστου Δημοσθένης ἐν τῷ αὐτῷ πάλιν· „οὐ γὰρ ἂν ἥψατο αὐτῶν, παρ- 5 „όντων ἡμῶν." καὶ πάλιν· „καὶ μὴν ὅτι πολλὰ μὲν „ἂν χρήματα ἔδωκε Φιλιστίδης." καὶ πάλιν· „ἀλλ' ὁ „μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων „οὐκ ἂν ἔγραψεν."

Ἐπεὶ τοίνυν κατὰ δύο χρόνους εἰσὶ τὰ ἀπαρέμ- 10 φατα συμπεπλεγμένα, πλὴν τοῦ ἀορίστου καὶ μέλλοντος, πᾶσιν ὁ ἄν σύνδεσμος σύντασσεται, τῷ μὲν ἐνεστῶτι διὰ τὸν παρατατικόν, τῷ δὲ παρακειμένῳ διὰ τὸν ὑπερσυντελικόν, τῷ δὲ ἀορίστῳ μονωτάτῳ. Καὶ ἐνεστῶτι μὲν ἐν τῷ περὶ τοῦ στεφάνου Δημοσθένης· 15 „τί ποιεῖν ἂν ἢ τί λέγειν τοὺς ἀσεβεῖς τούτους ἀν- „θρώπους οἴεσθε;" παρακειμένῳ καὶ ὑπερσυντελικῷ Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως· „ἐκείνως ὑμᾶς „ἡγοῦμαι τάχιστα ἂν ἀφεῖσθαι." ἀορίστῳ Δημοσθένης Ὀλυνθιακῷ πρώτῳ· „ἀντὶ πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, 20 „χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω." καὶ ὑποκατιών· „ἀλλὰ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν „δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰ- „πεῖν." Μέλλοντι ὁ μὲν τῶν γραμματικῶν κανὼν οὐκ ἐπιτρέπει, παρὰ τοῖς ἀρχαίοις δὲ οὐκ ὀλίγα παραδεί- 25 γματα εὑρίσκεται. Δημοσθένης πέμπτῳ Φιλιππικῶν· „οὐδὲν ἂν τούτων ἡμῖν οἴομαι πολεμήσειν." καὶ ἐν τῷ πρὸς Λεπτίνην· „οὐκοῦν πρὸς πολλοῖς οἷς βλάψειν „ἂν ὑμᾶς ὁ νόμος φαίνεται." καὶ ἐν πρώτῳ τῶν Φι- λιππικῶν· „ὡς μηδ' ὁτιοῦν ἂν δεινὸν πείσεσθαι." 30 Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως· „ἡγούμενος ἐκ „τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστα „ἂν ὠφελήσειν, καὶ τὸν τρόπον τὸν ἐμαυτοῦ δηλώσειν."

Εὐκτικοῖς ἐνεστῶσι καὶ παρατατικοῖς ἐν τῷ περὶ τοῦ στεφάνου· „εἰπὲ τὸν εἰπόντα, δεῖξον· ἀλλ' οὐκ „ἂν ἔχοις." παρακειμένοις καὶ ὑπερσυντελικοῖς Σοφοκλῆς Φθιώτισιν·

. . . . ἡ πατροκτόνος δίκη 5
κέκλητ' ἂν αὐτῷ.

ἀορίστῳ ἐν τῷ περὶ στεφάνου· „ἀλλὰ γὰρ παρεὶς, ὧν „τὴν πενίαν αἰτιάσαιτο ἄν τις."

Ὑποτακτικοῖς δὲ ἐνεστῶτι καὶ παρατατικῷ Ἰσοκράτης ἐν τῷ πρὸς Νικοκλέα· „πιστοὺς ἡγοῦ μὴ τοὺς 10 „ἅπαντα, ὅ τι ἂν ποιῇς ἢ λέγῃς, ἐπαινοῦντας." παρακειμένῳ καὶ ὑπερσυντελικῷ Ἰσοκράτης ἐν τῷ πρὸς Εὐθύνουν· „καὶ τούτοις ἐγκαλοῦσιν, οἷς ἂν μήτε αἰσχύ„νωνται μήτε δεδίωσιν." ἀορίστῳ καὶ μέλλοντι, ἐν τῷ περὶ στεφάνου· „τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου 15 „ἂν ῥηθῇ." ἐν τῷ αὐτῷ· „ὡς ἂν ὁ δαίμων βουληθῇ."

Μετοχῇ, ἐνεστῶτι καὶ παρατατικῷ Δημοσθένης ἐν τῷ πρὸς Εὔβουλον· „εἰ τῶν λαμβανόντων δίκην „ὄντες δικαίως ἂν μεθ' ὑμῶν, ἐν τοῖς διδοῦσι γενοί„μεθα." παρακειμένου καὶ ὑπερσυντελικοῦ παράδει- 20 γμα οὐχ εὗρον. ἀορίστου δέ· „ἐγὼ δὲ τίνων εἰμί; τῶν „ἡδέως μὲν ἂν ἐλεγχθέντων, ἡδέως δ' ἂν ἐξελεγξάν„των," Πλάτων Γοργίᾳ. μετὰ μέλλοντος Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως· „οὐχ ὡς οὐχ ἡδέως ἄν τινών „μου καταψευσομένων." 25

Σημειωτέον δὲ ὅτι καὶ δὶς καὶ τρὶς χρῶνται αὐτῷ ἐν μιᾷ συντάξει, ὡς παρὰ Σοφοκλεῖ εὕρηται:

. . . πῶς ἂν οὐκ ἂν ἐν δίκῃ
θάνοιμ' ἄν.

σὺ δὲ μὴ δὶς αὐτῷ χρῶ, ἀλλ' ἅπαξ ἐν μιᾷ συντάξει. 30 Δημοσθένης πάλιν κατὰ Ἀφόβου πρώτῳ· „οὐκ ἂν δή „που τὰ μὲν πλεῖστα τῶν χρημάτων ἐνεχείρισε, τῶν δὲ „οὐκ ἂν κυρίους ἐποίησεν."

Δεῖ

Δεῖ δὲ γινώσκειν ὅτι ἐν τοῖς εὐντικοῖς τοῖς τοιούτοις πολλάκις ἐλλείπει ὁ ἄν. Δημοσθένης ἐν τῷ περὶ στεφάνου· „νομίζων, ὅσα τῆς πόλεως προλάβοι." καὶ πάλιν· „ὅπως μὴ ἄπιμεν ἐκ Μακεδονίας, ἕως τὰ τῆς „στρατείας τῆς ἐπὶ Φωκέας εὐτρεπῆ ποιήσαιτο." καὶ πάλιν· „ἐγὼ μὲν προὔλεγον καὶ διεμαρτυρούμην, καὶ „παρ' ὑμῖν ἀεί, καὶ ὅποι πεμφθείην." καὶ πάλιν ἐν τῷ αὐτῷ· „πᾶν ὅ τι βουληθείη μέρος ἡ τύχη τοῦ „σώματος παρελέσθαι." Λείπει δὲ καὶ ἐν ὑποτακτικοῖς·

εἴ τις δ' ὑμῶν κάλλει προκριθῇ.

καὶ πάλιν·

πρὶν παροῦσα διδάσκῃ,

Κρατῖνος Δηλιάσιν.

Ἀιπολῶ: δοτικῇ. Λυσίας ἐν τῇ ὑπὲρ Δεξιοῦ ἀπολογίᾳ· „καθίστησιν αὐτὸν ἐπὶ τὰς αἶγας, καὶ ἠπόλει „αὐταῖς."

Ἀντιδικῶ: δοτικῇ. Λυσίας ἐν τῷ αὐτῷ λόγῳ· „ἐχρῆν „τὸν Κλειτοφῶντα καὶ τοὺς ἀντιδικοῦντας αὐτῷ."

Ἀποκείρομαι: οὗ μὲν χάριν, δοτικῇ, ἡ δὲ ὕλη αἰτιατικῇ. Λυσίας ἐν τῷ ἐπιταφίῳ· „ὥςτε ἄξιον ἦν ἐν „τῷδε τῷ τάφῳ ἀποκείρασθαι τῇ Ἑλλάδι."

Ἀγαπῶ: δοτικῇ. Λυσίας ἐν τῷ ἐπιταφίῳ· „ὁ γὰρ τῆς „Ἀσίας βασιλεύς, οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγα„θοῖς." καὶ πρὸς αἰτιατικήν.

Ἀμελητέα: γενικῇ τὸ πρᾶγμα, τὸ δὲ πρόςωπον δοτικῇ. Ἀδριανὸς ἐν τῷ πρώτῳ τῶν περὶ Ἀλεξάνδρου· „ἦσαν μὲν νεωστὶ πρὸ τῆς στρατείας γεγαμηκότες, „καὶ τούτων ἔγνω οὐκ ἀμελητέα οἱ εἶναι Ἀλέξανδρος." καὶ Ἀππιανός· „ἀλλήλων ἠμέλουν."

Ἀφικόμην: γενικῇ. Πολυαίνου Μέμνων· „τὰ μὲν οὖν „ἄνω πάντα διεξῆλθον, τὰ δὲ κάτω οὐκ ἀφικόμην „τῆς θέας."

Ἀπαγορεύω: δοτικῇ. τοῦ αὐτοῦ· „ἐγὼ μὲν ἀπαγορεύω „τῷ πόνῳ."

Ἀποκέχρημαι: δοτικῇ. τοῦ ἁγίου Διονυσίου ἐκ τοῦ μυστηρίου συνάξεως εἴτε οὖν κοινωνίας· „τῶν δὲ „ἀφειδῶς αὐτῇ κατὰ τὸ οἰκεῖον ἀνηλεὶς ἀποκεχρημέ„νων." καὶ μετά τινα· „διὸ καὶ ταῖς ἐνθέοις δίδα„σκαλίαις οἱ τολμηρῶς ἀποκεχρημένοι."

Αὐτῇ νηΐ, αὐτοῖς ἵπποις, αὐτοῖς ἀνδράσι: ταῦτα χωρὶς ἄρθρου.

Ἀπεῖπε: δοτικῇ. Πέτρου εἰς τὰ τῆς μοναρχίας Καί- 1
σαρος· „ἀπεῖπε τοῖς βουλευταῖς ἐκδημεῖν ἔξω Ἰτα„λίας."

Ἀπαντῶ: Ἀππιανὸς πρώτῳ· „πᾶσιν ἀπαντῶν."

B.

1

Βασκαίνω: αἰτιατικῇ. Δημοσθένης. ἐκ τοῦ περὶ τῆς ἐν Χερρονήσῳ μάχης· „χρὴ οὐχ ἣν Διοπείθης πειρᾶ„ται δύναμιν τῇ πόλει παρασκευάζειν, ταύτην βα„σκαίνειν καὶ διαλύειν πειρᾶσθαι." ἐκ τοῦ πρὸς Λεπτίνην, δοτικῇ· „εἰ μὲν γάρ τις ἔχει πολλά, μηδὲν ὑμᾶς „ἀδικῶν, οὐχὶ δεῖ δήπου τούτῳ βασκαίνειν." 2

Βασιλεύειν: γενικῇ. τρίτῳ Δίωνος βιβλίῳ· „οὐχ „ὅπως πρὸς αὐτῶν τῶν βασιλευόντων σφῶν, ἀλλὰ καὶ „πρὸς τῶν παραδυναστευόντων αὐτοῖς γίνεται." 2

Βουλεύω: ἐνεργητικῇ διαθέσει κέχρηται ὁ Ἀρριανὸς ἐν πᾶσιν. ἐν πέμπτῳ τῶν μετὰ Ἀλέξανδρον· „σὲ δὲ εἶναι „τὸν βουλεύοντά τε ὑπὲρ τῶν ὅλων τὰ ξυμφορώτατα, „καὶ ἐπαγγέλλοντα πᾶν ὅ τί περ ἂν ξυλλογισμῷ τύ„χῃ ξυμβουλευθέν·" ἵνα τὸ μὲν βουλεῦον πρόσωπον 3
καὶ ἐνεργοῦν ἐνεργητικῶς προφέρηται, τὸ δὲ ἐνεργούμενον καὶ βουλευόμενον παθητικῶς.

Γ.

Γλίχομαι: τὸ ἐπιθυμῶ, γενικῇ. *Δημοσθένης*. ἐκ τοῦ περὶ τῆς εἰρήνης· „καὶ ταῦτ' ἦν ὧν μάλιστα ἐγλί-„χετο." 5

Γράφομαι: πρὸς αἰτιατικήν. ἐκ τοῦ πρὸς *Λεπτίνην*· „καίτοι τοῦτο ἀκούω σε λέγειν, ὡς ἄρα τρεῖς σέ τινες „γραψάμενοι πρότεροι τοῦδε οὐκ ἐξῆλθον.."

Γεμίζω: γενικῇ. κατὰ *Μειδίου*· „*Μειδίας* δ' ἀπολει-„φθεὶς τοῦ στόλου, καὶ γεμίσας τὴν ναῦν ξύλων καὶ 10 „χαράκων καὶ βοσκημάτων καὶ ἄλλων τινῶν."

Γέμω: γενικῇ. *Δίωνος* ἑνδεκάτῳ βιβλίῳ· „οἱ δὲ *Καρ*-„*χηδόνιοι*, τὰς ναῦς αὐτῶν ἀναπλεούσας οἴκαδε τη-„ρήσαντες, συχνὰς χρημάτων γεμούσας εἷλον." καὶ *Ἰσοκράτης*· „γεμούσας πονηρῶν ἐπιθυμιῶν." 15

Γεύομαι: γενικῇ. *Ἀρριανός*· „μήτε σίτου γεύσασθαι „*Ἀλέξανδρον*, μή τέ τινα θεραπείαν ἄλλην θεραπεῦ-„σαι τὸ σῶμα."

Γνωσιμαχῶ: ἅπαξ ἐχρήσατο τῇ λέξει *Ἀρριανὸς* ἐν πά-σῃ τῇ πράξει αὐτοῦ, ἐν δευτέρῳ τῶν μετ' *Ἀλέξανδρον*· 20 „οἱ δὲ γνωσιμαχήσαντες ὑπέδυσαν τὰ ἐπαγγελλόμενα."

Δ.

Διακρίνομαι: δοτικῇ τὸ ὄργανον τῆς διακρίσεως. ἐκ 25 τῆς ἐπιστολῆς *Φιλίππου*· „καίτοι σκοπεῖτε, πότερον „κάλλιόν ἐστιν ὅπλοις ἢ λόγοις διακρίνεσθαι." καὶ πάλιν ὑποκατιών φησι· „καὶ *Μαρωνείτας* ἀναγκάσαι „περὶ *Στρύμης* διακριθῆναι λόγοις."

Διήμαρτεν: γενικῇ· „ὅταν δὲ μηδενὸς ἀκούητε τῶν 30 „δεόντων γίνεσθαι, πολλῶν διαμαρτεῖν εἰκότως ὑμῖν „συμβαίνει."

Δίκην λαβεῖν τὸ ἐκδικηθῆναι, *δίκην δοῦναι* τι-

μωρηθῆναι. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· „ἀν-
„τὶ γὰρ τοῦ δίκην ὑπὲρ ὧν ἐπεπόνθειν λαβεῖν, δοῦναι
„πραγμάτων ὧν οὐδὲν ἐμοὶ προσῆκε δίκην ἐκινδύ-
„νευον."

Διαφέρομαι: δοτικῇ. ἐκ τοῦ περὶ τοῦ στεφάνου·
„ὑπὲρ οὗ καὶ τότε καὶ νῦν ἀεὶ ὁμολογῶ πολεμεῖν καὶ
„διαφέρεσθαι τούτοις."

Διώκω: κατηγορῶ, γενικῇ. ἐκ τοῦ περὶ στεφάνου· „ἃ
„μὲν διώκει τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι,
„ταῦτά ἐστιν."

Διακεχείρηκα: γενικῇ. ἐκ τοῦ αὐτοῦ· „ὡς θ' ἅπαντα
„τὸν βίον ὑπεύθυνος εἶναι ὁμολογῶ, ὧν ἢ διακεχεί-
„ρηκα ἢ πεπολίτευμαι παρ' ὑμῶν."

Διαπιστῶ: δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „ὥστε καὶ
„εἴ τις ἐμοὶ διαπιστεῖ."

Δηλῶ: δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „ἀλλ' ἐὰν ἀδι-
„κοῦντα λάβωσί τινα αὐτῶν, τῇ βουλῇ καὶ τῷ δήμῳ
„δηλοῦσιν."

Δικάζω: ἀντὶ τοῦ ἐγκαλῶ, δοτικῇ. ἐκ τοῦ παραπρες-
βείας· „οὐ στρατηγῷ δικάζομεν." καὶ ἐπὶ τοῦ κρί-
νειν. ἐκ τοῦ κατὰ Ἀριστογείτονος· „βουλομένων εἰς
„τοῦτο λαχεῖν τὸ δικαστήριον, μόνοι δικάζετε ἡμῖν."
Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην βλάβης· „οὗτος ἐμοὶ
„βλάβης δεδίκασται."

Διαφθείρω: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „ἀλλὰ
„καὶ τὸν διδάσκαλον, ὦ θεοί, διέφθειρέ μου τοῦ χο-
„ροῦ." καὶ πάλιν· „ἐπεχείρησε διαφθείρειν τὸν στέ-
„φανον."

Δέον πῶς συντάσσεται: ὡς τὸ ἐξόν καὶ παρόν καὶ
ὄν. κατὰ Μειδίου· „ὡς ὅσοι, δέον ἐξιέναι, κατέμενον."

Δέομαι: πρὸς αἰτιατικήν. ἐκ τοῦ κατὰ Ἀριστοκρά-
τους· „τοῦτο τοίνυν ἐροῦμεν, ἃ δὴ δέομαί τε καὶ

„ἀξιῶ παρὰ πάντων ὑμῶν τυχεῖν, δίκαια, ὡς γ' ἐμαυ-
„τὸν πείθω."

Δορυφοροῦντες: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Ἀριστο-
κράτους· „καὶ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, κα-
„λόν, εἰ τῶν Ἑλλήνων ἐπ' ἐλευθερίᾳ προεστάναι φά- 5
„σκοντες, τοὺς ἰδίας δυνάμεις ἐπὶ τοῖς πλήθεσι κε-
„κτημένους δορυφοροῦντες φανούμεθα;"

Δωροῦμαι: ἐπὶ τοῦ παρέχω, δοτικῇ. Δίωνος τετάρ-
τῳ βιβλίῳ· „καὶ τῇ γε κόρῃ καὶ ὅπλα, ὡς φασί τι-
„νες, καὶ ἵππον ἐδωρήσατο." ἐπὶ δὲ τοῦ τιμῶ αἰτια- 10
τικῇ, τὸ δὲ δεδομένον ἤτοι τὸ δῶρον δοτικῇ. Προκοπίου
Γαζαίου ἐπιταφίῳ Σαλαμινίου· „λάφυρα δὲ τῷ κει-
„μένῳ προσέφερον, τοῖς ἀριστείοις καὶ τεθνηκότα δω-
„ρούμενοι." τοῦτο πολὺ παρὰ Ἰωσήπῳ καὶ Προκο-
πίῳ τῷ Καισαρεῖ. 15

Διαλλάττω: γενικῇ. Δίωνος τετάρτῳ βιβλίῳ· „καὶ
„τά τε ἄλλα αὐτοῖς πολὺ διαλλάττοντα ἀλλήλων, καὶ
„τὰς ἐπικλήσεις διαφόρους παρέθεσαν."

Δικαιῶ: τιμωροῦμαι, αἰτιατικῇ. Δίωνος ἑβδόμῳ βι-
βλίῳ· „καὶ διὰ τοῦτό σε δικαιώσω, ἵνα ὥςπερ τὸ τῆς 20
„ἀριστείας ἆθλον, οὕτω καὶ τὸ τῆς ἀνηκουστίας τί-
„μημα ἀπολάβῃς."

Δειπνίζω: αἰτιατικῇ, ἀντὶ τοῦ ἑστιῶ. Δίωνος ἑνδε-
κάτῳ βιβλίῳ· „τὸν δῆμον ἐδείπνισεν."

Δέ περισσόν, ἢ μᾶλλον ὑπερβιβηκός. Δίωνος δωδεκάτῳ 25
βιβλίῳ· „τεθνᾶσι δὲ οἱ μέν, οἱ δὲ ἑαλώκασιν οἵ γε
„καὶ λόγου τινὸς ἄξιοι," ἀντὶ τοῦ οἱ δὲ λόγου ἄξιοι
οἱ μὲν τέθνᾶσιν, οἱ δὲ ἑαλώκασιν.

Διατίθημι: ἀντὶ τοῦ διαπράττομαι, αἰτιατικῇ. Δίω-
νος ὀκτωκαιδεκάτῳ βιβλίῳ· „καὶ πάντα μὲν τὰ βέλ- 30
„τιστα τῆς φιλοσοφίας ἄνθη δρεπόμενος."

Δημοσιῶ: ἀντὶ τοῦ ἀπέκτεινεν, αἰτιατικῇ. Δίωνος

τριακοστῷ πρώτῳ βιβλίῳ· „κἀνταῦθα ἀπόγνοὺς μη-
„δέν οἱ τὸν θεὸν ἐπαρκέσειν, Νικομήδην ἐδημοσίωσεν."

Δεσπόζω: γενικῇ. Δίωνος τεσσαρακοστῷ πρώτῳ βι-
βλίῳ· „δεσπόζειν τε τῶν ἀρχόντων καὶ τυραννεῖν τῶν
„ἡγουμένων ἀφ' ὧν ἀξιοῦσιν."

Διαβάλλω: αἰτιατικῇ. Δίωνος τεσσαρακοστῷ ἑβδό-
μῳ βιβλίῳ· „φθονεῖς ἀεὶ τῷ κρείττονι, βασκαίνεις
„ἀεὶ τὸν προήκοντα, διαβάλλεις τὸν προτετιμημένον."

Διαχειρίζω: αἰτιατικῇ. Δίωνος τεσσαρακοστῷ ὀγδόῳ
βιβλίῳ· „καὶ αὐτὴ τὰ πράγματα διεχείρισεν," ἀντὶ τοῦ κατεῖχεν. καὶ Δημοσθένης· „σφίσιν αὐτοῖς τὴν
„ἄλλην οὐσίαν ἅπασαν διαχειρίσαντες," ἐν τῷ κατὰ Ἀφόβου.

Διαστασιάζω: δοτικῇ. Δίωνος πεντηκοστῷ τετάρτῳ
βιβλίῳ· „ἐπεὶ Βαθύλλῳ, ὁμοτέχνῳ τέ οἱ ὄντι καὶ τῷ
„Μαικήνᾳ προσήκοντι, διεστασίαζεν, εἰπεῖν λέγεται."

Δοκεῖ: δοτικῇ. Δίων πεντηκοστῷ ὀγδόῳ βιβλίῳ· „ὅτι
„αὕτη τε αὐτῷ ἀκριβῶς σωφρονοῦσα καὶ πάντα τὰ
„δοκοῦντα αὐτῷ ἡδέως ποιοῦσα."

Δουλοῦμαι: δοτικῇ. Δίων ἑξηκοστῷ ὀγδόῳ βιβλίῳ·
„καὶ ὀργῇ ἥκιστα ἐδουλοῦτο."

Διαιτῶ: δοτικῇ. τοῦ Θεολόγου ἐκ τοῦ εἰς τὸν κατάπλουν· „τί τὸ μὲν τιμᾷς τῶν ἐμῶν, τὸ δὲ ἀτιμάζεις,
„κακῶς θεότητι διαιτῶν, ἵνα ἐμοὶ τέμῃς τὸ χάρισμά."

Δυσχεραίνω: δοτικῇ. ἐκ τοῦ ἐπιταφίου· „πολλὰ τῆς
„ἐπιβουλῆς ἐμοὶ δυσχεράναντες." Ἰσοκράτης· „ἀποδέ-
„χου τῶν ἑτέρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυς-
„χεραίνοντας."

Δυσμενῶς ἔχω: δοτικῇ. Νικοκλῆς· „ὥστε οὐκ αἰσθά-
„νονται τοιούτῳ πράγματι δυσμενῶς ἔχοντες." ὁμοίως καὶ τὸ δυσμεναίνω: „καὶ Ῥωμαίοις δυσμεναίνοντας
„ἀεί."

Διαψεύδομαι: γενικῇ. Ἰσοκράτης περὶ τῆς εἰρήνης· „πλεῖστον δὲ διεψεύσμεθα τῆς ἀληθείας."

Διαφέρω: γενικῇ. Ἰσοκράτης περὶ τῆς εἰρήνης· „τοσούτῳ δὲ διαφέρομεν τῶν προγόνων."

Διήνεγκα: γενικῇ. Ἰσοκράτης· „τοσούτῳ δὲ διήνεγκα ἀνοίᾳ πάντων ἀνθρώπων." 5

Δασμολογῶ: αἰτιατικῇ. Ἰσοκράτης· „ἀλλ' ὑπομένομεν τὴν πόλιν διαβολὴν ἔχουσαν, ὡς λυμαίνεται καὶ δασμολογεῖται τοὺς Ἕλληνας."

Δανείζω: ὁ μὲν λαμβάνων δοτικῇ, τὸ δὲ διδόμενον γενικῇ. Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδάσεως· „δανεῖσαι τῶν τοῦ θεοῦ χρημάτων αὐτῷ." 10

Διαλλάττω: ἐπὶ τοῦ συμβιβάζω, δοτικῇ. Προκοπίου ἐκ τοῦ ἐπιταφίου Σαλαμινίου· „χρηστὸς ὁ Φωκίων, τοὺς ζυγομαχοῦντας ἀλλήλοις διαλλάττων." 15

Δρέπομαι: γενικῇ. Χωρικίου ἐν τῷ πρὸς Μαρκιανόν· „ἰδοὺ γὰρ ἀναπετάσαντες τὰ πτερά, τῶν παρακειμένων τε δένδρων ἀποδρεψάμενοι, φιλονεικοῦσι μετάρσιοι φέρεσθαι."

Διαπολεμῶ: δοτικῇ. Θουκυδίδης ἑβδόμῳ· „διαπολεμῆσαι αὐτοῖς." 20

Διψῶ: γενικῇ. Δημοσθένης ὁ μικρὸς ἐν τῇ σιωπῇ Σωκράτους· „καὶ διψᾷ τοῦ κωνείου."

Ε. 25

Ἐνοχλῶ: δοτικῇ. Δημοσθένης· „οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος τότε σωθείς." ὁ αὐτὸς καὶ πρὸς αἰτιατικήν· „μηδέ γε ἐγκαλεῖν ἀξιοῦτε μηδέν, ἐμὲ δὲ ἐνοχλεῖτε." 30

Ἐξόν: μετὰ ἀπαρεμφάτου. ἐκ τῶν Ὀλυνθιακῶν· „ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς ἑαυτῷ ζητεῖν, ἐξὸν νῦν ἐτέ-

„ροις αὐτὸν βοηθεῖν." καὶ πάλιν· „ἐξὸν ἡμῖν καὶ τὰ „ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων „δίκαια βραβεύειν, ἀπεστερήμεθα δὲ χώρας" καὶ τὰ ἑξῆς.

Ἐπειλημμένοι: Ὀλυνθιακῷ τρίτῳ· „ἀλλ' ὅσης ὁρᾶ- 5 „τε πάντες ἐρημίας ἐπειλημμένοι."

Ἐπιχειρῶ: δοτικῇ. κατὰ Φιλίππου πρώτῳ· „νῦν δὲ „ἐπιχειρῶν ἀεί τινι, καὶ τοῦ πλείονος ὀρεγόμενος, „ἴσως ἂν ἐκκαλέσαιτο ὑμᾶς."

Ἐγκαλῶ: δοτικῇ. ἐκ τοῦ αὐτοῦ· „ἐγκαλῶν γὰρ ὑμῶν 10 „τοῖς διαβάλλουσι τὸν Φίλιππον."

Ἐπιτιμῶ: δοτικῇ. ἐκ τοῦ περὶ Ἁλοννήσου· „ἐκέλευσεν „οὖν τοὺς λέγοντας ἐν τῷ δήμῳ τῇ μὲν εἰρήνῃ μὴ „ἐπιτιμᾶν." καὶ ἐν τῷ περὶ συντάξεως· „ἐπιτιμήσαν- „τα τοῖς νέοις." 15

Ἐπιλανθάνομαι: γενικῇ. ἐκ τοῦ περὶ Ἁλοννήσου· „τῆς δὲ ἐπιστολῆς, ἣν πρὸς ὑμᾶς ἔπεμψεν, ὅτε Ἀμ- „φίπολιν ἐπολιόρκει, ἐπιλέλησται."

Εὐπορῶ καὶ συνευπορῶ: γενικῇ. περὶ τῆς ἐν Χερ- ρονήσῳ· „καὶ συνευποροῦντας ἐκείνῳ χρημάτων." καὶ 20 ἐν τῷ περὶ στεφάνου· „πολλῶν δὲ στρατιωτῶν εὐπο- „ρήσας."

Ἐφεδρεύειν: δοτικῇ. περὶ Χερρονήσου· „οὔκουν βού- „λεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν „ἐφεδρεύειν." 25

Ἐγχειρῶ: δοτικῇ. ἐκ τοῦ περὶ συντάξεως· „εἰ δέ τις „καὶ τοιοῦτός ἐστιν ἐγχειρεῖν ἔργῳ."

Ἐπιβουλεύω: δοτικῇ. ἐκ τοῦ περὶ συμμοριῶν· „μήτε „ἐκεῖνος ὃν ἡμεῖς ἐπιβουλεύειν ἡγούμεθα τοῖς Ἕλλη- „σι." καὶ Δίων εἰκοστῷ ὀγδόῳ βιβλίῳ· „καὶ τοῖς 30 „ὑπάτοις ἐπιβουλεύοντα." καὶ πρὸς αἰτιατικήν. ὁ αὐ- τός· „ὑπατοί τε ἀποδειχθέντες καὶ δεκασμοῦ ἁλόν-

„τες, ἐπεβούλευσαν τοὺς κατηγορήσαντάς σφων, Κότ-
„ταν τε καὶ Τορκούατον."

Ἐπιπλήττω: δοτικῇ. τῆς τῶν Ῥοδίων ἐλευθερίας· „ἀλλὰ γὰρ οὐχ ὅ τί τίς κατηγορεῖ τούτων ἢ τοῖς ἄλ-„λοις ὑμῖν ἐπιπλήξει, χαλεπὸν εὑρεῖν." καὶ Ἰσοκράτης 5 περὶ τῆς εἰρήνης· „ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπι-„πλήττειν."

Ἐντυγχάνω: δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „αὐτὸς „δὲ ἰδίᾳ πάντα τὸν χρόνον ἐντυγχάνων οὐδ' ὅτι-„οῦν ἐπαύσατο Φιλίππῳ." καὶ Ἰσοκράτης· „φιλίας 10 „εὑρεῖν πιστοτάτας καὶ συνουσίαις ἐντυχεῖν."

Ἐγχειρίζω: δοτικῇ. ἐκ τοῦ αὐτοῦ· „καὶ καθ' ὑμῶν „ἐγκεχειρίκασι Φιλίππῳ."

Εὐεργετῶ: αἰτιατικῇ. ἐκ τοῦ πρὸς Λεπτίνην· „πολλὰ „ἂν ἔχων εἰπεῖν, ὅσα εὐεργέτηκεν ὑμᾶς οὗτος ἀνήρ." 15

Εὖ ποιῶ: αἰτιατικῇ. Ἰσοκράτης πρὸς Δημόνικον· „τοὺς ἀγαθοὺς εὖ ποίει."

Ἐπιμνησθῆναι: γενικῇ. ἐκ τοῦ πρὸς Λεπτίνην· „οὐ „μὴν κωλύει γε οὐδὲν κἀμὲ διὰ βραχέων ἐπιμνησθῆ-„ναι τῶν πεπραγμένων αὐτῷ." καὶ Δίωνος τριακοστῷ 20 πρώτῳ βιβλίῳ· „τῶν δὲ ἄλλων, ὡς καὶ ἐπικουρίας τι-„νὸς παρ' ἑαυτοῦ δεομένων, ἐπιμνησθείς."

Ἐλαττοῦμαι: γενικῇ. ἐκ τοῦ περὶ στεφάνου· „πολλὰ „μὲν οὖν ἔγωγε ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα „Αἰσχίνου." 25

Ἐπιτρίβω: καταπονῶ. αἰτιατικῇ. ἐκ τοῦ αὐτοῦ· „αὐ-„τοῖς μὲν μικρὰ καὶ οὐδὲν ἀναλίσκουσι, τοὺς δ' ἀπό-„ρους τῶν πολιτῶν ἐπιτρίβουσιν."

Ἐπηρεάζω: δοτικῇ. ἐκ τοῦ περὶ στεφάνου· „τοῖς μὲν „ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δὲ ἐπηρεάζων εὑρέθη." 30

Ἐγκωμιάζω: αἰτιατικῇ. ἐκ τοῦ περὶ στεφάνου· „πολλὰ „μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δὲ ὑμῶν κατη-„γοροῦντες."

Ἐξίσταμαι: ἀντὶ τοῦ ἀποφεύγω, αἰτιατικῇ. ἐκ τοῦ αὐτοῦ· „πρὸς ὅν τινα βούλεται τῶν ἁπάντων· οὐδένα „ἐξίσταμαι."

Ἐφίκωμαι: γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „ὅλως „δ᾽ οὐδ᾽ ἂν εἷς δύναιτ᾽ ἐφικέσθαι τῷ λόγῳ τῶν ἐκεῖ 5 „κακῶν νῦν ὄντων." καὶ Ἰσοκράτης ἐν τῷ πρὸς Δημόνικον· „ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπο„ρεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνη„σίως ἠδυνήθησαν."

Ἐναντίον: γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „πάντα 10 „τοίνυν τἀναντία τούτων φαίνονται πεποιηκότες·" τὸ δὲ ῥῆμα δοτικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „ὅσα μὲν „οὖν, τοὺς χορευτὰς ἐναντιούμενος ἡμῖν ἀφεθῆναι „τῆς στρατείας, ἠνώχλησεν." ἀλλὰ καὶ τὸ ὄνομα πολλάκις δοτικῇ. ἐκ τοῦ κατὰ Ἀριστοκράτους· „ὁ δὲ τὸ 15 „ψήφισμα γράφων πολλοῦ γε δεῖ διώρισεν, ὅς γε πάν„τα τούτοις τἀναντία εἴρηκεν."

Ἐκ πλείστου: ἀντὶ τοῦ πρὸ πολλοῦ. ἐκ τοῦ κατὰ Μειδίου· „μὴ παροῦσαν τὰ τοιαῦτα, μηδὲ ἐφ᾽ ἑαυτὸν ἐλ„θεῖν περιμένειν, ἀλλ᾽ ὡς ἐκ πλείστου φυλάττεσθαι." 20

Ἓν οὐδέν: ἀντὶ τοῦ οὐδέν. εἰσὶ γὰρ δύο ἕν καὶ ἓν οὔ· ἀπὸ κοινοῦ οὖν γινόμενον τὸ οὔ, ποιεῖ οὐδὲν οὐδέν. ἐκ τοῦ κατὰ Μειδίου· „ἓν γὰρ οὐδέν ἐστιν, „ἐφ᾽ ᾧ τῶν πεπραγμένων οὐ δίκαιος ὢν ἀπολωλέναι „φανήσεται." ἐπανέλαβε τὸ οὐδέν, ἵνα βεβαιώσῃ τὸ 25 μηδὲν ὅλως εἶναι τὸ κωλῦον αὐτὸν μὴ ἀπολωλέναι. ἐπιτατικὴ γάρ ἐστιν ἡ ἀναίρεσις, διὰ τῶν δύο οὐδέν ἐμφαινομένη. Ὅμοιον αὐτῷ καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους· „ἓν γὰρ οὐδ᾽ ὁτιοῦν" ἀντὶ τοῦ οὐδὲν οὐδ᾽ ὁτιοῦν. τὸ οὔ πάλιν ἀπὸ κοινοῦ. Καὶ ἄλλο ὅμοι- 30 ον, οὐχὶ κατ᾽ αὐτὸ τὸ ἀπὸ κοινοῦ εἶναι τὴν οὔ ἀπόφασιν, ἀλλὰ κατὰ τὸ ἀπὸ κοινοῦ ἔχειν τὴν δευτέραν σύνταξιν τὸ ῥῆμα τῆς πρώτης συντάξεως, ἐκ τοῦ αὐ-

τοῦ μετ᾽ ὀλίγον· „ὑμεῖς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ-
„δένα προεδώκατε τῶν φίλων, Θετταλοὶ δὲ οὐδένα
„πώποτε ὅν τινα οὔ." ἐξακούεται ὧδε τὸ ἄνω ῥῆμα
τὸ προέδωκαν, οἷον Θετταλοὶ δὲ οὐδένα πώποτε οὐ
προέδωκαν. Ὅτι δὲ πέφυκε τὸ οὔ διπλασιάζεσθαι, ἀλ- 5
λὰ καὶ τριπλασιάζεσθαι πολλάκις ἐπὶ βεβαιώσει ἀναι-
ρέσεως, δηλοῖ τὸ κατὰ Ἀριστοκράτους, οἷον· „οὐ γὰρ
„ἔστιν, οὐκ ἔστι παρὰ τούτοις τοῖς ἐπὶ τῇ τοῦ πλεο-
„νεκτεῖν προαιρέσει ζῶσιν οὐδὲν οὔτε βέβαιον οὔ-
„θ᾽ ὅσιον." καὶ Ἀρριανός· „ἔν τε οὐδὲν ἐδόκει ἀπεῖ- 10
„ναι τῶν ἑαλωκυίᾳ ἤδη πόλει ξυμφερομένων."

Ἐπίπροσθεν: τὸ ἐμπόδιον, γενικῇ. Δίωνος δευτέρῳ
βιβλίῳ· „δόξαν τὴν ἐκείνων ἐπίπροσθέν σφισι τῆς
„αὐξήσεως ἔσεσθαι."

Ἐπιτιθέναι: δοτικῇ. Δίωνος βιβλίον δεύτερον· „καὶ 15
„μηδὲν ἕτερον δεινὸν προσδεχομέναις ἐπιθέμενος."

Ἐξεργάζομαι: αἰτιατικῇ. Δίωνος βιβλίον δεύτερον·
„καὶ τὸν ἀδελφόν, ὅτι μὴ συνήρετο, λάθρᾳ διὰ τῆς
„γυναικὸς αὐτοῦ φαρμάκοις ἐξειργάσατο."

Ἐν: μετὰ γενικῆς, συνυπακουομένης τῆς δοτικῆς. ἐν 20
δευτέρῳ βιβλίῳ Δίων· „ἔπειτα ἐν τοῦ Πυθίου εὑ-
„ρέθη," ἀντὶ τοῦ ἐν τοῖς Πυθίου. καὶ Προκόπιος
εἰς τὸν σωφρόνως ἄρχοντα· „καὶ ζῶσι τάχα μὴ δι-
„κάζειν εἰδώς, εἰς τοὺς ἐν ᾅδου κατέφυγεν." Ἀρριανός· „οὐκέτι ἐν αὐτοῦ ὄντα." 25

Ἐφιέναι: γενικῇ. Δίωνος τρίτῳ βιβλίῳ· „ὅτι μὲν γὰρ
„ἀγαπᾷ ὑμᾶς, οὐδὲν ἂν μεῖζον τεκμήριον λάβοιτε, ἢ
„ὅτι τοῦ τε βίου τοῦ παρ᾽ ὑμῖν ἐφίεται."

Ἐπισκήπτω: παραγγέλλω, δοτικῇ. Δίωνος τρίτον βι-
βλίον· „ὡς πέρ που καὶ Ῥωμύλος ἡμῖν ἐπέσκηψεν." 30
ἐπὶ δὲ τοῦ παρακαλεῖν πρὸς αἰτιατικήν. Ἀππιανὸς
τρίτῳ Αἰγυπτιακῶν· „ἐπισκήπτω σε τῆς ἀξιώσεως."

Ἔνοχος: δοτικῇ. ἐκ τοῦ κατὰ Ἀριστογείτονος· „ἐκείνοις

„σταρχον." καὶ Ἰσοκράτης· „Πελοποννησίους δὲ τοὺς „μετ' Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰςβαλόντας „ἐπεξελθόντες ἐνίκησαν," ἐν δὲ τῷ περὶ τῆς εἰρήνης δοτικῇ· „ἐπεξιέναι ταῖς πολεμίοις."

Εἰςπράττω: αἰτιατικῇ ἀντὶ τοῦ τιμωροῦμαι. Δίων 5 ἑξηκοστῷ δευτέρῳ βιβλίῳ· „ᾧ γε καὶ παῤῥησιάζεσθαί „τινες ἀσφαλῶς ἐδύναντο καὶ μάλα αὐτὸν εἰςέπρατ- „τον."

Ἐργάζομαι: αἰτιατικῇ. Δίων ἑξηκοστῷ δευτέρῳ βιβλίῳ· „καὶ κακὰ ἀμύθητα πολλὰς πόλεις εἰργάζετο." 10

Ἐπιβοῶμαι: αἰτιατικῇ. Δίων ἑβδομηκοστῷ τετάρτῳ βιβλίῳ· „καὶ οὐκ ἐπαύσατο οὔτε ἐκεῖνον ποθῶν, οὔτε „τὸν Ἰουλιανὸν λοιδορῶν, οὔτε τοὺς θεοὺς ἐπιβοώμε- „νος." καὶ ὑποκατιών· „οὐ βοηθῶ τῷ δήμῳ· οὐ γάρ „με ἐπεβοήσατο." 15

Ἐπιστρατεύω: δοτικῇ. τοῦ Θεολόγου ἐπιταφίῳ· „οὐ „Σκύθας χειρούμενοι, οὐκ ἄλλο τι βαρβαρικὸν ἔθνος „ἀνακαθαίροντες, ἀλλ' ἐκκλησίᾳ ἐπιστρατεύοντες."

Ἐπιμελοῦμαι: γενικῇ. Ἰσοκράτης. ἐκ τοῦ πρὸς Δημόνικον· „ἀλλ' ἀπέλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς 20 „θνητός, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνα- „τος."

Ἐπιθυμῶ: γενικῇ. Ἰσοκράτης. ἐκ τοῦ πρὸς Δημόνικον· „σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ τοὺς φιλο- „σοφοῦντας ἐπανορθῶ." 25

Εἰςηγοῦμαι: ἀντὶ τοῦ παραινῶ, συμβουλεύω, δοτικῇ· „ὅσοι δὲ τοῖς νεωτέροις εἰςηγοῦνται."

Ἐφικέσθαι: γενικῇ. Ἰσοκράτης· „οὗτοι μόνοι τῆς „ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν."

Εὐλαβοῦμαι: αἰτιατικῇ. Ἰσοκράτης· „εὐλαβοῦ τὰς 30 „διαβολάς, κἂν τε ψευδεῖς ὦσι, κἂν τε ἀληθεῖς."

Ἐπιτάττω: δοτικῇ. Ἰσοκράτης. ἐκ τοῦ αὐτοῦ λόγου· „τὸν γὰρ αὐτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα."

Ἐπικρατῶ: αἰτιατικῇ. Ἰσοκράτης· „μόλις γὰρ ἄν τις „ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας „ἐπικρατήσειεν."

Ἔτυχον: γενικῇ. Ἰσοκράτης: „ἀλλ' ἐπειδὴ θνητοῦ σώ- „ματος ἔτυχες."

Ἐπιστατῶ: δοτικῇ· „οἱ δὲ τοῖς ἀεὶ αὐτοῖς ἐπιστα- τοῦντες." καὶ πρὸς γενικήν· „ὅλων μὲν τῶν πρα- „γμάτων ἐπιστατοῦντες."

Ἔξεστιν: δοτικῇ. Ἰσοκράτης· „τούτοις ἔξεστι ζῆν ὡς „αὐτοὶ βούλοιντο."

Ἐπιθειάσας: δοτικῇ. Ἀππιανὸς Μακεδονικοῖς· „ἐπι- „θειάσας δὲ καὶ τοῖσδε."

Ἐπαμύνω: δοτικῇ. Ἰσοκράτης· „ἀλλ' ὑπολαμβάνον- „τες αἰσχύνην αὐτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν, „ἐπήμυνον ταῖς ἐνδείαις."

Ἐνθυμοῦμαι: γενικῇ. Ἰσοκράτης· „ὧν ἄξιον ἐνθυ- „μηθέντας μὲν ἀγανακτῆσαι ἐπὶ τοῖς παροῦσιν."

Ἐμποδίζω: αἰτιατικῇ. Ἰσοκράτης· „ἢ νομίζων ἐμπο- „διεῖν αὐτὸν πρὸς πολλὰ τῶν πραγμάτων."

Εὐτυχῶ: αἰτιατικῇ. Προκόπιος· „σὺ δὲ λόγων εὐτυ- „χήσας ἰσχύν, τὸ πικρὸν ἐκεῖνο κατέλιπες."

Ἐρίζω: εἰς τὴν ἔκφρασιν τῆς εἰκόνος· „καὶ Μαρσύας „μετ' ἐκείνους ἐρίσων ἦλθεν Ἀπόλλωνι."

Ἐπισπῶμαι: Προκόπιος περὶ ἔαρος· „ὑπὸ τὴν θη- „λὴν ὑπέχει τὸ στόμα, καὶ ἐπισπᾶται τοῦ γάλακτος."

Ἐμπαροινῶ: δοτικῇ. Χωρικίου ἐν τῷ εἰς Μαρκια- νόν· „ἐμπαροινήσαντες δὴ τούτῳ πολλά, μᾶλλον δὲ „σφίσιν αὐτοῖς — θεῷ γὰρ ἐνυβρίζειν οὐ θέμις —, τε- „λευτῶντες τῷ πάντων αἰσχίστῳ θανάτου τρόπῳ παρ- „έδωκαν."

Ἐξηγεῖσθαι: δοτικῇ. Θουκυδίδης τρίτῳ· „ἃ δὲ ἑκά- „τεροι ἐξηγεῖσθε τοῖς συμμάχοις, οὐχ οἱ ἑπόμενοι αἴ- „τιοι, εἴ τι μὴ καλῶς ἐδρᾶτο."

Ἐπιμαχῶ: δοτικῇ. Θουκυδίδης τετάρτῳ· „ὥστε τῇ ἀλ-
„λήλων ἐπιμαχεῖν."

Εἴ: μετὰ ὁριστικῆς ἐγκλίσεως καὶ εὐκτικῆς εὕρηται·
ἀναλογώτερον δὲ τὸ μετὰ ὁριστικῆς, καὶ δεύτερον τὸ
μετὰ εὐκτικῆς, οὐ μέντοι τὸ μετὰ ὑποτακτικῆς, πλὴν 5
τῶν ποιητικῶν. Δημοσθένης ἐν τῷ τετάρτῳ τῶν Φι-
λιππικῶν· „εἰ μὲν ἤρεσέ τί μοι." καὶ ἐν τῷ πρὸς Ναυ-
σίμαχον καὶ Ξενοπείθην· „εἰ μεγάλα ὑμῖν εἶναι καὶ
„θαυμαστὰ τὰ δίκαια ταῦτα ὑπολαμβάνετε." καὶ ἐν
τῷ κατὰ Ἀφόβου· „εἰ κατελείφθην ἐνιαύσιος." καὶ 10
ἐν τῷ κατ' Εὐέργου· „εἰ μὲν τὴν ἄνθρωπον παρα-
„δώσουσι." καὶ πάλιν· „εἰ μή τις αὐτὸν ἀφήσει." καὶ
γὰρ μετὰ τοῦ μή τῇ αὐτῇ ἐγκλίσει συντάσσεται. καὶ
ἐν τῷ πρὸς Ναυσίμαχον· „εἰ μὴ τῶν δικαίων ἐγὼ
„παρ' ὑμῶν τεύξομαι." καὶ ἐν τῷ κατὰ Διονυσιοδώρου· 15
„δεινὸν οὖν εἰ μὴ ἡμεῖς συγχωρήσομεν." Μετὰ δὲ εὐ-
κτικῶν ἐν τῷ πρὸς Ναυσίμαχον· „οὐ τοίνυν θαυμά-
„σαιμι, εἰ καὶ δακρύειν καὶ ἐλεεινοὺς πειρῶτο ποιεῖν."
καὶ ἐν τῷ κατὰ Ἀφόβου· „εἰ δέ τις ἐλλείποι, αὐτὸς
„ἔφη προσθήσειν." Μετὰ δὲ ὑποτακτικῶν· 20

εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε.

καὶ Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ·

ὕβρις εἰ πολλῶν ὑπερπλήθῃ.

ὁ αὐτός·

δυστάλαινά τ' ἄρ' ἐγώ, 25

εἴ σου στερηθῶ.

Κρατῖνος Γείτοσιν·

εἰ σοφὸς ἦς.

Ξενοφῶν Παιδείας· „εἰ μὴ πρόσθεν ἠσκηκότες." καὶ
Πλάτων Νόμων δωδεκάτῳ· „εἴ τέ τις θῆλυς ἦ." 30

Ἐάν: καὶ τοῦτο, ὥσπερ τὸ εἴ, ὁριστικοῖς, εὐκτικοῖς,
ὑποτακτικοῖς συντάσσεται. σὺ δέ, ὦ φιλολόγε, ἀνάλο-
γον φυλάττων, ὑποτακτικοῖς ἀεὶ σύντασσε.

Ἕως:

Ἕως: ὁριστικοῖς, εὐκτικοῖς. ὁριστικοῖς μὲν Δημοσθένης ἐν τῷ πρὸς Περικλέα· „ἕως μοι μάρτυρες παρῆ„σαν." ἐν δὲ τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν εὐκτικῷ· „ἕως ὅτου κομισαίμεθα τὰ ἡμέτερα." μετὰ δὲ ὑποτακτικῶν, συνόντος καὶ τοῦ ἄν, Δημοσθένης· „δή 5 „που ἐπιλιπεῖν ἡμᾶς." καὶ ἐν τῷ κατὰ Ὀλυμπιοδώρου: „ἕως ἂν οἱ ἀγῶνες γένωνται."

Ἐπιδικάζομαι: γενικῇ. Λυσίας ἐν τῷ πρὸς Διογένην περὶ χωρίου· „ἆρα οὐκ ἀπράγμων εἶναι δοκεῖ „ὑμῖν Διογένης, ὃς ἐπιδικάζεται μὲν τῶν κλήρων." 10

Εἰςποιοῦμαι: ἀντὶ τοῦ καλλωπίζομαι καὶ ἀνέρχομαι νοσφίζομενος, δοτικῇ. Ἀρριανὸς τετάρτῳ· „οὔκουν οὐδὲ „Ἀλέξανδρον ἀνασχέσθαι ἄν, εἰ τῶν ἰδιωτῶν τις εἰς„ποιοῖτο ταῖς βασιλικαῖς τι, αἷς χειροτονίᾳ ἢ ψήφῳ οὐ „δικαίᾳ. πολὺ ἂν οὖν δικαιότερον τοὺς θεοὺς δυςχεραί- 15 „νειν, ὅσοι ἄνθρωποι εἰς τὰς θείας τιμὰς σφᾶς εἰς„ποιοῦσιν, ἢ πρὸς τῶν ἄλλων εἰςποιούμενοι ἀνέχονται."

Ἐκπολεμῶ: ἐχθρὸν ποιῶ, αἰτιατικῇ· „αὐτὸς δὲ ἐς „Ἀθήνας ἐλθών, ὡς ἐκπολεμώσων τοὺς Ἀθηναίους „πρὸς Ἀλέξανδρον." 20

Ἐπιστρέφομαι: ἀντὶ τοῦ ἐπιμέλειαν ποιοῦμαι καὶ φροντίζω, μετὰ γενικῆς. Ἡρακλείδου Ποντικοῦ τῶν εἰς Ἄβαριν ἀναφερομένων· „ἔφη δὲ τὸ δένδρον αὐτῷ „τὸν δαίμονα, νεανίαν γενόμενον, ἐπιθεῖναι, προςτά„ξαι δὲ πιστεύειν περὶ θεῶν, ὅτι ὡς οἷόντε καὶ τῶν 25 „ἀνθρωπίνων ἐπιστρέφονται πραγμάτων."

Ἐπιτροπεύω: αἰτιατικῇ παρὰ Ἀττικοῖς. Δημοσθένης κατὰ Ἀφόβου· „οὐκ ἂν χεῖρόν με ἐπιτροπευθῆναι." καὶ μετ' ὀλίγον· „καὶ δέκα ἔτη ἡμᾶς ἐπιτροπεύσαν„τες." τέτριπται δὲ καὶ μετὰ γενικῆς, ὡς παρὰ Λυκούρ- 30 γῳ ἐν τῷ περὶ διοικήσεως· „ἐκ τῶν ἱερῶν, ὧν ἡμεῖς „ἐπετροπεύσαμεν."

Ἐντρυφῶ: δοτικῇ. Σωπάτρου· „τῇ γὰρ συμμαχίᾳ τῇ „παρὰ τοῦ δαίμονος ἐντρυφῶν."

Εἰσακούω: αἰτιατικῇ. Ἀππιανὸς πρώτῳ· „οὐκ εἰς- „ακουόντων οὐδέτερα Ῥωμαίων."

Ἐξέδραμεν: γενικῇ. Ἀππιανός· „ἐξέδραμε τοῦ δα- „νειστοῦ." 5

Ἐπέλαβεν: αἰτιατικῇ. Ἀππιανὸς δευτέρῳ· „λιμὸς „ὁμοῦ καὶ λοιμὸς ἐπέλαβε Ῥωμαίους."

Ἐφήδοντο: δοτικῇ. ὁ αὐτὸς ἕκτῳ· „ἐφήδοντό μοι „τῆς ὕβρεως." 10

Ἐχθραίνω: αἰτιατικῇ. Ὅμηρος·

. . . ἵν' ἐχθήρειε γέροντα.

Ζ.

Ζημιῶ: τὸ μὲν ζημίωμα δοτικῇ, τὸ δὲ ζημιούμενον πρόσωπον αἰτιατικῇ. ἐκ τοῦ κατὰ Ἀριστοκράτους· „οἱ „θεσμοθέται τοὺς ἐπὶ φόνῳ φεύγοντας κύριοι θανά- „τῳ ζημιῶσαί εἰσι." καὶ ὑποκατιών· „ὥστε ἀπεχειρο- „τονήσατε μὲν τὸν στρατηγόν, πέντε ταλάντοις δ' ἐζη- „μιώσατε." καὶ ἐκ τοῦ κατὰ Τιμοκράτους· „καὶ τοῦ- „τον ἄξιον εἶναι θανάτῳ ζημιῶσαι." καὶ Δίωνος ἕκτῳ βιβλίῳ· „ἐπειδὴ ἦρξεν, εἰσήγαγον καὶ χρήμασιν „ἐζημίωσαν, οὔτε περὶ τοῦ σώματος εἰς κίνδυνον κα- „ταστήσας." Ἀππιανὸς δευτέρῳ· „ἀναπείθει θανάτῳ „ζημιοῦσθαι."

Ζηλοτυπῶ: αἰτιατικῇ Προκόπιος. εἰς τὸ ῥόδον ἔκφρασις· „Ἄρης γὰρ ταῦτα μαθών — ἦρα δὲ καὶ οὗτος — „ἐζηλοτύπου τὸν νέον."

Η.

Ἡττῶμαι: γενικῇ· „καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς „μάχης οὐδεμιᾶς ἡττᾶτο." καὶ ἐκ τοῦ περὶ τῆς Ῥο-

δίων ἐλευθερίας· „ὑμεῖς δὲ νενικήκατε πολλάκις βα-
„σιλέα, ἥττησθε δὲ οὐδὲ ἅπαξ οὔτε τῶν δούλων τοῦ
„βασιλέως οὔτε αὐτοῦ ἐκείνου." καὶ ἐκ τοῦ περὶ στε-
φάνου· „οὐδαμοῦ πώποτε, ὅπου πρεσβευτὴς ἐπέμφθην
„ὑφ' ὑμῶν ἐγώ, ἡττηθεὶς ἀπῆλθον τῶν Φιλίππου 5
„πρέσβεων." καὶ Δίων τεσσαρακοστῷ πρώτῳ βιβλίῳ·
„δεινὸν τὸ τῶν πολεμίων κρατοῦντας ἡδονῶν ἡττᾶ-
„σθαι."

Ἥκιστα: ἀντὶ τοῦ οὐδαμῶς. ὁ δὲ Δημοσθένης ἐν δια-
φόροις χωρίοις ἐχρήσατο αὐτῷ ἀντὶ τοῦ πίνυ. ἐκ τοῦ 10
περὶ στεφάνου· „καὶ μὴν ὅτι πολλὰ μὲν ἂν χρήματα
„ἔδωκε Φιλιστίδης, ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλεί-
„ταρχος ὥστ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φί-
„λιππος, ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ καὶ πε-
„ρὶ τῶν ἄλλων μηδὲν ἐλέγχεσθαι, μηδέ, ἃ ποιῶν ἠδί- 15
„κει, μηδένα ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ, καὶ
„πάντων ἥκιστα σύ."

Ἦν: δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „ὑμῖν δὲ τοιοῦτον
„μὲν οὐδὲν οὔτ' ἦν μηδὲ γένοιτο τοῦ λοιποῦ."

Ἥδομαι: δοτικῇ. Ἰσοκράτης περὶ τῆς εἰρήνης· „ὅτι 20
„μᾶλλον ἡσθήσεσθαι τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν
„πόλεμον ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύσουσι."
καὶ μετὰ τῆς ἐπί προθέσεως ὁμοίως· „ἀλλ' ἐφησθη-
„σόμενοι ταῖς ὑμετέραις συμφοραῖς."

Ἡγοῦμαι: δοτικῇ. Δίων τετάρτῳ βιβλίῳ· „ὑπὸ δὲ τὸν 25
„αὐτὸν χρόνον οἱ Αἰθίοπες, ὑπὲρ Αἰγύπτου οἰκοῦντες,
„προεχώρησαν μὲν μέχρι τῆς πόλεως τῆς Ἐλεφαντί-
„νης ὠνομασμένης, πάντα τὰ ἐν ποσὶ πορθοῦντες,
„ἡγουμένης σφίσι Κανδάκης." καὶ ἑξηκοστῷ ἑβδόμῳ
βιβλίῳ γενικῇ· „ἐπειδὴ οἱ μετὰ τοῦ Φύσκου στρα- 30
„τευσάμενοι ἡγήσασθαι σφῶν αὐτῶν ἠξίωσάν." αἰτια-
τικῇ Θουκυδίδης πρώτῳ· „καὶ οἱ μὲν Λακεδαιμόνιοι
„οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους, ἡγοῦν-

„το," ἀντὶ τοῦ τῶν ξυμμάχων. καὶ Ἰσοκράτης· „οὐ δή „που πάτριόν ἐστιν ἡγεῖσθαι τοὺς ἐπήλυδας τῶν αὐ- „τοχθόνων."

Ἦν: μετὰ πληθυντικοῦ ὀνόματος. Ἀππιανός· „ἐν τῇ βα- „σιλικῇ ἔριδες ἦν."

Θ.

Θαῤῥῶ: αἰτιατικῇ. τρίτῳ Ὀλυνθιακῷ· „οὔτε Φίλιππος „ἐθάῤῥει τούτους, οὔθ' οὗτοι Φίλιππον." ὁ δὲ Ἰσο- κράτης ἐν τῷ περὶ τῆς εἰρήνης πρὸς δοτικήν· „ὥστε „μηδὲ τοῖς οἰκειοτάτοις θαῤῥεῖν πλησιάζοντας."

Θεραπεύω: αἰτιατικῇ. Δίων ἑξηκοστῷ δευτέρῳ βιβλίῳ· „ἐκείνους δὲ τοῖς τε χρήμασι καὶ τῇ προσκλήσει ἐθε- „ράπευσεν."

Θαυμάζω: ἐπὶ κακῷ, γενικῇ. περὶ τῶν ἐν Χερῤῥονήσῳ· „πολλὰ θαυμάζων τῶν εἰωθότων λέγεσθαι παρ' ὑμῖν „οὐδέν, ὦ ἄνδρες Ἀθηναῖοι, τεθαύμακα, οὗ καὶ πρώ- „ην τινὸς ἤκουσα εἰπόντος ἐν τῇ βουλῇ." ἐπὶ καλῷ δὲ πρὸς αἰτιατικήν· „πολλὰ δὲ θαυμάζων Λεπτίνου „κατὰ νόμον, ἓν μάλιστα τεθαύμακα." καὶ ἐκ τοῦ περὶ Μεγαλοπολιτῶν πάλιν ἐπὶ κακῷ πρὸς γενικήν· „θαυμάζω δ' ἔνίων, εἰ τὸ μὲν Θηβαίους εἶναι σύμ- „μαχους τοὺς Λακεδαιμονίων ἐχθροὺς φοβοῦνται· „εἰ δὲ καταστρέψονται Λακεδαιμόνιοι τούτους αὐτούς, „μηδὲν ἡγοῦνται φοβερόν." καὶ πρὸς Λεπτίνην· „πολλὰ θαυμάζων Λεπτίνου κατὰ τὸν νόμον."

Θεολογῶ: δοτικῇ. τοῦ Θεολόγου ἐκ τῆς πρὸς Κληδόνιον ἐπιστολῆς· „οὗτοι γάρ, ἡνίκα μὲν ἂν τοῖς γνη- „σίοις αὐτῶν μαθηταῖς καὶ μύσταις τῶν ἀποῤῥήτων „θεολογῶσιν, ὡς οἱ Μανιχαῖοι τοῖς ἐκλέκτοις λεγο- „μένοις, ὅλην τὴν νόσον αὐτοῖς ἐκκαλύπτοντες, μόλις „καὶ τὴν σάρκα τῷ σωτῆρι παραδιδόασιν."

Θήρευε: αἰτιατικῇ. Ἰσοκράτης πρὸς Δημόνικον· „καὶ „τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης."

Θωπεύω: αἰτιατικῇ. Πέτρου εἰς τὰ περὶ Ἀντωνίου· „πολλὰ οὖν θωπεύσας αὐτόν."

Θάλλω: δοτικῇ. Ἀππιανὸς δευτέρῳ· „ἀμφοτέροις τοῖς „γονεῦσι θάλλοντες."

Ι.

Ἵνα: μετὰ παρατατικοῦ. ἐκ τοῦ κατὰ Ἀνδροτίωνος· „ἵνα ἐκεῖ περὶ χιλίων ἐκινδυνεύομεν, εἰ καταψευδό„μενοι ταῦτα ἐφαινόμεθα." καὶ ἐν τῷ κατὰ Τιμοκρά„τους· „ἵνα οὖν μὴ ἐδόκεις." Ἵνα μετὰ εὐκτικῆς. Δη„μοσθένης ἐν τῷ πρὸς Ζηνόθεμιν· „ἵνα, ὅπερ διενοή„θησαν, τοῦτο ἐπιτελεσθείη." καὶ ἐν ἑτέρῳ· „ἵνα ἐνέ„χυρόν τι λάβοιμι." ὁ δὲ Ἰσοκράτης μετὰ ὑποτακτι„κῆς ἐγκλίσεως· „ἵνα εὐδοκιμῆς ἅμα καὶ διαρκῆς." καὶ ἐν τῷ κατὰ Τιμοκράτους· „οὐχ ἵνα κοινῇ τὴν „πόλιν ὠφελήσῃ, ἀλλ' ἵνα μηδ' ἃ κλέπτοντες φανερῶς „ἠλέγχθησαν, καταθῶσιν."

Κ.

Κακῶς ποιεῖν: συντάσσεται αἰτιατικῇ. Ὀλυνθιακῷ πρώτῳ· „καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν."

Καρποῦνται: αἰτιατικῇ. ἐν τῷ αὐτῷ λόγῳ· „μικρὰ „ἀναλίσκοντες, τὰ λοιπὰ καρποῦνται ἀδεῶς." καὶ Δίων εἰκοστῷ δευτέρῳ βιβλίῳ· „παλυειδῆ ἀπόλαυσιν καρπού„μενοι τῶν κοινῶν ἀγαθῶν."

Κατηγορῶ: γενικῇ. Ὀλυνθιακῷ τρίτῳ· „μένειν γὰρ „ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων."

Καταπολεμῶ: αἰτιατικῇ. κατὰ Φιλίππου πρώτῳ· „ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους καταπολεμῶν."

Καταπολιτεύομαι: αἰτιατικῇ, οἷον ἐναντιοῦμαι τῇ πολιτείᾳ. ἐκ τοῦ περὶ Χερρονήσου· „πάντα τοίνυν

„τἆλλα εἰπὼν ἂν ἡδέως, καὶ δείξας ὃν τρόπον ὑμᾶς „ἔνιοι καταπολιτεύονται."

Καταψηφίζομαι: ἀντὶ τοῦ ὀναιρῶ, ἀνατρέπω, δοτικῇ· ἐκ τοῦ τέλους τοῦ πρὸς Λεπτίνην· „τί συμβή- „σεται καταψηφισαμένοις ὑμῖν τὸν νόμον;"

Καταδιαιτῶ: καταψηφίζομαι, γενικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „καίτοι εἰ παρὰ τῶν ἐρήμην καταδιαιτη- „σάντων αὐτοῦ τηλικαύτην δίκην οὗτος ἀξιοῖ λαμ- „βάνειν."

Κρίνω: ἀντὶ τοῦ κατηγορῶ, γενικῇ μετὰ τῆς ὑπὸ προθέσεως. ἐκ τοῦ κατὰ Μειδίου· „οἶδαμεν Δημοσθένην, „ᾧ μαρτυροῦμεν, καὶ Μειδίαν τὸν κρινόμενον."

Καταγινώσκω: γενικῇ. ἐκ τοῦ πρὸς Ἀλέξανδρον συνθηκῶν· „οὕτω δὲ κατεγνώκασι μετὰ τούτων ἀδιήγη- „τόν τινα τῆς πόλεως ἔκλυσιν καὶ μαλακίαν." καὶ κατὰ Μειδίου· „ἐγὼ δὲ πρῶτον μὲν οὐδὲν ἀγεννὲς „ὑμῶν καταγινώσκω."

Καταλαμβάνω: αἰτιατικῇ. ἐκ τοῦ περὶ στεφάνου· „ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα „κίνδυνον τὴν πόλιν."

Κληρονομῶ: γενικῇ. ἐκ τοῦ περὶ στεφάνου· „ὅς γε κε- „κληρονόμηκας μὲν τῶν φίλων τοῦ κηδεστοῦ χρημά- „των πλειόνων ἢ πέντε ταλάντων." καὶ ἐν τῷ τῆς παραπρεσβείας· „ταύτης γὰρ ἐγὼ οὐκέτι τῆς αἰσχύνης „κληρονομῶ." ὁ δὲ Προκόπιος καὶ πρὸς αἰτιατικήν· „ἄνωθεν ἐξ ἀρετῆς κληρονομῆσαι πάτριον ἁμιλλαν."

Κοινωνῶ: ἐκ τοῦ παραπρεσβείας· „τῷ δὲ μηδὲν ἑαυτῷ „συνειδότι δεινόν, εἰ σιγῴη, δειλῶν καὶ πονηρῶν ἔρ- „γων δόξει κοινωνεῖν." ἐν δὲ τῷ κατὰ Τιμοκράτους δοτικῇ· „οὐδὲν γὰρ κοινωνεῖ τῷ νόμῳ τῷδε." τὸ δὲ ὄνομα γενικῇ. ἐν τῷ αὐτῷ· „πάντων τῶν κακῶν κοινωνόν."

Καταμαρτυρῶ: γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „τίς „μου καταμαρτυρεῖ δῶρα λαβεῖν;"

Καταφρονῶ: γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „εὖ γὰρ „εἰδέναι χρὴ τοῦτο, ὅτι οὐ καταφρονεῖ Φίλιππος, ὦ „ἄνδρες Ἀθηναῖοι, τῆς πόλεως τῆς ἡμετέρας."

Κρατῶ: ἐπὶ τοῦ νικῶ, αἰτιατικῇ. ἐκ τοῦ παραπρεσβείας· „ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτησαν." καὶ κατὰ Τιμοκράτους· „οὐδ' οἵοις παρὰ σοῦ χρώμενοι συμ- „βούλοις ἐπολιτεύοντο, ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες."

Καταμέμφομαι: αἰτιατικῇ. ἐκ τοῦ πρὸς Λεπτίνην· „καταμεμφόμενον τοὺς ἐπὶ ταῖς ὑπαρχούσαις δωρεαῖς, „τοὺς χρησίμους ὄντας τῶν τιμῶν ἀποστερεῖν." καὶ κατὰ Ἀνδροτίωνος· „καταμέμφῃ σεαυτόν."

Καταχειροτονῶ: γενικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „ἀλ- „λὰ μιᾷ γνώμῃ κατεχειροτόνησεν αὐτόν."

Κινδυνεύει: ἐλέγχεται. κατὰ Μειδίου· „ἀλλὰ κινδυ- „νεύει καὶ τὸ λίαν εὐτυχεῖν ἐνίοτε ἐπαχθεῖς ποιεῖν." ἔχει δὲ καὶ ἄλλας σημασίας, ὡς παρ' Ἑρμογένει ἐν τῷ προοιμίῳ τῶν ἰδεῶν· „οὐ κατὰ δύναμιν τὴν ἐν „δεινότητι· ἐκεῖ γὰρ κινδυνεύει τὰ πρῶτα ἀποφέρε- „σθαι," ἀντὶ τοῦ προτετίμηται, προκέκριται.

Κολάζω: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „τοῖς „δὲ ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζεσθαι."

Καταδύομαι: ἀντὶ τοῦ αἰσχύνομαι, δοτικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „ὁ δὲ παρακάθηται, καὶ οὐ κα- „ταδύεται τοῖς πεπραγμένοις."

Καταλλάττομαι: αἰτιατικῇ.

Κατατάττω: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Ἀριστογείτονος· „ἐγὼ γὰρ ἐν ταῖς ἐκκλησίαις ὁρῶν ὑμᾶς κατα- „τάττοντάς με καὶ προχειριζομένους ἐπὶ τὴν τούτου „κατηγορίαν."

Κατατίθημι: δοτικῇ. ἐκ τοῦ κατὰ Νεαίρας· „καὶ „κατατίθησιν αὐτῆς τὰς εἴκοσι μνᾶς τῷ Εὐκράτει „καὶ τῷ Τιμανορίδᾳ."

Κακουργῶ: αἰτιατικῇ, ἐπὶ τοῦ ληΐζομαι. *Δίων* τετάρτῳ βιβλίῳ· „πάντα τὰ μέχρι τείχους ἐκακούργουν."

Κατέδραμον: ἐπὶ βλάβης, γενικῇ. *Δίωνος* ἐκ τοῦ τετάρτου βιβλίου· „ἀλλὰ τῆς τε χώρας τῆς Ῥωμαϊκῆς „κατέδραμον." 5

Κατατρέχω: αἰτιατικῇ. *Δίων* τεσσαρακοστῷ ὀγδόῳ βιβλίῳ· „ἀλλὰ τὴν χώραν κατατρέχων, καὶ τὴν ἐς„κομιδὴν τῶν ἐπιτηδείων κωλύων."

Καταίσχων: αἰτιατικῇ. *Δίων* τριακοστῷ ἕκτῳ βιβλίῳ· „ταῦτα ἑτέροις ἐγκαλεῖ, καὶ καταψευδόμενος ὑμῶν καὶ 10 „προςβάλλων ὑμᾶς."

Κελεύω: δοτικῇ. *Δίων* τεσσαρακοστῷ ὀγδόῳ βιβλίῳ· „ἐκέλευσε μέρει τοῦ ναυτικοῦ περιπλέοντι κακουργεῖν „τὰ τῶν ἐναντίων." αἰτιατικῇ δὲ Θουκυδίδης πρώτῳ· „ἐκέλευον Κορινθίους τοὺς ἐν Ἐπιδάμνῳ." 15

Καταψηφίζομαι: γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „εἰ τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφιεῖσθε." καὶ *Δίων* ἑβδομηκοστῷ πέμπτῳ βιβλίῳ· „ἐξέταζε οὖν „μὴ τὰ σώματα ἡμῶν μηδὲ τὰ ὀνόματα, ἀλλ' αὐτὰ „τὰ πράγματα." 20

Καταπαλαίω αἰτιατικῇ. ἐκ τοῦ Θεολόγου εἰς τὸ βάπτισμα· „ἐὰν ἐξ-ἀπληστίας καταπαλαίῃ σε, πάσας ὑπο„δεικνύων τὰς βασιλείας, ὡς πένητος καταφρόνησον."

Καταπραγματεύομαι: γενικῇ. ἐκ τοῦ ἐπιταφίου· „καταπραγματεύονται τῆς ἐνδείας, καὶ γεωργοῦσι τὰς 25 „συμφοράς."

Κατορχοῦμαι: γενικῇ. ἐκ τοῦ ἐπιταφίου· „οὐ Σκύ„θας χειρούμενοι, οὐκ ἄλλο τι βαρβαρικὸν ἔθνος ἀνα„καθαίροντες, ἀλλ' ἐκκλησίαις ἐπιστρατεύοντες καὶ „θυσιαστηρίων κατορχούμενοι." 30

Κατακρίνω: Ἰσοκράτης αἰτιατικῇ· „τὸ μὲν γὰρ τε„λευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινεν."

Κτητόν: δοτικῇ. Ἰσοκράτης· „δόξῃ μὲν γὰρ κτήματα „κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή."

Καρτερῶ: μετὰ τῆς ἔν. Ἰσοκράτης· „τρύφα μὲν ἐν „ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει „δέ, ὡς χρὴ τοὺς βασιλέας, ἐν τοῖς ἄλλοις ἐπιτηδεύ- 5 „μασιν."

Κήδομαι: Ὅμηρος ἐν τῇ πρώτῃ, γενικῇ·

κήδετο γὰρ Δαναῶν

καὶ τὰ ἑξῆς.

Κηρυκεύω καὶ ἐπικηρυκεύω: δοτικῇ. Ἰσοκράτης· 10 „εἴ τις ἐπικηρυκεύεσθαι Πέρσαις."

Κρίνω: τὸ καταδικάζω, μετὰ δοτικῆς· „τὴν νῦν ἀτι- „μαζομένην καὶ κρινομένην ὑμῖν" ἀντὶ τοῦ ὑφ' ὑμῶν καταδικαζομένην.

Καταγελῶ: δοτικῇ. Ἰσοκράτης· „μὴ θαυμάσῃς, ὦ 15 „Φίλιππε· ποτὲ μὲν γὰρ παρεκελευόμην τοῖς ἀκουσο- „μένοις καταγελᾶν μου."

Καταθρασύνω: γενικῇ. Προκόπιος· „τὸ θῆλυ γένος „ἀποδύεσθαι καὶ τὴν αἰδῶ, τῆς ἀῤῥένων ὅλῳ προς- „ώπῳ καταθρασυνόμενον ὄψεως." 20

Κατεάγη: γενικῇ Προκόπιος. ἐκ τῆς μονῳδίας Ἀντιο- χείας· „ἄλλος κατεάγη τῆς κεφαλῆς, τοῦ σώματος τὰ „καίρια παρασπώμενος."

Κερδαίνω: αἰτιατικῇ. Προκόπιος· „ὦ πόσοι μέσοι „ξύλων ἀλλήλοις ἀντερειδόντων ἐγίνοντο, μηδὲ τελευ- 25 „τὴν ὀξυτέραν κερδαίνοντες."

Κατακερτομῶ: αἰτιατικῇ. Κυρίλλος εἰς τὸν Ἠσαΐαν· „καὶ χρῆν δή που τοῖς τὴν θείαν αὐτοῦ κατακερτο- „μοῦσι δόξαν."

Κοινολογῶ: δοτικῇ. Θουκυδίδης τετάρτῳ· „οἱ δὲ ἄλ- 30 „λοι, κοινολογησάμενοι τοῖς τῶν φευγόντων φίλοις, „κατάγουσι τοὺς ἐκ Πηγῶν."

Καταλέγω: γενικῇ, τοῦ Δευτερονομίου κεφάλαιον πεν-

τηκοστὸν πρῶτον· „ἐὰν δὲ καταστῇ μάρτυς ἄδικος „κατὰ ἀνθρώπου, καταλέγων αὐτοῦ ἀσέβειαν."

Καταγωνίζομαι: αἰτιατικῇ. τοῦ Νύσης ἐκ τοῦ περὶ ἀρετῆς λόγου δευτέρου· „εἶτα τῇ ἐκτάσει τῶν χεί- „ρῶν καταγωνίζεται τὸν ἀλλόφυλον."

Κατεπιχειρῶ: γενικῇ. τοῦ Νύσης ἐκ τοῦ περὶ παρθενίας· „ἢ εἰ ἀφ' ἑαυτοῦ κατεπιχειροίη τοῦ πράγμα- „τος."

Κατακούω: γενικῇ. Δημοσθένης· „καὶ ἀήθεις τοῦ „κατακούειν τινός εἰσι." καὶ Ἀρριανὸς πέμπτῳ· „οὐ- „δ' ἐθέλει κατακούειν τοῦ σατράπου."

Καθηγοῦμαι: δοτικῇ. Ἀρριανὸς τετάρτῳ τῶν μετὰ Ἀλέξανδρον· „καὶ ἐς τὸν λιμένα καθηγεῖσθαι."

Καταχωνεύω: ἡ ὕλη αἰτιατικῇ, ὁ τόπος γενικῇ. Ἀππιανὸς ἐν τῇ Μιθριδατικῇ· „τοῦ στόματος αὐτοῦ κα- „τεχώνευσε χρυσίον."

Κουφίζω καὶ ἐπικουφίζω: γενικῇ. Ἀππιανός· „ὅσα „δὲ ὅμως ἐπικουφιεῖ τῆς ἀνίας, αἰτεῖτε καὶ λαμβά- „νετε προσιόντες."

Λ.

Λυμαίνομαι: αἰτιατικῇ. πρώτῳ Φιλιππικῶν· „ἔστι „τοίνυν πρᾶγμα καὶ ἄλλο, ὃ λυμαίνεται τὴν πόλιν, „ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόντων „διαβεβλημένον." ἐν δὲ τῷ περὶ στεφάνου δοτικῇ· „ἢ „πάντα ταῦτα ἐλυμαίνετο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, „τί Δημοσθένης ἀδικεῖ;"

Λανθάνω: αἰτιατικῇ. ἐκ τοῦ περὶ Μεγαλοπολιτῶν· „λάθωσιν ἡμᾶς πλείονι μείζους οἱ Λακεδαιμόνιοι γε- „νόμενοι."

Λοιδοροῦμαι: δοτικῇ. ἐκ τοῦ περὶ τοῦ στεφάνου· „κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδο-

„ρούμενος αὐτῆ." Δίων δὲ ἐν δευτέρῳ βιβλίῳ αἰτιατικῆ· „τὸν γὰρ πατέρα πολλὰ καὶ ἄτοπα, ὡς καὶ τυ„ραννοῦντα καὶ παρασπονδοῦντα φανερῶς, ἐκ συνθή„κης λοιδορήσας." καὶ τριακοστῷ ἑνάτῳ· „ἀλλ' ἐλοι„δόρουν ἀλλήλους καὶ διέβαλλον."

Λαμβάνω: ἐπὶ τοῦ χειρώσασθαι, αἰτιατικῆ. κατὰ Μειδίου· „οἱ δὲ πόλεις εἰληφότες." ἐπὶ δὲ τοῦ δράξασθαι, γενικῆ. ἐκ τοῦ κατὰ Ἀριστογείτονος· „τίς „δ' ἂν ἄλλος μᾶλλον, ὃ μὴ γένοιτο, ἀνατρέψειε τὴν „πόλιν, εἰ λάβοιτο ἐξουσίας;"

Ληΐζεται: αἰτιατικῆ. κατὰ Ἀριστοκράτους· „οὐδ' ὅτε „ληστρικόν ποτε πλοῖον ἔχων, ἐληΐζετο τοὺς ὑμετέρους „συμμάχους."

Λυσιτελεῖ: Δίων βιβλίῳ τρίτῳ· „πῶς δ' ἂν καὶ λυ„σιτελήσειέ τινι τοῦτο πρᾶξαι;"

Λαγχάνω: ἐπὶ τοῦ ἀμύνομαι, δοτικῆ, ἡνίκα συντάσσεται μετὰ τῆς δίκης. Δίων τεσσαρακοστῷ δευτέρῳ βιβλίῳ· „καὶ αὐτὸς μὲν οὐκ ἔφη βασιλεύς, ἀλλὰ Καῖ„σαρ καλεῖσθαι· οἱ δὲ δήμαρχοι ἐκεῖνοι· καὶ δίκην „τῷ πρώτῳ αὐτὸν εἰπόντι ἔλαχον." ἐν δὲ τῷ πρὸς Κτή„σιππον γενικῆ· „ἐπειδὴ δὲ ἀνὴρ ἐγενόμην, λαγχάνω „πατρὸς τοῦ κλήρου," ἀντὶ τοῦ κληρονομῶ.

Λείπομαι: δοτικῆ. Προκόπιος· „εἰ δὲ τῶν ὑπὸ σοὶ „τελούντων ἡ ψῆφος καὶ λειπομένων ἀρετῆς, ὁπόσον „τῇ τύχῃ, τοσαύτην ἀγωνίαν παρέσχε μοι."

Λειτουργῶ: δοτικῆ. Λυσίας· „ὃς λειτουργῆσαι μὲν „οὐδὲν πώποτε ἐτόλμησε τῇ πόλει."

Λύω: τὸ τίμημα γενικῆ, καὶ τὸ λυόμενον αἰτιατικῆ. Ἀππιανὸς Ἀννιβαϊκῆ· „εἰ θέλοιεν αὐτοὺς οἱ ἐν ἄστει „λύσασθαι χρημάτων."

Μ.

Μέμφομαι: αἰτιατικῇ. τρίτῳ Ὀλυνθιακῷ· „καὶ οὐχὶ „μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ἡμῶν." ὑποκατιὼν δὲ πρὸς δοτικήν· „οὐ λέγεις κακῶς τοὺς „τετελευτηκότας τῶν εὐεργετῶν, τῷ δεῖνι μεμφόμενος," καὶ κατὰ Μειδίου· „καὶ οὐδενὶ μέμφομαι."

Μνημονεύω: γενικῇ. ἐκ τοῦ περὶ τῆς εἰρήνης· „μη„κρὰ τῶν πρότερόν ποτε μνημονευθέντων ὑπ' ἐμοῦ „μνημονεύσαντας." ὑποκατιὼν δὲ πρὸς αἰτιατικήν· „ταῦτα γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος ἐνταυθοῖ μνη„μονεύετε οἶδα ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ δεινοὶ „τοὺς ἀδικοῦντας μεμνῆσθαι."

Μετεῖναι: μεθέξειν, γενικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „ἀλλ' οἶμαι τὸ πάντας ποιοῦν καὶ φιλοτιμεῖσθαι καὶ „ἀναλίσκειν ἐθέλειν ἐκεῖνό ἐστιν, ὅτι τῶν ἴσων καὶ „τῶν δικαίων ἕκαστος ἡγεῖται ἑαυτῷ μετεῖναι ἐν δη„μοκρατίᾳ."

Μετιόντων: ἀσκούντων, μετερχομένων, αἰτιατικῇ. Εὐσεβίου λόγῳ δευτέρῳ· „καὶ θαυμάζειν ἄξιον εἰς „δεῦρο γιγόμενον πρὸς τὴν ἔτι καὶ νῦν τὴν ἀπ' ἐκεί„νου μιαρωτάτην μετιόντα αἵρεσιν."

Μετεσχηκέναι: γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „διὰ „τοὺς πονηρευμένους, ὡς ἔοικε, τοῖς ἐπιεικέσι συμ„βεβηκὸς ἂν εἴη ταύτης τῆς ἀτιμίας μετεσχηκέναι."

Μέλει: τὸ πρόσωπον δοτικῇ, τὸ δὲ πρᾶγμα γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „μέλει οὐδενὶ τῶν κοινῶν." καὶ Ἀρριανός· „ὅτι μέλει αὐτῆς Ἀλεξάνδρῳ."

Μέτεισιν: ἐπέρχεται ἢ διαδέχεται. Ἀππιανὸς Παρθικῇ· „εἴ τις ἄρα νέμεσις τὰς πρόσθεν εὐτυχίας μέ„τεισι," πρὸς αἰτιατικήν.

Μαρτυρῶ: αἰτιατικῇ. ἐκ τοῦ παραπρεσβείας· „καὶ

„Διόφαντον ἐν ὑμῖν ἀπήγγελλεν, ἃ νῦν μαρτυρεῖν αὐ-
„τὸν ἀναγκάσω."

Μνησθῶ: γενικῇ. κατὰ Ἀριστοκράτους· „πρῶτον μέν,
„ἵνα τῶν τελευταίων πρῶτον μνησθῶμεν." αἰτιατικῇ
δὲ ἐκ τοῦ κατὰ Ἀριστογείτονος· „τὴν καθ' Ἡγήμονος 5
„εἰςαγγελίαν μέμνηται ὡς ἀπέδοτο."

Μεταδίδωμι: τὸ λαμβάνον πρόςωπον δοτικῇ, τὸ δι-
δόμενον γενικῇ. κατὰ Ἀριστοκράτους· „ὑμεῖς δέ, ὦ
„ἄνδρες Ἀθηναῖοι, πάσης τῆς πόλεως μεταδιδόντες
„αὐτῷ." Εὐσέβιος αἰτιατικῇ· „Αὐρηλιανῷ μεταδίδωσι 10
„τὴν ἡγεμονίαν." Κλαύδιος γὰρ τελευτήσας ὅλην τὴν
ἡγεμονίαν καὶ οὐ μέρος αὐτῆς δίδωσι τῷ διαδόχῳ: τὸ
δὲ μετὰ γενικῆς κυρίως τὴν τοῦ διδομένου τομὴν ση-
μαίνει.

Μισθοδοτῶ: μισθὸν παρέχω, δοτικῇ· „μισθοδοτῶ 15
„αὐτὰς αὐτοῖς."

Μισθοῦμαι: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους·
„πλὴν εἰ συγγενεῖς ὑπολαμβάνειν φησὶ τοὺς μισθου-
„μένους αὐτόν."

Μή: ἐν μέλλοντι μετὰ ὁριστικῆς ἐγκλίσεως. ἐκ τοῦ κα- 20
τὰ Τιμοκράτους· „ὅπως δὲ οὗτοι τὰ αἴσχιστα καὶ
„τὰ δεινότατα ποιοῦντες δίκην μὴ δώσουσιν." Ἰσο-
κράτης ἐν τῷ Πανηγυρικῷ· „ὅπως μηδὲν μήτε τῶν
„πατρίων καταλύουσι μήτε ἔξω τῶν νομιζομένων προς-
„θήσουσιν." τοῦτο δὲ ἐποίησεν ὁ ὅπως σύνδεσμος, 25
ὅςτις παρὰ τοῖς ῥήτορσιν ὁριστικοῖς συντασσόμενος
ἐκοίμησε τὴν δύναμιν τοῦ μή μετὰ μέλλοντος, ἀεὶ
ὑποτακτικὴν ἔγκλισιν ἐπιζητοῦντος ἢ τὴν ἰσοδυναμοῦ-
σαν αὐτῇ εὐκτικήν, ὡς τὸ „μὴ μετάσχοιτε τροφῆς."

Μοναρχῶ: γενικῇ. Δίωνος τριακοστῷ ἕκτῳ βιβλίῳ· 30
„οὔτε ἀνεπίφθονον ἔσται αὐτῷ πάντων τῶν ὑμετέρων
„μοναρχῆσαι."

Μνησικακῶ: Δίων τεσσαρακοστῷ τρίτῳ βιβλίῳ:

„τοῖς χωρίοις τοῖς μηδὲν σφᾶς ἀδικήσασι μνησικα-
„κήσας."

Μεταλαμβάνω: ἀντὶ τοῦ ἁρπάζω, αἰτιατικῇ. Ἀππιανὸς Ἀννιβαϊκῇ· „ἀνεπήδων τε ἐξ ὕπνου, καὶ τὰ ὅπλα
„μετελάμβανον."

Μισθοφορῶ: μισθοῦ στρατεύομαι ἢ ὑπηρετῶ. Ἀππιανὸς ἐν τῇ Μιθριδατικῇ· „τοὺς Ἕλληνας, οἳ ἐμ-
„σθοφόρουν αὐτῷ."

Ν.

Νεμεσῶ: τὸ μέμφομαι, πρὸς δοτικὴν ἐν τῷ πρὸς Λεπτίνην· „ἀλλὰ χρή γε ἀνθρώπους ὄντας τοιαῦτα λέγειν
„καὶ νομοθετεῖν, οἷς ἂν μηδεὶς νεμεσήσαι."

Νικῶ: αἰτιατικῇ. ἐκ τοῦ αὐτοῦ λόγου· „ἐνίκησε μὲν
„τοίνυν Λακεδαιμονίους μάχῃ, καὶ πεντήκοντα μιᾶς
„δεούσης ἔλαβε τριήρεις."

Νικῶμαι: γενικῇ. Δίων τεσσαρακοστῷ δευτέρῳ βιβλίῳ· „τὸ γάρ τοι τῶν τε παρόντων νικᾶσθαι, μήτε
„ἑαυτοὺς κατέχειν, τοῖς τε παρὰ τῆς τύχης δοθεῖσι
„μὴ καλῶς χρῆσθαι πολὺ χεῖρόν ἐστι τοῦ ἐκ κακο-
„πραγίας ἀδικεῖν."

Νομίζω: νομοθετῶ, αἰτιατικῇ. Δίων πρώτῳ βιβλίῳ· „ταῦτά τε οὖν ὁ Νουμᾶς ἐνόμισεν."

Ναυαρχῶ: δοτικῇ. Δίων ἐνάτῳ βιβλίῳ· „Λούκιος
„Οὐαλέριος, ναυαρχῶν τε Ῥωμαίοις καὶ σταλεὶς ποι
„ὑπ' αὐτῶν."

Νουθετῶ: αἰτιατικῇ. Ἰσοκράτης περὶ εἰρήνης· „πρὸς
„δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς."

Ναυμαχῶ: δοτικῇ. Θουκυδίδης πρώτῳ· „Κερκυραίοις
„τε καὶ Πελοποννησίοις ἅμα ναυμαχήσετε."

Νέμομαι: δοτικῇ. Ἀρριανὸς ἑβδόμῳ· „καὶ τοὺς οἰκή-
„τορας αὐτοὺς ἀμφὶ τὸ ἱερὸν τὰ τῆς διαίτης ποιεῖσθαι,

„νέμεσθαί τε αὐτὴν αἰξί τε ἀγρίαις καὶ ἐλάφοις, καὶ „ταύτας ἀνεῖσθαι ἀφέτους τῇ Ἀρτέμιδι."

Ξ.

Ξαίνω: ἐπὶ τοῦ μαστίζω, αἰτιατικῇ τὸν ἀριθμὸν τῶν μαστίγων. ἐκ τοῦ παραπρεσβείας· „περιῤῥήξας τὸν „χιτωνίσκον ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς."

Ο.

Ὀλιγωρῶ: πρὸς γενικήν. Ὀλυνθιακῶν πρώτῳ· „εἰ δὲ „θατέρας τούτων ὀλιγωρήσετε."

Ὅπως μετὰ ὁριστικοῦ ῥήματος. κατὰ Φιλίππου τρίτῳ· „ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην „δώσει." καὶ πάλιν· „ὅπως μὴ δουλεύσουσιν οἱ πολῖ- „ται πράττοντες." καὶ μετά τινα· „ὅπως ἡ πόλις λη- „φθήσεται." καὶ πάλιν καὶ ἐν τῷ τετάρτῳ κατὰ Φιλίππου· „οὐδὲ ἐπιβουλεύει καὶ σκοπεῖ μᾶλλον οὐ- „δὲν τῶν ἁπάντων, ἢ ὅπως ταύτην καταλύσει." καὶ ἐν τῇ πρὸς Φίλιππον ἐπιστολῇ· „καὶ ταῦτα δεηθεὶς λέ- „γειν ἐθέλει μηδὲ ἐπανορθοῦν, μηδὲ ὅπως παύσεται „τοιαῦτα ὄντα πράττει." καὶ ἐκ τοῦ κατὰ Τιμοκρά- τους· „εἰ τοῖς ἱεροσύλοις, ὅπως σωθήσονται, νόμον „φανεῖται τιθεμένη." καὶ Ἰσοκράτης· „ὅπως ἀκριβῶς „καὶ καλῶς ἕξουσι." Καὶ Θουκυδίδης μετὰ εὐκτικοῦ καὶ ὑποτακτικοῦ· „ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυ- „κτωρίας τοῖς πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν." καὶ πάλιν κατὰ Τιμοκράτους μετὰ ὑποτακτικοῦ· „ὅπως τῶν „νομιζομένων τύχωσι." καὶ ἐν τῷ πρὸς Ζηνόθεμιν· „ὅπως τοῖς Ἀθηναίοις σωθῇ τὰ χρήματα." καὶ Θουκυ- δίδης· „ὅπως τε ταῦτα ἀργυρολογήσωσι τὰ χωρία." καὶ πάλιν μετὰ εὐκτικοῦ καὶ ὑποτακτικοῦ Δημοσθέ- νης ἐν μιᾷ συντάξει· „ὅπως ἂν μηδετέρῳ ἐξουσία γέ-

„νηται ἰδίᾳ ζητεῖν, ἀλλὰ κοινῇ βουλευόμενοι ἅπαν-
„τα πράττωμεν."

Ὀνειδίζω: δοτικῇ. τετάρτῳ Φιλιππικῶν· „τί οὖν μαν-
„θάνοντες τοῦτο ὀνειδίζοιμεν ἀλλήλοις;" καὶ Ἰσοκράτης· „μηδενὶ συμφορὰν ὀνειδίσῃς."

Ὀργίζομαι: δοτικῇ. ἐπιστολῇ Φιλίππου· „εἰ δὲ ὑμε-
„τέρα, πῶς οὐκ ἐκείνοις ὀργίζεσθε;"

Οὔτέ: ἐκ τοῦ περὶ στεφάνου· „οὔτε γὰρ εἰς τὴν πόλιν
„εἰσελθόντος τοῦ στρατοπέδου, οὐδεὶς οὐδὲν οὐδὲ ἀδί-
„κως ὑμῖν ἐνεκάλεσεν." τέσσαρα οὔ ἀντὶ τοῦ ἑνός, ἀντὶ τοῦ εἰπεῖν οὐδὲ ἀδίκως τις ὑμῖν ἐνεκάλεσεν.

Ὀμνύω: πρὸς αἰτιατικὴν ὁ ὅρκος. ἐκ τοῦ περὶ στεφά-
νου· „οὐκ ἄριστα νῦν ὑμᾶς ἀξιοῖ ψηφίσασθαι τοὺς
„ὀμωμοκότας τοὺς θεούς."

Ὀφείλω: τὸ χρεωστῶ, δοτικῇ. κατὰ Μειδίου· „ἵνα
„μηδ' ὀφείλειν οἴησθέ τι τῷ καταπτύστῳ τούτῳ." καὶ Δίων· „εὐεργεσιῶν ὑμῖν ὀφειλήσει."

Οὐδεὶς ὅστις οὐκ ἄν: ἐκ τοῦ κατὰ Μειδίου· „τίς
„γάρ ἐστιν ὅστις καταχειροτονηθέντος αὐτοῦ, καὶ
„ταῦτα ἀσεβεῖν περὶ τὴν ἑορτήν, εἰ καὶ μηδεὶς ἄλ-
„λος ἐπῆν ἀγὼν ἔτι μηδὲ κίνδυνος, οὐκ ἂν ἐπ' αὐτῷ
„τούτῳ κατέδυ καὶ μέτριον παρέσχεν ἑαυτόν, τόν γε
„δὴ μέχρι τῆς κρίσεως, εἰ καὶ μὴ πάντα; οὐδεὶς ὅς-
„τις οὐκ ἄν. ἀλλ' οὐ Μειδίας." ὅτι δὲ πλεῖστον εὑρί-
σκεται ἡ οὔ ἀπόφασις διττή, τῆς μιᾶς ἴσθ' ὅτε οὔ-
σης περιττῆς, ἐπὶ βεβαιώσει ἀρνήσεως, δηλοῖ καὶ τὸ κατὰ Ἀριστοκράτους· „οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ
„ἄνδρες Ἀθηναῖοι, παρὰ τούτοις ἐπὶ τῇ τοῦ πλεονε-
„κτεῖν προαιρέσει οὐδὲν οὔτε βέβαιον οὔθ' ὅσιον." καὶ οὐδείς ἀντὶ τοῦ τίς, οἷον κατὰ Ἀριστοκράτους· „οὐδ' ἔστιν οὐδεὶς ὅστις ἂν εἴποι," ἀντὶ τοῦ οὐδέ τίς ἐστιν.

Ὁμοι-

Ὁμοιότατος: δοτικῇ. κατὰ Ἀνδροτίωνος· „ἵνα ὁμοιό-
„τατοι σφίσιν ὦσιν."

Ὀριγνῶ: τὸ ἐπιθυμῶ, γενικῇ. πρώτῳ βιβλίῳ Δίων·
„καὶ γὰρ ἐν ἀρχαῖς τισὶ τελευταίων ὀριγνώμενοι, καὶ
„τὰς δαπάνας οὐκ ἀκουσίους ὑπομένομεν." 5

Ὀρεγόμενος: γενικῇ. ἐκ τοῦ πρὸς Δημόνικον Ἰσοκρά-
τους· „δόξης ὀρεγομένους καὶ παιδείας ἀντιποιου-
„μένους."

Π. 10

Προςεδρεύω: δοτικῇ. Ὀλυνθιακῶν πρώτῳ· „προςκα-
„θεδεῖται καὶ προςεδρεύσει τοῖς πράγμασι." καὶ Δί-
ων· „ἀλλὰ προςεδρεύσαντες ἑαυτοῖς τὴν νύκτα."

Περιέσται: κατισχύσει. Ὀλυνθιακῶν πρώτῳ πρὸς γε-
νικήν· „περιέσται τῷ χρόνῳ τῶν πολιορκουμένων." 15
καὶ ἐκ τοῦ παραπρεςβείας· „ἀλλ' οἶμαι περιῆσαν οὗ-
„τοί μου."

Περιστᾶσαι: αἰτιατικῇ. Ὀλυνθιακῶν τρίτῳ· „χω-
„ρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης." καὶ
πάλιν· „καὶ τοσαῦτα πράγματα περιέστηκε τοὺς Ἕλ- 20
„ληνας ἅπαντας."

Παραχωρῶ: τὸ μὲν ἀποβαλλόμενον γενικῇ, ὃς δὲ λαμ-
βάνει, δοτικῇ. ἐκ τοῦ περὶ τῆς εἰρήνης· „καὶ Φιλίπ-
„πῳ νυνὶ κατὰ συνθήκας Ἀμφιπόλεως παρακεχωρή-
„καμεν." καὶ πάλιν· „τῇ πόλει παραχωρῶ τῆς τι- 25
„μωρίας."

Προςαγορεύω: αἰτιατικῇ. Διονυσίου· „προςαγορεύω
„σὲ τὴν ἱερὰν ψυχήν."

Πολεμῶ: δοτικῇ. περὶ τῶν ἐν Χερρονήσῳ· „βεβαίως
„γνῶναι ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρή- 30
„νην λέλυκεν."

Προςήκει: δοτικῇ. τετάρτῳ Φιλιππικῶν· „ὅταν γὰρ
„οἱ ἀδικούμενοι ἀρνῶνται, τί τῷ ἀδικοῦντι προςήκει;"

Πωλῶ: πρὸς γενικὴν τὸ τίμημα, αἰτιατικῇ δὲ τὸ πωλούμενον. ἐκ τοῦ πρὸς τὴν Φιλίππου ἐπιστολήν· „τὰ „τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πω„λοῦντες."

Πραττόμενοι: ἀπαιτοῦντες, αἰτιατικῇ καὶ τὸ διδόμενον καὶ ὁ ἀπαιτούμενος· „οὐδέ γε ἴσως Συρακού„σιοι, τὸ πάλαι δημοκρατούμενοι, καὶ φόρους Καρχη„δονίους πραττόμενοι." ἐπὶ δὲ τοῦ ποιεῖν Θουκυδίδης δοτικῇ πρώτῳ· „μὴ αἴσχιον καὶ ἀπορώτερον Πελο„ποννήσῳ πράξομεν."

Προορῶ: αἰτιατικῇ. ἐκ τοῦ αὐτοῦ· „καὶ προορωμέ„νους τὸ μέλλον φαίνεσθαι."

Προσκρούω: δοτικῇ. ἐκ τοῦ περὶ στεφάνου· „καὶ οὐ„δὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ „προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας." καὶ ἐκ τοῦ κατὰ Ἀριστογείτονος· „καὶ προπετῶς ἅπασι προσκρούων."

Πιστεύω: αἰτιατικῇ. ἐκ τοῦ παραπρεσβείας· „καὶ οὔ„τε ἀκούειν ἠθέλετε, οὔτε πιστεύειν ἐβούλεσθε ἄλλα, „πλὴν ἃ οὗτος ἀπηγγέλκει." Δίων τριακοστῷ τρίτῳ βιβλίῳ δοτικῇ· „πῶς δ' ἄν τις πιστεύσειεν αὐτῷ;" ἀλλὰ τοῦτο μὲν ἐπὶ προσώπου, ἐκεῖνο δὲ ἐπὶ πράγματος.

Ποιῶ: αἰτιατικῇ. ἐκ τοῦ περὶ στεφάνου· „καὶ μετὰ „ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς ἐμὲ κακῶς ποιεῖν." ὅταν δέ ἐστι κατὰ περιποίησιν, δοτικῇ· „πάσχειν οὖν „αἱρεῖται παρ' ὑμῖν μᾶλλον ἢ πάθος αἱ γυναῖκες „ἐνιαυτῷ ὅλῳ ἐποιήσαντο." δοτικῇ δὲ πάλιν τὸ πρόσωπον, ᾧ ποιεῖται τὸ γινόμενον, μετά τινα· „τῷ γὰρ „Μάρκῳ, ἀνελθόντι τε εἰς τὸ Καπιτώλιον, καὶ τοῖς „θεοῖς εὐχὰς ὑπὲρ τῶν παρόντων ποιουμένῳ."

Προπίνω: παρέχω, δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ προὔπινεν αὐτοῖς."

Περιγίνομαι: γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „εἶτα

„κρατῆσαι καὶ περιγενέσθαι δεῖ τοὺς τὰ βέλτιστα „λέγοντας τῶν ἢ δι᾽ ἄγνοιαν ἢ διὰ μοχθηρίαν ἀντι- „λεγόντων."

Παρακρούομαι: ἀπατῶμαι, αἰτιατικῇ. ἐκ τοῦ παραπρεσβείας· „ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον „ὑμᾶς." ἄλλως τε· „ἀλλὰ φενακίσας καὶ παρακρουσά- „μενος ὑμᾶς." 5

Πλήθω: γενικῇ· „καὶ τοσαύτης παροινίας καὶ μανίας „ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους, ὥςθ᾽ ἵνα ἀλ- „λήλων ἄρχωσιν." 10

Παραπλήσια καὶ ὅμοια: δοτικῇ· „ἆρά γε ὅμοια „καὶ παραπλήσια τούτοις;"

Παραιτοῦμαι: ἀντὶ τοῦ ἱκετεύω, πρὸς αἰτιατικήν. ἐκ τοῦ κατὰ Μειδίου· „παραιτήσομαι δ᾽ ὑμᾶς μηδὲν „ἀχθεσθῆναί μοι." 15

Παρά: ἀντὶ τῆς διά. ἐκ τοῦ κατὰ Μειδίου· „καὶ ταῦ- „τα πέπονθεν ὑπὸ Μειδίου καὶ τοῦ Μειδίου πλούτου „καὶ τῆς ὑπερηφανίας παρὰ τὴν πενίαν καὶ ἐρημίαν „καὶ τὸ τῶν πολλῶν εἷς εἶναι."

Προξενῶ: ἀντὶ τοῦ ἐπιστατῶ, γενικῇ. ἐκ τοῦ κατὰ Μειδίου· „Πλουτάρχου προξενεῖ." πρόξενος γάρ ἐστιν ὁ προστάτης καὶ φροντιστής. ὁ αὐτὸς ἐν τῷ πρὸς Λεπτίνην· „πρόξενοι μέντοι πολλοὶ διὰ τῶν πολιτευομέ- „νων γεγόνασι παρ᾽ ὑμῖν." 20

Πρόσεχω: γενικῇ. κατὰ Ἀριστοκράτους· „εἰκότως δ᾽ ὦ „ἄνδρες Ἀθηναῖοι, καὶ προσέχοιτέ μου τὸν νοῦν, καὶ „μετ᾽ εὐνοίας ἀκούσαιτε, ἃ λέγω." κἂν τὸ „πρόσσχες „ᾧ λέγω" μετὰ δοτικῆς. 25

Παρά: τὸ ἐναντίον καὶ μακρὰν κεχωρισμένον, γενικῇ. κατὰ Ἀριστοκράτους· „πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, „νόμων ὄντων, παρ᾽ οὓς εἴρηκεν" ἤγουν ἐναντίον καὶ ἀπέχοντα. καὶ Ὅμηρος ἐν τῷ Κ· 30

πολλῆσί μ᾽ ἄτησι παρὲκ νόον ἤγαγεν Ἕκτωρ·

παρὰ τὸν νοῦν με ἤγαγεν ἤγουν πόρρωθεν νοῦ καὶ μακρὰν κεχωρισμένον.

Προΐσταμαι: γενικῇ. ἐκ τοῦ κατὰ Ἀριστοκράτους· „καὶ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, καλόν, εἰ καὶ „τῶν Ἑλλήνων ἐπ' ἐλευθερίᾳ προεστάναι φάσκοντες, 5 „τοὺς ἰδίας δυνάμεις ἐπὶ τοῖς πλήθεσι κεκτημένους „δορυφοροῦντες φαινόμεθα;"

Πρίν: μετὰ ὁριστικοῦ συντάσσεται. ἐκ τοῦ κατὰ Ἀνδροτίωνος· „οὐ πρότερον τῷ πολέμῳ παρέστησαν, πρὶν „τὸ ναυτικὸν αὐτῶν ἀπώλετο." μετὰ δὲ ἀπαρεμφάτου 10 παρὰ Δίωνι· „οὐκοῦν οὐδ' ἄρχοντες, πρὶν διανομο- „θετηθῆναι αὐτῶν, ὠνομάζοντο." Θουκυδίδης μετὰ ὁριστικοῦ ἐν δευτέρῳ· „οὐκ ἐπαύσαντο, πρὶν ἐζημίω- „σαν χρήμασιν." ὡς καὶ „πρὶν ὠδίνησας, ἔτεκες."

Πρός: ἀντὶ τῆς ὑπό. Δίων πρώτῳ· „οὕτω που φύσει 15 „πᾶν τὸ ἀνθρώπινον οὐ φέρει πρός τε τοῦ ὁμοίου καὶ „τοῦ συνήθους, τὰ μὲν φθόνῳ, τὰ δὲ καταφρονήσει „αὐτοῦ, ἀρχόμενον."

Πειθαρχῶ: δοτικῇ. δευτέρῳ βιβλίῳ Δίων· „ὡς δὲ οὐ- „δὲν ὅ τι οὐκ ἐπειθάρχουν αὐτῷ." 20

Πείθομαι: δοτικῇ. ἐκ τοῦ κατὰ Ἀριστοκράτους· „ἀναγκαῖον ἡγούμην εἶναι πείθεσθαι τοῖς ἡμετέροις „βουλεύμασι." Δίων πρὸς γενικήν· „οὐχ ὅπως ἐπεί- „σθησαν αὐτοῦ."

Πειρῶ: γενικῇ. Δίων δευτέρῳ βιβλίῳ· „καὶ ἐκχωρή- 25 „σας ἐκ τῆς τῶν Ῥωμαίων γῆς, πολλαχῇ μὲν τῶν „προσοίκων ἐπείρασεν."

Πρὸ πολλοῦ: ἀντὶ τοῦ περὶ πολλοῦ. τρίτῳ βιβλίῳ Δίων· „καὶ πρὸ πολλοῦ κομίσασθαι τὰ προϋπάρξαντά οἱ „ποιεῖται." καὶ Θουκυδίδης πρώτῳ· „εἰ ἦν ὑμεῖς ἂν 30 „πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσασθε."

Παραδυναστεύω: γενικῇ. Δίων τρίτῳ· „οὐχ ὅπως

„πρὸς αὐτῶν τῶν βασιλευόντων σφῶν, ἀλλὰ καὶ πρὸς „τῶν παραδυναστευόντων αὐτοῖς γίνεται."

Πυνθάνω: γενικῇ. Ἰσοκράτης· „ἡδέως δ' ἂν πυθοί- „μην τῶν οὕτω διακειμένων."

Προστιμῶμαι: γενικῇ ἡ ὕλη, τὸ δὲ πρόσωπον δοτικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „γράψας ἀναιδῶς, εἴ τίνι „προστετίμηται δεσμοῦ." ἀλλὰ καὶ χωρὶς τῆς πρός. ἐκ τοῦ αὐτοῦ· „τίς γὰρ ἢ τούτων ἢ ἐκείνων χρεία καὶ „ὅταν, οἷς τετίμηται δεσμοῦ, λύωνται." καὶ πάλιν· „ἀλλ' ὅτι πέντε ταλάντων προσετιμήσατε."

Προπηλακίζω: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Ἀριστογείτονος· „ἀλλὰ τὴν ὑμετέραν χειροτονίαν προπηλακίζων."

Προσποιοῦμαι: αἰτιατικῇ. Δίων ὀγδόῳ βιβλίῳ· „καὶ „προσποιοῦμαι τὸ ἀδίκημα, καὶ ὁμολογῶ τὴν ἐπιορ- „κίαν." ἐν δὲ τριακοστῷ τρίτῳ βιβλίῳ γενικῇ· „διὸ οὖν ταῦτα ἐκεῖνος τὸν μὲν ἄλλον χρόνον οὔ τέ „τι προσεποιεῖτο αὐτῶν." ἐν τριακοστῷ πέμπτῳ βι- βλίῳ δοτικῇ, ἀντὶ τοῦ ἀγαθὸν ποιῆσαί τι „ἢ τοῖς „πολεμίοις ἡμῶν προσποιῆσαι" ἤγουν συνάρασθαι.

Προτιμῶ: ἀντὶ τοῦ ἀξιώτερον ἡγοῦμαι. Δίων ἐννεα- καιδεκάτῳ βιβλίῳ γενικῇ· „Ταραντῖνοι μὲν οὖν οὐ- „δὲν οὐδὲ ἐκείνου προτιμήσαντες."

Προέσθαι: ἀντὶ τοῦ προτιμήσασθαι, αἰτιατικῇ. Δίων ἑνδεκάτῳ βιβλίῳ· „οὔτε γὰρ πρὸς ἐμοῦ, οὔτε πρὸς „ἄλλου ἀνδρὸς ἀγαθοῦ οὐδενός ἐστι προέσθαι τι τῶν „κοινῇ συμφερόντων."

Προβαλλόμενος: προδιδούς, αἰτιατικῇ. πρώτῳ βι- βλίῳ Δίων· „ἐν ᾧ καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν πα- „ραβαλλόμενος ὑπὲρ ὑμῶν ἐκινδύνευσεν."

Παραμυθοῦμαι: αἰτιατικῇ. ἑνδεκάτῳ βιβλίῳ· „ἄλ- „λος ἄν τις, παραμυθήσασθαι τὴν καθ' ἑαυτὸν συμ- „φορὰν ἐθελήσας, ἐξῆρεν ἂν τὰ τῶν πολεμίων."

Προστατῶ: αἰτιατικῇ. Δίων ἐννεακαιδεκάτῳ βιβλίῳ· „περι . . . . τὰ δὲ ὑμέτερα ἐγώ τε ἀεὶ προστατῶ."

Περιῆν: γενικῇ Δίων. ἐκ τοῦ αὐτοῦ· „περιῆν αὐτοῖς „τῆς σχολῆς."

Παρίστημι: λαμβάνω, αἰτιατικῇ. Δίων εἰκοστῷ δευτέρῳ βιβλίῳ· „ὧν τὰ μὲν βίᾳ ἤρει, τὰ δὲ καὶ ὁμολο- „γίᾳ παρίστατο."

Πείθω: αἰτιατικῇ, κἂν τὸ πείθομαι δοτικῇ. εἰκοστῷ ὀγδόῳ βιβλίῳ Δίων· „οὐχ ὅπως οὐκ ἔπεισέ τινας, „καί πέρ τινα ἀληθῆ λέγων."

Προσκατεργάζομαι: αἰτιατικῇ. Δίων ἐννεακαιδεκάτῳ βιβλίῳ· „ῥᾷον καὶ τὰ λοιπὰ προσκατεργάσασθαι."

Περιεῖναι: τὸ κατισχύειν. γενικῇ τὸ πρᾶγμα, τὸ δὲ πρόσωπον δοτικῇ. Δίων ἐννεακαιδεκάτῳ βιβλίῳ· „ἐπειδὴ δὲ καὶ ὡς περιῆν αὐτοῖς τῆς σχολῆς, τὰς ὁδοὺς „δι' αὐτῶν κατεσκευάσαντο." καὶ τεσσαρακοστῷ ἑνάτῳ· „τοσοῦτόν γε τῆς θρησκείας αὐτῷ περιῆν."

Προστάσσω: δοτικῇ. Δίων τριακοστῷ πρώτῳ βιβλίῳ· „καὶ τῷ Μιθραδάτῃ αὐτὸς πρός τε τοῦ δήμου καὶ „πρὸς τῆς βουλῆς προστετάχθαι."

Προνοῶ: γενικῇ. Δίων τριακοστῷ ἕκτῳ βιβλίῳ· „δεῖ „δὲ δή που καὶ τοῦ τοιούτου τὸν φρόνιμον ἄνδρα πε- „ρινοεῖσθαι."

Προσπολεμῶ: αἰτιατικῇ, ἀντὶ τοῦ πολεμίους καθιστῶ. Δίων τριακοστῷ ἕκτῳ βιβλίῳ· „καὶ βασιλέας „προσεπολεμώσατο, τοὺς δὲ προσεποιήσατο."

Πρωτεύω: γενικῇ. Δίων τριακοστῷ ἑβδόμῳ βιβλίῳ· „ἔπειτα αἰσθόμενος τὸν ὅμιλον ἑαυτοῦ μὲν μηδὲν „προτιμῶντα, τῷ δὲ Δολοβέλλᾳ μόνον προσκείμενον, „ἠχθέσθη."

Πιστεύω: δοτικῇ. Δίων τεσσαρακοστῷ τετάρτῳ βιβλίῳ· „καί τοι τῇ ψυχῇ μὲν πιστεύων, ὅτι οὐδὲν ἐκ- „λαλήσει, ὅμως ἠπίστει τῷ σώματι."

Προείδω: ἀντὶ τοῦ προγοῶ, προνοοῦμαι, γενικῇ. *Δίων τεσσαρακοστῷ δευτέρῳ βιβλίῳ· „τῶν δὲ δὴ μελλόντων „προειδόμεθα.”*

Πολυπραγμονῶ: γενικῇ. *Δίων τεσσαρακοστῷ πρώτῳ βιβλίῳ· „ἐπειδὴ δὲ γέγονεν, οὐδὲν ἐκείνων οἶμαι δεῖν „ὑμᾶς πολυπραγμονῆσαι.”* 5

Προσκοπῶ: δοτικῇ. *Δίων τεσσαρακοστῷ ἕκτῳ βιβλίῳ· „καὶ οὔτε χάρις φίλων οὔτε φόβος ἐχθρῶν „ἀπείργει τὸ μὴ οὐ τὰ συμφέροντα ὑμῖν προσκοπεῖν.”*

Παραινῶ: δοτικῇ. 10

Πλεονεκτῶ: γενικῇ. *Δίων τεσσαρακοστῷ ὀγδόῳ βιβλίῳ· „κἀκ τούτου πλεονεκτοῦντές τε ἅμα ἀλλήλων „καὶ ἐλαττούμενοι οἷς εἶπον.” καὶ πεντηκοστῷ δευτέρῳ βιβλίῳ αἰτιατικῇ· „τοὺς μὲν δὴ οὖν δυνατοὺς μὴ „πλεονεκτεῖν τινά, μηδ᾽ αὖ συκοφαντεῖσθαι ἔα.” καὶ ὁ* 15 *Θεολόγος εἰς τὸν Συντακτήριον αἰτιατικῇ· „μή τι τὸν „λαὸν τοῦτον ἐπλεονεκτήσαμεν.”*

Προσκυνῶ: αἰτιατικῇ. *Δίων πεντηκοστῷ πρώτῳ βιβλίῳ· „τότε δὲ πρὸς τὰς εἰκόνας αὐτοῦ προσέπιπτε, „καὶ ἐκείνας προσεκύνει.” καὶ πεντηκοστῷ ὀγδόῳ βιβλίῳ αἰτιατικῇ· „καὶ ὃν τῷ περιπορφύρῳ ἱματίῳ „ἐκεκοσμήκεσαν, ἐπὶ κόρρης ἔπαιον· ὃν προσεκύνουν, „ᾧ τε ὡς θεῷ ἔθυον, τοῦτον θανατώσοντες ἦγον.”* 20

Παρακελεύω: δοτικῇ, ὡς καὶ τὸ ἁπλοῦν τὸ κελεύω. *Δίων πεντηκοστῷ πρώτῳ βιβλίῳ· „θαρρεῖν τε αὐτῇ „αὖθις παρεκελεύσατο.”* 25

Παραμελῶ: *Δίων τεσσαρακοστῷ τετάρτῳ βιβλίῳ γενικῇ· „καὶ οὐκ ἐν μὲν τοῖς κοινοῖς τοιοῦτος, τῶν δὲ „ἰδίων παρημέλει.”*

Πρεσβεύειν: γενικῇ, τὸ προάρχειν. *Δίων πεντηκοστῷ ἑβδόμῳ βιβλίῳ· „καὶ διὰ τοῦτο οὐχ ὅσον ἐξ ἴσου οἱ „ἄρχειν, ἀλλὰ καὶ πρεσβεύειν αὐτοῦ ἠθέλεν.”* 30

Περιέπω: αἰτιατικῇ. *Δίων ἑξηκοστῷ πρώτῳ βιβλίῳ·*

„ἀλλ' ἡ Ἀγριππῖνα τούς τε ἄλλους τοὺς περιέποντας „αὐτὸν τοὺς μὲν ἐξέβαλλεν."

Προνοῶ: τὸ προγινώσκω, αἰτιατικῇ. Δίων ἑξηκοστῷ τετάρτῳ βιβλίῳ· „ἦν δὲ δεινότατος τό τε μέλλον ἀκρι- „βῶς προνοῆσαι."

Ποιοῦμαι συγγνώμην: ἀντὶ τοῦ συγχωρεῖν, δοτικῇ. Δίων ἑβδομηκοστῷ τετάρτῳ βιβλίῳ· „ἀνδρῶν „γάρ ἐστι φρονίμων μήτ' ἄρχειν πολέμου, μήτ' ἐπι- „φερόμενον αὐτὸν ἀναδύεσθαι, ἀλλὰ τῷ μὲν ἐθέλοντι „σωφρονήσαντι συγγνώμην, κἂν προαμάρτῃ τι, ποι- „εῖσθαι."

Προήσεται: δοτικῇ. Δημοσθένης ὁ μικρός, ἐν οἷς ἑαυτὸν προαγγέλλει· „καὶ οὐκ ἔστιν ὅπως προήσεταί „με τοῖς Μακεδόσιν."

Πρεσβεύω: αἰτιατικῇ, πρὸς ὃν γίνεται ἡ πρεσβεία· τὸ γὰρ περιποιητικὸν δοτικῇ· „πρεσβεύει τοῖς Ἀθηναίοις" ἤγουν ὑπὲρ Ἀθηναίων. τοῦ δὲ ἄλλου ὁ Θεολόγος ἐκ τοῦ περὶ τοῦ ἁγίου πνεύματος· „ἡμεῖς δὲ τοσοῦτον „θαῤῥοῦμεν τῇ θεότητι τοῦ πνεύματος, ὃ πρεσβεύο- „μεν." καὶ εἰς τὸν Συντακτήριον· „ναὶ πρὸς τῆς τριά- „δος αὐτῆς, ἣν πρεσβεύομεν."

Περιεῖδον: Ἰσοκράτης αἰτιατικῇ· „μὴ περιίδῃς τὴν „σαυτοῦ φύσιν."

Περὶ πολλοῦ ποιοῦμαι: αἰτιατικῇ. Ἰσοκράτης· „τοὺς δὲ νοῦν ἔχοντας, καὶ δυναμένους ὁρᾷν τι πλέον „τῶν ἄλλων, περὶ πολλοῦ ποιοῦμαι."

Προαιροῦμαι: αἰτιατικῇ. Ἰσοκράτης· „προαιρεῖσθαι „τῶν λόγων μὴ τοὺς ἡδίστους."

Πορίζω: δοτικῇ· „τοῖς ἀπὸ τῶν κοινοῖς ἐχθροῖς τὸν „μισθὸν ἐκπορίζομεν."

Προΐσταμαι: γενικῇ. Ἰσοκράτης· „οὐ μὴν ἀλλ' ὅσῳ „μικροψυχότεροι τυγχάνουσιν ὄντες οἱ προεστῶτες „ὑμῶν."

Ἡησιάζω: δοτικῇ. Ἰσοκράτης· „ὥστε ἐξ οὗ τὴν βα-
„σιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι πεπλη-
„σιακώς, πλὴν τῆς ἐμαυτοῦ γυναικός."

Περιχέομαι: αἰτιατικῇ. Προκόπιος· „καὶ μήτηρ μὲν
„περιεκέχυτο παῖδα." 5

Περισαίνω: αἰτιατικῇ. Προκόπιος εἰς τὸν γάμον
Μελετίου· „ὃ μὴ τὴν φύσιν ἀρνεῖται, καὶ περισαί-
„νει τὸν ἔρωτα."

Περιφρονῶ: αἰτιατικῇ.

Προκινδυνεύω: δοτικῇ. Θουκυδίδης πρώτῳ· „φαμὲν 10
„γὰρ Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι τῷ βαρ-
„βάρῳ."

Περί: Θουκυδίδης δοτικῇ· „δείσαντες περὶ τοῖς ἔξω."

Προσπίπτω: Θουκυδίδης δευτέρῳ· „πᾶσι γὰρ ἐν τοῖς
„ὄμμασι, καὶ ἐν τῷ παραυτίκα ὁρᾶν πάσχοντάς τι 15
„ἀηθες, ὀργὴ προσπίπτει."

Προκόπτω: τὸ προοδοποιῶ. Θουκυδίδης τετάρτῳ·
„κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς οἰκεί-
„οις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις."

Πλήθω: Θουκυδίδης δοτικῇ ἑβδόμῳ· „ὥστε δάκρυσι 20
„πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ,
„μὴ ῥᾳδίως ἀφορμᾶσθαι."

Πίνω: γενικῇ. Ἱπποκράτης ἐν τῷ περὶ ἀρχαίης ἱστο-
ρίης· „ἀντὶ πυρῶν ἄρτον διδόναι."

Προσεγγίζω: δοτικῇ. τοῦ Νύσης· „καὶ ἐν τῷ δυς- 25
„θεωρήτῳ γνόφῳ διὰ πίστεως τῷ θεῷ προσεγγίσης."

Προδικῶ: γενικῇ. Λυσίας· „ὅτι προδικῶ τοῦ ἀλλο-
„τρίου ἀπελευθέρου," ἀντὶ τοῦ ὑπεραπολογοῦμαι ἢ
ἐκδικῶ.

Προστιθῶ: αἰτιατικῇ, ἀντὶ τοῦ κλείω. ἐν τῇ περὶ 30
τοῦ Ἐρατοσθένους φόνου ἀπολογίᾳ· „καὶ ἐξιοῦσα
„προστίθησι τὴν θύραν."

Πρεσβεύω: αὐτὸ τὸ πρεσβευόμενον, αἰτιατικῇ. Ἀρρι-

ανὸς τετάρτῳ· „τὸν Κλεῖτον, ἤδη οὐκέτι ἐν αὐτοῦ „ὄντα, πρεσβεύειν μὲν τὰ τοῦ Φιλίππου, καταβάλ- „λειν δὲ Ἀλέξανδρον." τὸ πρεσβεύειν οὖν ἀντὶ τοῦ μεγαλύνειν.

Προαγρυπνῶ: Ἀρριανὸς ἑβδόμῳ· „προαγρυπνῶν ὑμῶν „οἶδα, ὡς καθεύδειν ἔχετε ὑμεῖς."

Προπίνω: ἀντὶ τοῦ τιμῶ, μετὰ δοτικῆς. Ἀρριανὸς τετάρτῳ· „προπίνειν φιάλην χρυσῆν ἐν κύκλῳ Ἀλέξαν- „δρον."

Πρὸς θυμοῦ: ἀντὶ τοῦ ἐπιθυμητόν, περίψυχον, ἀγα- πητόν. Ἀρριανὸς ἑβδόμῳ· „οὐχ ὡσαύτως εἶναι αὐ- „τῷ πρὸς θυμοῦ Ἀντίπατρον."

Παρεγγυῶ: δοτικῇ. Ἀρριανός· „ταὐτὸ δὲ τοῦτο παρ- „εγγύησε καὶ τοῖς ἀποσπασθεῖσιν ἀπὸ τῆς σὺν αὐτῷ „στρατιᾶς."

Πολιτεύω: ἐνεργητικῶς, Ἀρριανὸς τρίτῳ· „ὑμῖν δὲ „τοὺς πατρίους νόμους ἀποδούς, ἐν ἐλευθερίᾳ πολι- „τεύειν ἀπέδωκεν."

Παρευδοκιμῶ: ἀντὶ τοῦ περιφρονῶ. Ἰωάννου τοῦ Λυδοῦ· „καὶ παρευδοκίμουν οἱ Πέρσαι Ῥωμαίους, „Θεοδοσιανοῦ καὶ τοῦ παιδὸς αὐτοῦ Τίτου ταῖς Ἰου- „δαϊκαῖς μάχαις ἐνησχολημένων."

Παρατροχάσαι: ἤγουν παρατρέχειν, δοτικῇ. Ἀπ- πιανὸς Συριακῇ· „παρατροχάσαι ἐπὶ πλεῖστον αὐτῷ."

Πταίω: δοτικῇ κατὰ τὸ πρᾶγμα. Δημοσθένης ἑαυτὸν προσαγγέλλοντι· „ἐγὼ δέ, εἰ καὶ νῦν δυστυχῶ καὶ τοῖς „πολλοῖς ἐπταικέναι δοκῶ."

Πιπράσκω: γενικῇ. Ἀππιανὸς πρώτῳ· „πιπράσκων „χρημάτων πολλῶν." καὶ ἐν δευτέρῳ· „πραθῆναι πάν- „τα τοσοῦδε, ὅσου τὸν ἐκ τυραννίας ἐώνητο."

Πρεσβεύειν: ἀντὶ τοῦ ἱκετεύειν, μετὰ τῆς εἰς· „πρες- „βεύειν εἰς Καίσαρα," Ἀππιανὸς τετάρτῳ.

Ρ.

Ῥυφῶ: αἰτιατικῇ. Ἱπποκράτης ἐν τῷ περὶ νόσων δευτέρῳ· „ῥυφεῖν δὲ πτισάνης χυλὸν καὶ ἀοινεῖν τὸ „πάμπαν." 5

Σ.

Συνάρασθαι: δοτικῇ. Δημοσθένης Ὀλυνθιακῶν πρώτῳ· „ἑτοίμως συνάρασθαι τὰ πράγματα," οἷον κατα- 10 σκευάσαι καλῶς.

Συνεργῶ: δοτικῇ. ἐκ τοῦ περὶ τοῦ στεφάνου· „συμ- „περαναμένων δὲ τῶν ἄλλων τῶν συνεργούντων αὐτῷ „τὴν πρὸς τοὺς Θηβαίους ἔχθραν."

Σύνοιδα: δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „οὐκοῦν ἐγώ, „ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνειδέναι, καὶ λόγον διδόναι 15 „καὶ πάντα κἀκ τῶν νόμων ὑπέχειν."

Στέργω: δοτικῇ. κατὰ Ἀριστοκράτους· „οὐκ ἔχων „δ' ἐκείνοις οἶμαι δύναμιν, στέργειν ἠναγκάζετο „τούτοις."

Στερῶ: αἰτιατικῇ καὶ τὸ στερούμενον καὶ τὸ ἀποστε- 20 ρούμενον πρόσωπον. κατὰ Τιμοκράτους· „ἀλλ' ἐξήρ- „κει αὐτοῖς ἀπεστερηκόσι τὴν πόλιν τὰ χρήματα."

Σύλῶ: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Ἀνδροτίωνος· „τὴν μὲν „γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασιν."

Σφήλω: αἰτιατικῇ, ἀντὶ τοῦ σφαλῆναι καὶ πλανηθῆ- 25 ναι ἐποίησεν. Δίωνος ἑνδεκάτῳ βιβλίῳ· „ἐπειδὴ δὲ „ὅ τε χειμὼν ἐπέμενε, καὶ ὁμίχλη προσεγένετο, ἔσφη- „λε δι' αὐτομόλων δή τινων τὸν Ἀννίβαν."

Συμφέρει: δοτικῇ. Δίων ἑνδεκάτῳ βιβλίῳ· „σὺ μὲν „καὶ τοῖς φίλοις τοῖς τι πεπραγμένοις ἔξεστι, ἐγὼ 30 „δὲ καὶ τοῖς ἐχθροῖς συγγινώσκω."

Συκοφαντῶ: αἰτιατικῇ. Δίων τεσσαρακοστῷ ἕκτῳ

βιβλίῳ· „φθονεῖς ἀεὶ τῷ κρείττονι, βασκαίνεις ἀεὶ „τὸν προήκοντα, διαβάλλεις τὸν προτετιμημένον, συ- „κοφαντεῖς τὸν δεδανεισμένον."

Σωφρονῶ: Δίων πεντηκοστῷ ὀγδόῳ βιβλίῳ· „αὐτή „τε αὐτῷ ἀκριβῶς σωφρονοῦσα, καὶ πάντα τὰ δο- „κοῦντα αὐτῷ ἡδέως ποιοῦσα." 5

Συνεῖναι: γενικῇ. Δημοσθένους τοῦ μικροῦ ἐν οἷς ἑαυτὸν προσαγγέλλει· „ἵνα συνεὶς τῆς φιλανθρωπίας „τῆς ὑμετέρας, προσαγγείλω βεβαίως τὴν γνώμην τὴν „ὑμετέραν." ἐν δὲ τῷ περὶ τοῦ στεφάνου αἰτιατικῇ· 10 „τῶν μὲν οὖν λόγων, οὓς οὗτος ἄνω καὶ κάτω κυκῶν „ἔλεγε περὶ τῶν παραγεγραμμένων νόμων, οὔτε μὰ „τοὺς θεοὺς ὑμᾶς οἶμαι μανθάνειν, οὔτ' αὐτὸς ἠδυ- „νάμην συνεῖναι τοὺς πολλοὺς αὐτῶν."

Στοχάζομαι: γενικῇ. Ἑρμογένους ἐν τῷ περὶ τοῦ 15 ἁπλῶς πολιτικοῦ· „πάντως δὲ δεῖ καὶ τοὺς ἱστοριο- „γράφους ἐν τοῖς πανηγυρικοῖς τετάχθαι, ὥσπερ οἶμαι „καὶ εἰσίν, ἐπεὶ καὶ μεγέθους καὶ ἡδονῆς στοχάζονται „καὶ τῶν ἄλλων ἁπάντων."

Σπῶ: γενικῇ. ἐκ τοῦ περὶ θεολογίας λόγου δευτέρου· 20 „σκέψαι μοι καὶ νηκτὴν φύσιν τῶν ὑδάτων, διο- „λισθαίνουσαν καὶ οἷον ἱπταμένην κατὰ τῆς ὑγρᾶς „φύσεως, καὶ τοῦ μὲν ἰδίου σπῶσαν ἀέρος."

Συνεθίζω: δοτικῇ. ἐκ τοῦ περὶ φιλοπτωχίας· „καὶ „φωνοῦσιν ὄντως ἐκ γῆς, καὶ εἰς τὸν ἀέρα λαλοῦσιν, 25 „οὐκ εἰς ἀκοὰς εὐσυνέτους καὶ θείοις συνειθισμένας „δόγμασιν." τὸ δὲ ἐθίζω τὸ ἁπλοῦν γενικῇ. ὁ αὐτός· „τοιαῦτα τὸ λουτρὸν τοῖς εἰθισμένοις αὐτοῦ χαρί- „ζεται."

Συλλαμβάνω: δοτικῇ. Ἰσοκράτης· „ὁρῶ δὲ καὶ τὴν 30 „τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον."

Συμβουλεύω: δοτικῇ. Ἰσοκράτης· „διό περ ἡμεῖς οὐ

„παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες,
„μέλλομέν σοι συμβουλεύειν."

Συνάχθομαι: δοτικῇ. ὁ αὐτός· „πολλοὶ γὰρ τοῖς
„ἀδικοῦσι μὲν συνάχθονται."

Σιτίζω: αἰτιατικῇ. Ἰσοκράτης· „ὅμοια πάσχειν τοῖς 5
„τὰς ἀλλοτρίας κύνας σιτίζουσιν."

Συμπράττω: δοτικῇ. Ἰσοκράτης· „καὶ Διονυσίῳ,
„τῷ Σικελίας τυράννῳ, καὶ τῷ βαρβάρῳ τῆς Ἀσίας
„κρατοῦντι συμπράττουσιν."

Σέβομαι: αἰτιατικῇ. Ἰσοκράτης· „ὅστις καὶ τῶν 10
„ζώων τῶν παρ' ἡμῖν καταφρονουμένων ἔστιν ἃ σέ-
„βεσθαι καὶ τιμᾶν ἐνομοθέτησεν."

Στεροῦμαι: πρὸς γενικήν. Προκόπιος· „ὡς ἂν μὴ
„πράξεις ὑπέρογκοι φιλοτιμίαι προςελθοῦσαι τῆς φύ-
„σεως ἐλάττους εἶναι δοκοῖεν, τοῦ πρὸς ἀξίαν ἐπαίνου 15
„ἐστερημέναι."

Συναίρω: συμμετέχω, γενικῇ. Θουκυδίδης τετάρτῳ·
„ἄνδρες οἱ συναράμενοι τοῦδε τοῦ κινδύνου."

Σπένδομαι: δοτικῇ. Θουκυδίδης τετάρτῳ· „τούτων
„μηδετέροις ἐξεῖναι ἄνευ τοῦ δήμου τοῦ Ἀργείων 20
„σπείσασθαι."

Συνεπιλαμβάνομαι: γενικῇ. Θουκυδίδης ἕκτῳ·
„καὶ τοῦτο συνεπιλαμβάνεσθαι τοῦ φόβου."

Σχών: δοτικῇ. Θουκυδίδης ἑβδόμῳ· „καὶ σχόντες Ῥη-
„γίῳ καὶ Μεσσήνῃ, ἀφικνοῦνται εἰς Ἱμέραν." 25

Συντυγχάνω: δοτικῇ. Λυσίας ἐν τῷ κατὰ Διοκλέους
ὕβρεως· „ὁ ἀδελφὸς ὁ ἐμὸς καὶ Κτήσων, οἰκεῖος ὢν
„ἡμῖν, συντυγχάνουσι τῷ Ἑρμωνι ἐν βοθύνοις ἀπιόντι."

Σισίνης, Σισίνου κλίνει τὸ ὄνομα Ἀρριανός. ἐχρήσα-
το αὐτῷ ἐν πάσῃ τῇ πραγματείᾳ τετραχῶς. Σισίνης 30
δὲ ὁ Φραταφέρνου παῖς. ἐν μόνῳ δὲ τῷ δευτέρῳ λό-
γῳ εὑρέθη τὸ ὄνομα μετὰ Ἀλέξανδρον. ὁμοίως καὶ
Ἀππιανὸς ἐν Ἰλλυρίδι Σισίνου καὶ Σισίνην φησίν.

Σχολάζω: Δίων δευτέρῳ δοτικῇ· „αὐτοί τε γὰρ ἄμει-
„νον πολεμήσουσι, τούτῳ μόνῳ τῷ ἔργῳ σχολάζοντες."
Συῤῥάξαι: δοτικῇ. Ἀγαθίας πρώτῳ· „οἱ δὲ Ῥω-
„μαῖοι, ἐπειδὴ εἰς τόξου γε βολὴν ἤδη ἐγεγένηντο,
„ἐμμίξαι μὲν καὶ συῤῥάξαι τοῖς πολεμίοις εὖ παρα-
„τεταγμένοις ἥκιστα ᾤοντο."
Σπανίζω: γενικῇ. Ἀππιανὸς δευτέρῳ· „ὅθεν ἐσπάνι-
„ζε τροφῶν."
Συμπλεκόμενος: δοτικῇ. ὁ αὐτός· „συμπλεκόμενος
„αὐτῇ."
Στρατηγῶ: ὁ τόπος γενικῇ, τῷ δὲ δουλωμένῳ δοτικῇ.
Ἀππιανὸς πέμπτῳ ἐμφυλίων· „ὁ δὲ ἐστρατήγησε τῷ
„Βρούτῳ."
Συνηδόμενοι: γενικῇ. Ἀππιανὸς τετάρτῳ Αἰγυπτίων·
„συνηδόμενοι τῶν γεγονότων."

Τ.

Τιμωροῦμαι: αἰτιατικῇ. Ὀλυνθιακῶν τρίτῳ· „τότε
„καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον,
„ἐξέσται σκοπεῖν." τὸ δὲ ἐκδικῶ πρὸς δοτικήν. ἐκ
τοῦ κατὰ Τιμοκράτους· „ἐπειδή περ ἡμεῖς τιμωρήσο-
„μεν τῷ πεπονθότι."
Τυγχάνω: γενικῇ. ἐκ τοῦ κατὰ Φιλίππου δευτέρου·
„οὐδὲ ἀμνημονεῖ τοὺς λόγους καὶ τὰς ὑποσχέσεις,
„ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν."
Τυραννῶ: αἰτιατικῇ. τρίτῳ κατὰ Φιλίππου· „οἱ μὲν
„ἄρχουσι καὶ τυραννοῦσι τοὺς τότε σώζοντας αὐτούς."
νῦν γὰρ ἐπὶ τοῦ βλάπτειν κεῖται, καὶ σημαίνει νῦν
τυραννεῖν τὸ βλάπτειν. ὅταν δὲ ἐπὶ τοῦ ἡγεῖσθαι,
γενικῇ. περὶ τῶν Ἀλεξάνδρου συνθηκῶν· „πρὶν τὰς
„συνθήκας γενέσθαι, ἐτυράννουν Μεσηνίων οἱ Φιλιά-
„δου παῖδες·" καὶ ἐν τῷ πρώτῳ τῶν Στηλιτευτικῶν·

„ἐν ἀρχῇ τῆς ἑαυτοῦ βασιλείας τυραννήσας πρὸ τῶν „ἄλλων τοὺς λόγους" καὶ πρὸς αἰτιατικήν.

Τιμῶ, τιμᾷς: ἐπὶ τοῦ τιμωρεῖσθαι καὶ ἀποδιδόναι, μετὰ δοτικῆς. κατὰ Μειδίου· „δικαίως ἂν ὑμᾶς ἐκ „τῶν εἰρημένων καὶ καταψηφίσασθαι καὶ τιμᾷν αὐ- 5 „τῷ τῶν ἐσχάτων."

Τιμῶ: ἀντὶ τοῦ προκρίνω καὶ ἄξιον ἡγοῦμαι, γενικῇ. ἐκ τοῦ παραπρεσβείας· „καί τοι τοῦτο Φί- „λιππος ἁπάντων ἂν ἐτιμήσατο πλείστου τοῦ τοῦτον „τὸν τρόπον πραχθῆναι." καὶ ἐκ τοῦ κατὰ Ἀριστο- 10 κράτους· „τρεῖς δὲ μόναι ψῆφοι διήνεγκαν τὸ μὴ θα- „νάτου τιμῆσαι." καὶ κατὰ Ἀνδροτίωνος· „εἰ τοσού- „του τιμᾶσθε τὴν πόλιν." καὶ ἐκ τοῦ κατὰ Ἀριστο- γείτονος· „ὃς αὐτὸς αὑτῷ θανάτου τετίμηκε." Τιμῶ δὲ ἐπὶ τιμῆς καὶ δόξης, αἰτιατικῇ τὸ τιμώμενον 15 πρόσωπον, ἡ δὲ τιμὴ δοτικῇ. κατὰ Ἀριστοκράτους· „ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πάσης τῆς πόλεως με- „ταδόντες αὐτῷ, καὶ τετιμηκότες ἀλλήλοις." καὶ Λίων πέμπτῳ βιβλίῳ· „τούτῳ τε οὖν αὐτὸν ἐτί- „μησεν." 20

Τιμῶ: ἐπὶ προστιμήσεως, γενικῇ. κατὰ Τιμο- κράτους· „ἐὰν δὲ ἀργυρίου προστιμηθῇ." καὶ ὑποκα- τιὼν ἐκ τοῦ νόμου· „καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ „δημοσίῳ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφι- „μα δεσμοῦ." καὶ πάλιν· „καὶ μόνον οὐ προσέγρα- 25 „ψε δίκην ἐξεῖναι λαχεῖν αὐτῷ κατὰ τῶν δικαστῶν „τῶν προστιμησάντων τοῦ δεσμοῦ." ἐὰν δὲ ἔχῃ δοτι- κὴν τοῦ πάσχοντος, αἰτιατικὴ ἔσται τῆς τιμωρίας, οἷον τοῦ αὐτοῦ· „ἐάν τις ἁλῷ κλοπῆς, καὶ μὴ τιμη- „θῇ θανάτου, προστιμᾷν αὐτῷ δεσμόν." 30

Ταμιεύω: γενικῇ. κατὰ Μειδίου· „καὶ τῆς μὲν πα- „ράλου ταμιεύων τότε, ὅτε τὴν ἐπὶ Θηβαίους ἔξοδον „εἰς Εὔβοιαν ἐποιεῖσθε ὑμεῖς."

Ταλαιπωρῶ: αἰτιατικῇ. Δίων πεντηκοστῷ τρίτῳ βιβλίῳ· „ἥ τε γὰρ ἐρημία καὶ ὁ ἥλιος τά τε ὕδατα „φύσιν τινὰ ἄτοπον ἔχοντα, πάνυ αὐτὰ ἐταλαιπώρησε." καὶ Ἰσοκράτης περὶ τῆς εἰρήνης· „καὶ πάντα τρό„πον τεταλαιπώρηκεν ἡμᾶς."

Τρυφῶ: δοτικῇ μετὰ τῆς ἐν. Ἰσοκράτης· „τρύφα μὲν „ἐν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις."

Τέμνω: γενικῇ. Θουκυδίδης ἕκτῳ· „οἱ Ἀργεῖοι, ἐμ„βαλόντες ἐς τὴν Φλιασίαν, τῆς γῆς αὐτῶν ἔτεμνον, „καὶ ἀπέκτειναν τινας."

Τεκμήρασθαι: γενικῇ. Ἀππιανὸς Συριακῇ· „τεκμή„ρασθαι τοῦ πάθους."

Υ.

Ὑπακούω: ἀντὶ τοῦ ὑποτάσσομαι, δοτικῇ. Ὀλυνθιακῶν τρίτῳ· „ὑπήκουσε δὲ ὁ ταύτην τὴν χώραν ἔχων „αὐτοῖς βασιλεύς, ὥς πέρ ἐστι προσῆκον βάρβαρον „Ἕλλησιν."

Ὑπομνήσω: γενικῇ. ἐκ τοῦ τῆς Ῥοδίων ἐλευθερίας· „τῶν γεγενημένων ὑμᾶς καὶ συνενηνοχότων ὑπομνή„σω." ἐκ τοῦ παραπρεσβείας, αἰτιατικῇ· „τοῦ χάριν „δὴ ταῦθ' ὑπέμνησα πρῶτα νῦν ἡμᾶς καὶ διεξῆλθον „τούτους τοὺς λόγους;"

Ὑβρίζω: αἰτιατικῇ συντάσσεται μετὰ τῆς εἰς προθέσεως. ἐκ τοῦ κατὰ Μειδίου· „ἐάν τις ὑβρίζῃ εἴς τι„να ἢ παῖδα ἢ γυναῖκα ἢ ἄνδρα." καὶ Λυσίας ἐν τῇ ἀπολογίᾳ ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου· „ὁ γὰρ „ἀνὴρ ὁ ὑβρίζων εἰς σὲ καὶ τὴν σὴν γυναῖκα."

Ὑπέρ: ἀντὶ τῆς κατά. ἐκ τοῦ κατὰ Μειδίου: „καθ' οὓς „καιροὺς ἡ εἰσαγγελία ἐδόθη ἡ εἰς τὴν βουλὴν ὑπὲρ „Ἀριστάρχου τοῦ Νικοδήμου, ὅτι εἴη Νικόδημον ἀπε„κτονώς." καὶ παρ' Ὁμήρῳ ἐν τῇ Ζ·

δαιμό-

δαιμόνι, οὐκ ἄν τίς σοι ἀνήρ, ὃς ἐναίσιμος εἴη,
ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
ἀλλὰ ἑκὼν μεθίεις . . . . . τὸ δ' ἐμὸν κῆρ
ἄγνυται . . . . ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω
πρὸς Τρώων. 5

καὶ ἀντὶ τῆς περί. Ἀρριανὸς ἑβδόμῳ· „γενέσθαι καὶ „ἐπὶ Ἀλεξάνδρῳ ἀλόβωτον τὸ ἧπαρ τοῦ ἱερείου."

Ὑπηρετῶ: δοτικῇ. ἐκ τοῦ περὶ στεφάνου· „διόπερ „ῥᾷόν ἐστι καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρε- „τοῦντα μισθαρνεῖν, ἢ τὴν ὑπὲρ ἡμῶν ἑλόμενον τά- 10 „ξιν πολιτεύεσθαι."

Ὑποσχών: δοτικῇ. ἐκ τοῦ παραπρεσβείας· „μή τί γε, „ἃ ἐκείνῳ τόθ' ὑπέσχητο πρᾶξαι."

Ὑπερκολακεύω: αἰτιατικῇ. ἐκ τοῦ παραπρεσβείας· „οὗτοι δ' ἐχαρίζοντο πάντα ἐνδεικνύμενοι καὶ ὑπερ- 15 „κολακεύοντες ἐκεῖνον."

Ὑπολειφθείς: γενικῇ. κατὰ Μειδίου· „Μειδίας δὲ „ὑπολειφθεὶς τοῦ στόλου καὶ γεμίσας τὴν ναῦν ξύ- „λων."

Ὑστεραίας: τῇ ἐπαύριον. Δίων δευτέρῳ βιβλίῳ· „μα- 20 „θὼν οὖν τοῦτο ἐκεῖνος, ἦλθέ τε τῆς ὑστεραίας πρὸς „αὐτούς."

Ὑπερεῖδεν: αἰτιατικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „Τιμοκράτης οὐτοσὶ τοσοῦθ' ὑπερεῖδεν ἅπαντα τὰ „πράγματα." 25

Ὑπεύθυνον: γενικῇ. ἐκ τοῦ κατὰ Τιμοκράτους· „ὅτι „τὸ σῶμα τῶν ἀδικημάτων ὑπεύθυνόν ἐστιν."

Ὑποπτεύω: αἰτιατικῇ. Δίων δεκάτῳ βιβλίῳ· „οὗτοι „δὲ καὶ προσυποπτεύουσιν ὑμᾶς."

Ὑπερδικῶ: ἀντὶ τοῦ ἐκδικῶ, αἰτιατικῇ. Δίων τρια- 30 κοστῷ τρίτῳ βιβλίῳ· „καὶ γὰρ γελοῖόν ἐστιν, ἐν Καμ- „πανίᾳ τε αὐτοῦ ὄντος, καὶ δυναμένου διὰ ταχέων ὧν „αἰτίαν ἔχει λόγον ὑποσχεῖν, ἐμὲ ὑπερδικεῖν."

Ὑπέρχομαι: τὸ ὑποτάσσομαι, αἰτιατικῇ. Δίων τριακοστῷ ἑβδόμῳ βιβλίῳ· „ἀλλ' ὧν ἐπιχειρεῖ πρωτεῦσαι, „τούτους ὡς καὶ κρείττονας ὑπήρχετο."

Ὑπείκων: δοτικῇ. Δίων ἑξηκοστῷ πρώτῳ βιβλίῳ· „ἐπειδή τε οἱ ἔπαρχοι, ὅ τε Κρισπῖνος καὶ Λούσιος 5 „Γέτας, μὴ πάντα αὐτῇ ὑπεῖκον, ἐκείνους κατέλυ- „σεν."

Ὑποστάς: αἰτιατικῇ. Δίων ἑβδομηκοστῷ τετάρτῳ βιβλίῳ· „καὶ οὕτω παρὰ δόξαν ὑποστάντες, τοὺς διώκον- „τας, ἀντεπεκράτησαν." Θουκυδίδης δευτέρῳ· „χρεὼν 10 „καὶ συμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι."

Ὑπό: ὁ Προκόπιος μετὰ δοτικῆς· „καὶ τῇ φύσεως εὐ- „γλωττίᾳ τὰς ὑφ' ἡλίῳ παρερχομένη." καὶ Θουκυδί- δης πρώτῳ· „καὶ ἅμα μέγας ὁ κίνδυνος, εἰ ἐσόμεθα „ὑπ' αὐτοῖς." καὶ Ἀρριανὸς πέμπτῳ· „κατεστρατο- 15 „πέδευεν ὑπὸ ταῖς ὑπωρείαις τοῦ ὄρους."

Ὑποχωρῶ: δοτικῇ τὸ πρόσωπον, καὶ ὁ τόπος γενικῇ. Προκόπιος· „εἶτα καὶ γῆς καὶ θαλάττης ὑποχωροῦν- „τα τοῖς Ἕλλησιν."

Ὑπονοῶ: γενικῇ. Θουκυδίδης πρώτῳ· „ἀλλὰ τῶν λε- 20 „γόντων μᾶλλον ὑπονοεῖται."

Ὑστερίζω: δοτικῇ, ἀντὶ τοῦ ἐν ὑστέρῳ ἔρχομαι. Θουκυδίδης ἑβδόμῳ· „τοὺς δὲ Θρᾷκας τοὺς τῷ Δημο- „σθένει ὑστερήσαντας."

Ὑπερασπίζω: αἰτιατικῇ. Ἀρριανός· „καὶ ἐπὶ τούτῳ 25 „Λεοννᾶτος ὑπερασπίσας Ἀλέξανδρον."

Ὑλακτῶ: αἰτιατικῇ. Ἡρακλείδου Ποντικοῦ ἐκ τοῦ δευτέρου λόγου τῶν εἰς τὸν Ἄβαριν ἀναφερομένων· „ἐκ δὲ τῶν ἐγγὺς φωλεῶν ἐξεῖρπυσαν ὄφεις ἐπὶ τὸ σῶ- „μα σφοδρῶς ὀρούοντες. ἐκωλύοντο μέντοι ὑπὸ τῶν 30 „κυνῶν, ὑλακτούντων αὐτούς."

Ὑπουργῶ· δοτικῇ. Δίων τεσσαρακοστῷ ἕκτῳ βιβλίῳ· „καὶ οἱ ἵπποι τοῖς στρατιώταις ὑπούργησαν."

Ὑποτοπῶ: αἰτιατικῇ. Ἀππιανὸς ἐν τῷ Κελτικῷ· „τὸ „γενόμενον ὑποτοποῦντες."

Χ.

Χαρίζομαι: δοτικῇ. ἐκ τοῦ περὶ στεφάνου· „εἶτα „κενὰς χάριτας χαρίζῃ τουτοισί, συκοφαντῶν ἐμέ."

Χειρώσω: αἰτιατικῇ. Δίων πεντηκοστῷ τετάρτῳ βιβλίῳ· „τοῦτο πρός τε τὴν ἐκείνου καὶ πρὸς τὴν τοῦ „πλείονος στρατοῦ ἀπουσίαν νεωτεριστὰς ἐχειρώσατο."

Χρήσομαι: δοτικῇ. Ἰσοκράτης· „οὕτω δ' ἄριστα χρή„σῃ τοῖς φίλοις, ἐὰν μὴ περιμένῃς τὰς παρ' ἐκείνων „δεήσεις."

Χαίρω: δοτικῇ. Ἰσοκράτης πρὸς Νικοκλέα· „οἷς ὁρῶσι „τοὺς ὄχλους χαίροντας." τοῦτο δὲ τὸ ῥῆμα παθητικὸν ἐνεστῶτα ἢ παρατατικὸν οὐκ ἔχει. βαρβαρίζει ὁ λέγων χαίρομαι, καὶ λέγεται Δατισμός· Δᾶτις γὰρ ὁ Πέρσης ἔφη χαίρομαι.

Χρῶμαι: τὸ κατὰ χρῆσίν τι λαβεῖν, αἰτιατικῇ. Ἀππιανὸς ἕκτῳ· „ἃς δὲ ἐχρησάμην παρὰ Ἀντωνίου ναῦς."

Χρηματίζων: ὁ αὐτὸς δευτέρῳ Αἰγυπτιακῶν· „πρεσ„βείαις ὁ Καῖσαρ ἐχρημάτισεν."

Ψ.

Ψευσθῆναι: γενικῇ. Ἀρριανὸς πρώτῳ· „εἰ δὲ ψευ„σθείημεν τῆς ἐπὶ τῷ παιδὶ τοῦ Ἀλεξάνδρου προσδο„κωμένης ἐλπίδος" ἀντὶ τοῦ ἀποτύχοιμεν.

Ψηφίζομαι: δοτικῇ. ἐκ τοῦ πρὸς Λεπτίνην· „καὶ τῇ „πόλει τὰ κράτιστα ἔσεσθαι ἐψηφισμένοι." πρὸς γενικὴν δὲ ἐπὶ ἀναιρέσεως τῆς ψήφου, μετὰ τῆς ἀπό. ἐκ τοῦ περὶ τοῦ στεφάνου· „οὐκοῦν ἐν μὲν οἷς εἰσηγγελ-

„λόμην, ὅτε ἀπεψηφίζεσθέ μου, καὶ τὸ πέμπτον μέ-
„ρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε."

Ψάλλω: αἰτιατικῇ. Δίων τεσσαρακοστῷ ἑνάτῳ βιβλίῳ·
„τὴν νευρὰν τοῦ τόξου ψάλλων." τινὰ δὲ τῶν ἀντι-
γράφων ἔχουσι ψαύων. 5

Ω.

Ὠνεῖται: γενικῇ. κατὰ Φιλίππου τρίτῳ· „τοῦτο
„δ' ἐστὶν ὃ τῶν αἰσκομένων χρημάτων ἁπάντων Φί- 10
„λιππος ὠνεῖται." καὶ ὑποκατιὼν πάλιν φησίν· „ὥστε
„οὐδὲ χρημάτων ὠνεῖσθε παρ' οὐδενὸς οὐδέν." ἀλλὰ
καὶ τὸ ὄνομα ὁμοίως. Ἰσοκράτους ἐκ τοῦ πρὸς Νικο-
κλέα· „δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων
„οὐκ ὠνητή." καὶ Ἀππιανὸς πρώτῳ Ῥωμαϊκῶν· „ὠ- 15
„νεῖται τὰ τρία βιβλία τῆς τιμῆς των ἐννέα."

ΔΙΚΩΝ ΟΝΟΜΑΤΑ

ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ.

Ἀποπόμπεια: ἀργυρᾶ καὶ χρυσᾶ ποτήρια ἐπέμπετο εἰς τὴν ἑορτήν. ἰστέον δὲ ὅτι τὴν τριακοστὴν ἔνην καὶ νέαν καλοῦσιν.

Ἄρδηττος: ὅρος ἐστίν, ἐν ᾧ τοὺς ὅρκους ἐποιοῦντο.

Αἰμορίαι: ἐλαιῶν καρπός. καὶ τῆς ἐλαίας τῆς λεγομένης αἰμορίας τὸ στέλεχος σηκὸς λέγεται. 5

Ἅμα: ἀντὶ τοῦ εὐθέως καὶ παραχρῆμα καὶ κατὰ τὸν αὐτὸν καιρόν.

Αἴσθεσθαι καὶ αἰσθάνεσθαι: ἀμφότερα ἐπὶ τοῦ εἰδέναι. 10

Ἀδέητος: ἐπὶ τοῦ μηδενὸς δεομένου καὶ πάντα ἔχοντος.

Ἀνάπηρος: ὁ καθ' ὑπερβολὴν πηρός.

Ἀσπαλίσαι: ἁλιεῦσαι, σαγηνεῦσαι.

Ἀμείβεσθαι: ἐπὶ τοῦ χάριν εἰδέναι, καὶ ἐπὶ τοῦ κακὸν ἀντιδιδόναι. 15

Ἀτυχεῖν: οὐκ ἐπὶ μόνου τοῦ δυστυχεῖν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀποτυχεῖν.

Ἀνάστατος: ὁ καταλιπὼν τὴν οὐσίαν, καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ζῆν αἱρούμενος. 20

Ἀποδικάσαι: ἐπὶ τοῦ ἀποψηφίσασθαι.

Ἀνάρασθαι: τὸ ἄνωθεν ἔρχεσθαι.

Ἀμφιγνοεῖν: τὸ μὴ σαφῶς γνωρίζειν.[1]

Ἀπογινώσκειν ἀφεῖναι τῶν ἐγκλημάτων.

Ἀποστησάμενος: ἀντὶ τοῦ παραδοὺς τῷ σταθμῷ. 25

Ἀνεπίδικα: ὅσα τις κατέχει τοῦ τετελευτηκότος, ὡς

πατρῷα καὶ παππῷα. τὰ γὰρ δικαζόμενα παρὰ τῶν συγγενῶν ἐπίδικα καλοῦσιν.

Ἀρουραῖος Οἰνόμαος ὁ Αἰσχίνης ἐστίν, ὡς ὑποκριτής. καὶ τραγικὸς Θεοκρίνης· συκοφάντης γὰρ οὗτος ἦν.

Ἀλάστωρ: ὁ τὰ μεγάλα ἀδικήματα ποιῶν. καὶ ἀλιτήριος ὁ πολλὰ ἠδικηκὼς καὶ κολάζεσθαι ἄξιος· ἀλιτρὸς γὰρ ὁ ἁμαρτών.

Ἀμφιορκία: ὅταν δύο μέρη ὀμόσῃ, καὶ οἱ δικασταὶ τὸν δικαστικὸν ὅρκον.

Ἄρχοντες ἐννέα: οὗτοι πρὸ τῶν Σόλωνος νόμων ἦσαν.

Ἀντιμαχῆσαι: ὅταν ἀντιποιῆταί τις οἰκίας ἢ χωρίου, καὶ ὁ πεπρακὼς ἑτέραν ζητῇ τιμὴν καὶ μάχηται, τοῦτο λέγεται ἀντιμαχῆσαι.

Ἀντίδοσις: ὅσοι τεταγμένοι εἰσὶ τοῦ τριηραρχεῖν διδόντες.

Ἀποτιμᾶσθαι: ὅταν παραχωρῶσι τὴν οἰκίαν ἢ τὸ χωρίον διὰ τὸ μὴ δύνασθαι δοῦναι τὸ χρέος.

Ἀρχαὶ μετατίθενται πρὸς τὰς μεταβολὰς τῆς τύχης καὶ τῶν καιρῶν.

Ἀνομολόγητα: ὅταν ἀνανεώσῃ τις τὴν ὁμολογίαν.

Ἀγραφίου: ὅταν τις τὴν ὁμολογίαν τοῦ χρέους ἐξαλείψας εἰσάγηται.

Ἀποστασίου: ὅταν δοῦλος ἢ καὶ φαῦλος διισχυρίζηται ἐλεύθερος εἶναι.

Ἀγράφου μετάλλου διὰ τῶν λάθρᾳ ἐργαζομένων ἀργύριον εἰσήγοντο οἱ συγγινώσκοντες.

Ἀντιλαχεῖν ἀντικαλέσαι ἐστίν.

Ἀπογράφειν οὐσίαν: τὸ λέγειν δημοσίαν τὴν οὐσίαν τινός.

Ἀνασύνταξις: ὅταν διὰ τῶν γραμμάτων τινὰς κουφίσωσι, λέγεται.

Β.

Βάταλος: δειλὸς καὶ ἐκλελυμένος ἄνθρωπος κατὰ τὴν διάνοιαν, καὶ ὅλον τὸ σῶμα μαλακὸς καὶ αἰσχρός.

Βακτηρία καὶ σύμβολον: ῥάβδον κατεῖχον οἱ δικάζοντες, καὶ σύμβολον ἐλάμβανον ἀντιδιδόντες διὰ τὸ κομίσασθαι τὸ τριώβολον. 5

Βωμολόχοι: πάντες οἱ ἀνελευθέρως κολακεύοντες, καὶ οἱ ἐν τοῖς βωμοῖς προσαιτοῦντες ἐν ταῖς θυσίαις.

Γ. 10

Γραφὴ περὶ δημοσίων ἀδικημάτων, ἢ καὶ ἑτέρων ἀδικημάτων ὅτε τις εἰσάγεται.

Γραμματεύς: ὁ ἀναγινώσκων τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ προστεταγμένα· κατὰ χρόνους ἠλλάσσετο. ὁ δὲ καταγραφόμενος τὰ ἐν τῇ βουλῇ γενόμενα ἀντιγραφεὺς ἐλέγετο. 15

Γεννηταὶ φυλαὶ ἦσαν, ὥσπερ αἱ τριττύες.

Δ. 20

Δεκάτη καὶ εἰκοστή: οἱ Ἀθηναῖοι ἐκ τῶν νησιωτῶν ταῦτα ἐλάμβανον.

Δεῦρο: πολλοὶ μὲν ἐπὶ χρόνου τάσσουσι τὸ δεῦρο, οἱ ῥήτορες δὲ ἐπὶ τόπου ἀεί. 25

Διηγεῖσθαι καὶ ἐξηγεῖσθαι: διηγοῦνται οἱ ἄπειροι, ἐξηγοῦνται οἱ ἔμπειροι. ἐξηγεῖσθαι δὲ καὶ ἐπὶ τοῦ ἐξάρχειν τινός.

Διειληχώς: διανείμας.

Δίκης ἀνάκρισις: ὅταν μὴ θέλῃ ὁ φεύγων εὑρεθῆναι, κρίσις γίνεται. 30

Δοκιμασίαν ἐπαγγεῖλαι: τὰ καταγγεῖλαι δίκην ἑταιρήσεώς τινα.

Διαιτητήν: ὑπὲρ τὰ πεντήκοντα ἔτη ἦσαν κριταί.

Δημοτεύεσθαι: τὸ ἐγγράφεσθαι εἰς ἕνα τῶν δήμων καὶ εἶναι ἐν τῷ ληξιαρχικῷ γραμματείῳ δημοτεύεσθαι ἐκαλεῖτο.

Δίκη περὶ ἀδικημάτων καὶ ἐγκλημάτων εἰσαγομένη. εἰσὶ δὲ πολλαί, ὕβρεως, φόνου καὶ ἕτεραι πολλαί.

Διαψήφισις καὶ *ἀποψήφισις* καὶ *ἔφεσις*: τοῦτο λέγεται τὸ φέρειν ψῆφον κατά τινων, καὶ ὅτε δέχονται, λέγεται διαψήφισις. καὶ ἡ μὲν τοῦ δήμου κατηγορία ἀποψήφισις λέγεται, ὅταν δὲ εἰς τὸ κοινὸν δικαστήριον, ἐκλήθη ἔφεσις.

Διαδικασία: τοῦτο εἴρηται, ὅτε ἀμφισβητοῦσιν οἱ ταχθέντες εἰς δημόσιον δουλείαν, πότε χρὴ ἀπελθεῖν.

Δωροξενίας: ὅταν τις δοκῶν κριθῆναι πάλιν εἰσάγηται.

Διωμοσία καὶ *ἀντωμοσία*: ὅταν ὁ μὲν ἐγκαλῶν ὀμνύῃ ὅτι ἀληθὲς λέγει, ὁ δὲ ἐγκαλούμενος ἀντομνύῃ πάλιν.

Διαγραφήν: τὸ ἀπηλλάχθαι τοῦ ἐγκλήματος τὸν φεύγοντα ἤτοι κατὰ συγχώρησιν τοῦ ἐγκλή. . .

Διαλαχεῖν τὸ διανείμασθαι χρήματα λέγεται. ὅταν δὲ προγυμνάζηται ἡ δίκη πρὸ τῆς κυρίας, *πρόδικασία* λέγεται.

Διάγραμμα: ὃ λέγομεν ἀναγραφήν.

Διοπείθης: οὗτος προδότης τῶν Ἀθηναίων κατηγορεῖται.

Διαιτηταί: οἱ τὰ χωρία τοῖς ἀμφισβητοῦσι διανέμοντες οἱονεὶ κριταί.

Δεκατεύοντες: ἀποτελοῦντες, ὡς οἱ κλαστικοὶ ἐν τῷ ἱερῷ.

Ε.

Εὔθυνα: πρὸς τοὺς κακῶς ἄρξαντας ζημία.

Ἔνδειξις κατὰ τοῦ ἀνόμου καὶ ἀτίμου καὶ ἀνοσίου, τί δεῖ παθεῖν. 5

Ἐφήγησις κατὰ τῶν ὑποδεχομένων δοῦλόν τινος ἢ ἕτερον δημόσιον.

Εὐθυδικία: ὅταν τις εἰσάγηται μὴ προεγνωκὼς περὶ τῆς δίκης.

Ἐξηγηταί: οἱ τοὺς νόμους δεικνύντες τοῖς ἀγνοοῦσι 10 περὶ τοῦ ἀδικήματος.

Ἐγγυῆσαι: ὅταν τις κρινόμενος παράσχῃ δοῦλον ἀνθ' ἑαυτοῦ τιμωρηθῆναι.

Ἐπιγραφεῖς: οἱ γραφόμενοι τὰ τιμήματα.

Εὐμολπιδῶν γένους εἶναι λέγουσι τῶν Εὐμόλπου 15 παίδων.

Ἐνιαυσία καὶ ἐνιαυτός: ἣν ποιοῦσι τοῦ τετελευτηκότος μνείαν. ἔστι δὲ ἀρχή.

Ἐν Δελφοῖς σκιά: εἴρηται περὶ τοῦ προσήκοντος.

Ἐπίληπτος: ὁ νοσῶν τὴν ἱερὰν νόσον. 20

Ἐκωδώνισεν: ἀντὶ τοῦ ἐπειράσθη τέτακται.

Εἰσιτήρια: ἀρχὴ τοῦ ἔτους ἱερά, ἐν ᾗ προϊᾶσιν ἄρχοντες.

Ἐγγενής: ἀστός.

Ἔγχωριος καὶ ἐπιχώριος: ἐγχώριος ὁ ἐπιδημῶν, 25 ἐπιχώριος ὁ ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένος.

Ἐπλινθεύθησαν: κατακλεισθέντες ἀπώλοντο ὑπὸ λιμοῦ.

Εἰς ἐμφανῶν κατάστασιν: ὅταν τὰ ἐπιδικαζόμενα τεθῶσιν ἐπὶ τοῦ ὑπάρχου. 30

Ἐπακτροκέλης: πλοίου εἶδος πειρατικοῦ.

Ἔμβραχυ: τὸ εὐχερῶς πραττόμενον.

Ἐκεῖ ἐν τόπῳ, ἐκεῖσε εἰς τόπον. καὶ ἐπὶ χρόνου τάσσεται.

Ἐξεστηκὼς οἶνος: διεφθαρμένος οἶνος τῆς ἰδίας ἐνεργείας.

Ἐπαιτιώτατοι συκοφάνται. 5

Ἐτίθευσεν: ἔθρεψεν.

Ἐξούλης δίκη, ὅταν τις κριθῇ ἀπολαύων τὰ ἴδια νομίμως καὶ κωλύηται, καὶ πάλιν ἀναγκαζόμενος ἐγκαλῇ. ἴλλειν γὰρ ἔλεγον τὸ κωλύειν καὶ ἀπελαύνειν.

Εὐρύβατον λέγουσιν ὅτι προδότης γέγονε Κροίσου, 10 ἢ κλέπτης ὢν διὰ τῆς ὀροφῆς ἔφυγεν.

Ἐφιάλτης: οὗτος ὑβρισθεὶς ἑαυτὸν τῆς βουλῆς ἀπεστέρησε, κατακρίνας αὐτήν.

Ἐπ' ἐκφορᾷ δόρυ ἐξενεγκεῖν: τοῦτο τοῖς βιαίως θνήσκουσιν ἐτίθετο τρεῖς ἡμέρας. οὕτως ἐκρίνετο. 15

Ἑλληνοταμίας: τοὺς ἐκπεμπομένους διανεῖμαι τὰ τέλη τοῖς ἔξω ἄρχουσιν ἔλεγον οὕτως.

Ἐν χιλίαις ὁ κίνδυνος καὶ χιλιῶσαι: οἱ κατηγοροῦντες τοὺς κλέπτας καὶ μὴ παριστῶντες χιλίας δραχμὰς ἐτέλουν, καὶ οἱ μάτην ἀπογραφόμενοί τινος 20 οὐσίαν.

Ἐπιστάτης: φύλαξ τῶν κοινῶν χρημάτων καὶ ἐπιτηρητὴς τῶν δικαστῶν.

Ἐκμαρτυρεῖν: τὸ καταμαρτυρεῖν οὐχ ἅπερ εἶδέ τις, ἀλλ' ἅπερ ἤκουσεν. 25

Ἐξομόσασθαι: ὅταν ἀρνῶνται οἱ μάρτυρες ὅτι οὐδὲν οἴδαμεν.

Ἐκκληστευθῆναι: τῶν ἐκλιπόντων μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δικαστηρίῳ ἐκηρύσσετο.

Ἐφεταί: ἄνδρες ἄριστα βεβιωκέναι ἐπιστάμενοι, ὑπὲρ 30 τὰ πεντήκοντα ἔτη γεγονότες, οἵτινες τὰ φονικὰ ἐδίκαζον.

Ἐπωβελίαν: τὴν ζημίαν οὕτως ὠνόμασαν.

Ἐνεπισκήψασθαι: ὅταν δημευθῇ τις καὶ τοῖς δανειστα῞ς ἀντισκήψῃ τὸ ὀφειλόμενον αὐτοῖς ἀπογράψασθαι.

Ἐχῖνοι: γραμματεῖα, ἅπερ ἐδίδουν τοῖς δικαστα῞ς αὐτοί. 5

Ἐπώνυμοι: οἱ κατὰ ἀρετὴν προτερεύσαντες καὶ στηλωθέντες.

Ἐνηνόμεθα: ἐσπουδάζομεν, παθητικὸν ἀντὶ ἐνεργητικοῦ. 10

Ζ.

Ζηλωτοῦ: ἐπὶ τοῦ ζηλοῦν λέγεται καὶ ἐπὶ τοῦ μακαρίζεσθαι καὶ μιμεῖσθαι καὶ ἐπαινεῖν καὶ βουλεύεσθαι καὶ ἀντικαταλλάσσεσθαι. 15

Η.

Ἡλιαία καὶ ἡλιάζεσθαι: δικαστήριον ἀνδρῶν χιλίων καὶ ὁ τόπος, ἐν ᾧ οὗτοι δικάζουσιν. 20

Ἡγεμονία δικαστηρίου: οἱ ἐνάγοντες φονικὰς δίκας.

Ἤρετο: καὶ ἐπὶ τοῦ ἐπερωτᾷν καὶ ἐπὶ τοῦ ἐπαίρεσθαι τῷ φρονήματι. 25

Θ.

Θεωρικὰ χρήματα: τὰ διδόμενα εἰς τὸ κοινὸν διὰ τὸ θεωρεῖν. 30

Θέτην: τὸν δανειζόμενον λογάριν ἐπ᾽ οἰκίᾳ ἢ ἀνδραπόδῳ ἢ χωρίῳ.

Θράσύς καὶ θαρσαλέος: ὁ μὲν θρασὺς διαβάλλεται, ὁ δὲ ἐπαινεῖται.

Θρίπηδον: ἱμάτιον βεβρωμένον.

Θωπεία: ἡ περισσὴ πρός τινας κολακεία.

I.

Ἰαμβοφάγον τὸν πταίοντα λέγουσιν.

Ἱκετεία καὶ ἱκετηρία: ἱκετεία ἐπὶ δεήσεως, ἱκετηρία ἐπὶ συγγνώμης καὶ τύχης.

K.

Κωλακρέται: οἱ κρατοῦντες δικαστικὴν ζημίαν.

Κιγκλίς: τοὺς δρυφάκτους ἔλεγον κιγκλίδας.

Καρποῦ: ὅταν τινὶς ξένην γῆν ἐργάζωνται, εἶτα διωχθέντες ἀπαιτῶνται τὰς ἐπικαρπίας.

Κέρκωψ: ὁ δεινὸς ἀπατῆσαι.

Καλλίας ὁ πίθηκος.

Κρώβυλος: οὗτος ἔδωκε χρήματα Ἀθηναίοις καὶ ἔσωσε καταδίκους.

Κεφάλαιον τὸ ἐγγύς, τὸ ἐν τῇ γῇ κείμενον.

Καταλογεύς: ὁ ἐπιλεγόμενος τοὺς μέλλοντας ἄρχειν.

Καββαλεία: ἡ παρὰ πονηροῦ ἀνθρώπου κολακεία.

Κληρωταὶ ἀρχαὶ πρακτόρων, ἐκλογέων καὶ ἀντιγραφή.

Κηδεσταί: καὶ οἱ δεδωκότες πρὸς γάμον ἀδελφὰς ἢ θυγατέρας, καὶ οἱ λαβόντες.

Λ.

Λιπομαρτυρίου: ὅταν οἱ μάρτυρες ὁρισθῶσι μαρτυρῆσαι καὶ ἀποφύγωσιν.

Λῆξις: ὅταν τις προγόνων ἀφείλων κληρονομῶν πράγματα, λέγῃ τὴν δίκην. 5

Ληξιαρχικόν: κατεγράφοντο οἱ μέλλοντες ὀνομαστί, καὶ τοῦτό ἐστιν ἡ ληξιαρχία.

Λυμαινομένου: ἀντὶ τοῦ λυμαίνοντος.

10

Μ.

Μεσεγγύημα: ὅταν τὰ ἐπιδικαζόμενα φίλος φυλάττειν παραλάβῃ καὶ ἀμφοτέρων τῶν ἀντιδίκων. 15

Μαρτυρίαν ἐμβάλλεσθαι: τὸ προτρέχειν πρὸ καιροῦ μαρτυρῆσαι.

Ν.

20

Νομοφύλακες: οὗτοι ἐκώλυον παράνομόν τι ἢ ἀσύμφορον τῇ πόλει γενέσθαι.

Ο.

25

Ὀργεῶνές εἰσιν οἱ κοινωνοῦντες ἀλλήλοις θεῶν ἢ ἡρώων ἐν ἱεροῖς, καὶ κοινῇ θυηπολοῦντες, ὡς Χάρης λέγει ἐν τῷ κατὰ Διονυσίου. καὶ πάλιν ὀργεῶνες τίνες, ἐν Ἀπολογίᾳ ὕβρεως σαφὲς ποιεῖ. οὗτοί εἰσιν οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες καὶ τῶν ἱερῶν δὲ κρίνοντες ὀργεῶνας ἑαυτοὺς ἀλλήλους ἐκάλουν. 30

Οὐσία: ὅταν μὴ σώζωσί τινες τοὺς καρποὺς ἀποδοῦναι, ἐκ πάσης αὐτοὺς τῆς οὐσίας ἀπαιτοῦνται.

Οἱ συντελεῖς: οἱ πολλοί, ὅτε μιᾶς νεὼς ἐπιμελοῦνται.

Ὅρον ἐπιθεῖναι χωρίῳ: τοῦ δανεισαμένου τὸ ὄνομα ἐγράφετο εἰς σανίδα, καὶ ἐκρεμᾶτο ἐπὶ τοῦ ἀγροῦ.

Ὁμοῦ καὶ ἐγγύς: καὶ ἐπὶ χρόνου κεῖται καὶ ἐπὶ τόπου.

Ὄκνος: ἐπὶ ἀργίας καὶ ῥαθυμίας καὶ ἀμελείας τινὲς τάσσουσιν, οἱ δὲ ῥήτορες ἐπὶ φόβων καὶ τοῦ φοβεῖσθαι.

Π.

Παρακαταβαλεῖν: τὸ διδόναι ἐγγύας, ὅτι δικαίως ἀπαιτεῖ.

Πρυτανεῖα: πρόσοδος τοῦ δημοσίου, ὅταν ἀπὸ ζημίας τοῦ δικαζομένου γένηται.

Περὶ τῶν ἕνδεκα: οὗτοι τεταγμένοι ἦσαν ἐπὶ τῶν κατακριθέντων θανάτῳ.

Πωληταί: οἱ ἀπαιτηταὶ τῶν ὀφειλῶν.

Προσμίξαι πρὸς τὴν χώραν: εἴ τις φεύγει φόνον ἑκούσιον, καὶ ὡς ἑκουσίως φονεύσας λέγει τοῦτο μὴ τολμᾶν.

Παράσημος ῥήτωρ: ὁ νόθος, ἀπὸ τοῦ νομίσματος.

Προδανειστής: ὁ ἀντὶ τοῦ δανειζομένου γραφόμενος τὴν ὁμολογίαν.

Προηρόσια: θυσίαι ὑπὲρ τῶν μελλόντων γίνεσθαι καρπῶν.

Πεντηκοστεύοντες: οἷον εἰς τὸν Πειραιᾶ κατάγοντες ἐτέλουν τοῖς ἐγχωρίοις.

Περὶ Κόδρου: οἱ Πελοποννήσιοι, πολεμοῦντες Ἀθηναίοις,

ναίοις, ἔλαβον χρησμὸν μὴ ἀποκτεῖναι Κόδρον τὸν βασιλέα. οἱ δὲ πρὸ τοῦ τείχους φρυγανιζόμενον ἀπέκτειναν, καὶ ἀπέτυχον τῆς νίκης.

Πώμαλα: ἐπὶ τοῦ πάνυ. ὑφ' ἓν δὲ δεῖ ἀναγινώσκειν.

Παταικίων: ἐπίβουλος δεινὸς ἀνήρ. 5

Παραλογίζεσθαι: ἐξαπατᾶν.

Προκαταβολή: πρὸ τῆς προθεσμίας διδόμενον.

Παρανόμων γραφή: ὅτε ἄλῳ τις προαμαρτήσας καὶ κατακριθῇ θανάτῳ.

Παλαμναῖος: ὁ δαίμων ὁ τὰ μύση καὶ τὰ μιάσματα ἀποτρέπων. 10

Πρὸ Εὐκλείδου: ἄρχων ἦν οὗτος, καὶ πρὸ αὐτοῦ ἐπολιτεύοντο καὶ οἱ τυχόντες.

Σ. 15

Συμπρατήρ: ὁ τὰ πωλούμενα ὑφ' ἑτέρου βεβαιῶν.

Σάργον: τὸ δεινότατον οὕτω φησίν.

Σκάνδικες: λάχανα αὐτομάτως φυόμενα.

20

Τ.

Τῶν μὴ ἐπεξιόντων τὰς δίκας: οἱ γραφόμενοι δίκας καὶ μὴ πάλιν ἐπεξιόντες, ἀλλ' ὀλιγωροῦντες καταμαρτυρῆσαι. 25

Τιμαγόρας: οὗτος παρὰ Ξέρξου χρήματα ἔλαβε, καὶ ὡς προδότης ἀνῃρέθη.

Τιμοκράτης: καὶ οὗτος ὑπὸ Μακεδόνων ἔλαβεν ἀργύριον.

Τριηράρχημα: ὅταν ὁ τριήραρχος περισσὸν δίδωσι τοῖς ναύταις. 30

Τὸ ἀναγιγώσκειν τὸ ἀναπείθειν λέγεται.

Τήθη: πατρὸς ἢ μητρὸς μήτηρ, ἣν μάμμην καλοῦσιν.

Τηθίς: πατρὸς ἢ μητρὸς ἀδελφή, ἣν λέγουσι θείαν.
Τέως: ἐπὶ τοῦ προτέρου.
Τηλικοῦτος: ἐπὶ μεγέθους ἢ πράγματος ἢ τόπου.

Υ.

Ὑπὸ μάλης: ἀντὶ τοῦ κρύφα, ὃ λέγουσι λάθρᾳ καὶ ἀφανῶς. τοῦτ' ἔστιν ὑπὸ μασχάλης.

Φ.

Φονικόν: ἐὰν μέτοικόν τις ἀποκτείνῃ, φυγῆς μόνον κατεδικάζετο· ἐὰν μέντοι ἀστόν, θάνατος ἡ ζημία.
Φρατριάζειν: τὸ μετέχειν φρατρίας.
Φαυλόν: τὸ κακὸν καὶ τὸ εὐτελές. τάσσεται δὲ καὶ ἐπὶ πένητος καὶ ἀδόξου καὶ ἀνοήτου καὶ ἁπλοῦ.
Φενακίζειν: τὸ ἐξαπατᾶν τοὺς ἀκροωμένους καὶ τοὺς ὁρῶντας.

Ψ.

Ψευδοκλητίας: ὅταν εἰς ἐμφανῶν κατάστασίν τινες κρύφα ἐνέγκαντες τοὺς ἀντιδίκους πρὸς τὸν κριτήν, ἐρήμην καταψηφίσαντες τοῦ ἑτέρου μέρους.
Ψευδογραφή: ὅταν τοὺς ὀφείλοντας διδόναι τι τοῖς ἰδίοις ἔγγραφον προστίθησί τις διὰ τῆς προσθήκης.
Ψευδομαρτυριῶν: ὅταν δικάζωνται ὅτι ἀδίκως καταμαρτυροῦνται.

ΛΕΞΕΙΣ ΡΗΤΟΡΙΚΑΙ.

Ἀσχολεῖν: ἀσχολεῖσθαι.

Ἀλλ' ὦ τάν: ἀλλ' ὦ φίλε, ὦ ἑταῖρε.

Ἀντίδοσις: τὸ τὴν οὐσίαν δοῦναί τινά τινι εὐπορωτέρῳ πρὸς τὸ τὴν δοθεῖσαν λειτουργίαν, δαπανηρὰν οὖσαν, ἐκεῖνον λειτουργεῖν, ἢ οὐ θέλοντα ἐκεῖνον λειτουργεῖν ἀντιδοῦναι τὴν ἑαυτοῦ καὶ τοῦτον ἀντιλαβόντα λειτουργεῖν. 5

Ἀπόχρη: ἐξήρκει.

Ἄττα: δασυνόμενον μὲν δηλοῖ τὸ ἅτινα, ψιλούμενον δὲ τὸ τινά. τίθεται δὲ καὶ ἐκ περιττοῦ καὶ ἐπὶ χρόνου. 10

Ἀμφισβητεῖν καὶ παρακαταβάλλειν, καὶ τίνι ἀλλήλων διαφέρει: τὸ ἐπίδικον εἶναι τὸν κληρονόμον, τῷ τετελευτηκότι ἤτοι φύσει παιδὸς ἢ θέσει γεγονότος, ἀμφισβητεῖν λέγεται· τὸ δὲ ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἔχειν φάσκειν τινὰ τὸν κλῆρον κατὰ γένος καὶ κατὰ διαθήκας, παρακαταβάλλειν λέγεται: 15

Αἵρεσις: ἐπιλογὴ ἢ δόγμα διαστρέφον κατὰ τὴν ἰδίαν δόξαν.

Ἀλαζονεύεσθαι: τὸ ἐπὶ πλέον τὰ ἑαυτοῦ κομπάζειν καὶ αὔξειν. 20

Αἱρετός: ὁ κατὰ σύνεσιν κριτής.

Ἄρειος πάγος: τὸ Ἀθήνησι δικαστήριον τῆς βουλῆς τῆς αὐτόθι.

Ἀντιγραφεύς: δοῦλός τις ἢ ἐλεύθερος, ὁ τὰ εἰσφερόμενα χρήματα ἀντιγραφόμενος τρόπον γραμματέως. παρὰ τοῦτο δὲ καὶ ὠνομάσθη, ὅτι ἐπὶ τῶν εἰσφερομένων ἀντιγράφεται. 25

Ἀποδέκται: ἄρχοντες κληρωτοί, δέκα τὸν ἀριθμὸν κατὰ φυλήν εἰσιν, οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ. διὰ τοῦτο γὰρ καὶ ἀποδέκται ἐκαλοῦντο. εἶτα ἐξήταζον τά τε ὀφειλόμενα καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ, καὶ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν.

Ἀντιδιαπλέκειν: τὸ ἐν δίκῃ ἀντιλέγειν.

Ἀγών: τόπος ἐν ᾧ ἀθλοῦσι. καὶ τόπος δὲ ἐν Χίῳ οὕτω καλεῖται. καὶ τὸ πλῆθος τῶν θεατῶν, καὶ ἡ ὀρχήστρα, καὶ ὁ τόπος καὶ ἡ ὑπόκρισις τῶν τραγῳδῶν.

Ἀποβατῶ: ἀγῶνος ὄνομα, ἐν ᾧ οἱ ἔμπειροι τοῦ ἐλαύνειν ἅρματα, ἅμα θεόντων τῶν ἵππων, ἀνέβαινον διὰ τοῦ τροχοῦ ἐπὶ τὸν δίφρον καὶ πάλιν κατέβαινον ἀπταίστως. καὶ ἦν τὸ ἀγώνισμα πεζοῦ ἅμα καὶ ἱππέως. καλεῖται δὲ καὶ ἀποβατικὸς ἡνίοχος ὁ εἰς τοῦτο τὸ ἀγώνισμα ἐπιτήδειος.

Ἀντικρύ: τὸ κατ᾽ εὐθὺ καὶ ἐξ ἐναντίας. σημαίνει δὲ καὶ τὸ ταχέως καὶ ὁλοσχερῶς.

Ἄντικρυς: φανερῶς, δημοσίως.

Ἀποτυμπανίσαι: τὸ τυμπάνῳ ἀποκτεῖναι, ὅ πέρ ἐστι ξύλον ὥσπερ ῥόπαλον.

Ἀβέλτερος: ἀνόητος, μωρός, ὁ τὸ βέλτιον μὴ γινώσκων.

Ἀσελγής: ἄκοσμος σφόδρα.

Ἀρχαίως: ἁπλῶς καὶ ἀκάκως.

Ἄτιμος: ὁ ἐστερημένος τῆς παῤῥησίας, ὥστε μήτε βουλεύειν μήτε δικάζειν μήτε ἄρχειν μήτε πολιτεύεσθαι μήτε ἄλλο τι τῶν κοινῶν ποιεῖν. καὶ ὁ ἀτιμώρητος.

Ἀπογινώσκειν: ἀπελπίζειν. ἢ ἀφεῖναι τῶν ἐγκλημάτων.

Ἀπογραφή καὶ ἀπογράψαι: ἀπογραφὴ γίνεται τῆς οὐσίας, ὅταν τις δημόσιόν τι εἶναι παρά τινι φάσκῃ, μὴ πριαμένῳ αὐτὸ παρὰ τῆς πόλεως· ἢ ὅταν δημεύη-

ται τά τινος πρὸς τὰ ὀφλήματα, ἃ ὀφείλει εἰς τὸ δημόσιον. ἀπογραφὴ γὰρ τοῦτο γίνεται. σημαίνει δὲ καὶ ἄλλα ἡ λέξις.

Ἀπογράφειν: τοῦ μὴ βουλομένου ἐκτίνειν τὸ ὄφλημα ὃ ὀφείλει διπλοῦται τὸ ὄφλημα, καὶ ὁ δήμαρχος σὺν τοῖς βουλευταῖς τοῦτον εἰσπράττει, καὶ ἀπογράφεται αὐτοῦ τὴν οὐσίαν καὶ ἐνεχυριάζει, καὶ τοῦτο καλεῖται ἀπογράφειν.

Ἄρχων: ὁ τὴν ἐπώνυμον ἄρχων ἀρχήν, ἀφ᾽ οὗ καὶ ὁ ἐνιαυτὸς ἐμετρεῖτο. ἦν δὲ εἷς τῶν ἐννέα, εἰσήγοντο δ᾽ ἐν αὐτῷ δίκαι ἐπικλήρων καὶ ὀρφανῶν καὶ τῶν τοκέων.

Ἀντιλαχεῖν: τὸ δίκην ἐπὶ διαιτητοῦ λαχόντα ἐρήμην ὀφείλειν καὶ πάλιν περὶ τούτου δικάζεσθαι.

Ἀπρόσκλητος δίκη: ἡ μὴ τυχοῦσα τῶν καλουμένων κλητόρων κατὰ τὸν νόμον, ἢ καὶ διὰ τοῦτο οὐκ ἦν εἰσαγώγιμος.

Ἀρχιθεωρός: ἀρχιθεωρός ἐστιν ὁ ἡγούμενος τῶν θεωρῶν. θεωροὶ δέ εἰσιν οἱ τὴν θεωρίαν φέροντες τοῖς θεοῖς εἰς τοὺς Ἑλληνικοὺς ἀγῶνας καὶ ὑπὲρ τῶν πατρίων θύοντες.

Αὐτόχειρ: αὐτοφονευτής.

Ἀποπληξία: τὸ μετὰ ἀναισθησίας καὶ παρέσεως συμβαῖνον πάθος. καὶ ἀπόπληκτος ὁ ἀναίσθητος.

Ἀγορανόμοι: οἱ κατὰ τὴν ἀγορὰν διοικοῦντες ἄρχοντες.

Ἄβιοι: σημαίνει μὲν καὶ ἄλλα πολλὰ ἡ λέξις, τίθεται δὲ καὶ ἐπὶ τοῦ πολὺν βίον κεκτημένου.

Ἀγραφίου: εἶδος δίκης κατὰ τῶν ὀφειλόντων τι τῷ δημοσίῳ, καὶ ἐγγεγραμμένων μέν, ἀπαλειφθέντων δὲ πρὶν ἀποδοῦναι. ἐνίοτε δὲ καὶ κατὰ τῶν ἐγγραφόντων τοὺς μὴ ὀφείλοντας.

Ἀδικίου: ὄνομα δίκης κατὰ τῶν ὁπωσοῦν ἀδικούντων.

τῆς δὲ δίκης τὸ τίμημα ἀργυρίου ἐστίν, ἀποτινυύμενον ἁπλοῦν.

Ἀδύνατοι: οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος καὶ ἀδύνατοι τοῦ ἐργάζεσθαι καὶ πορίζειν αὐτοῖς τῷ σώματι τὰ ἐπιτήδεια. 5

Ἀνακαλυπτήρια: δῶρα διδόμενα ταῖς νύμφαις, ὅταν πρῶτον ἀνακαλύπτωνται ἐν τῇ ἑστιάσει τῶν γάμων, τοῖς ἀνδράσι καὶ τοῖς ἑστιωμένοις ὁρώμεναι.

Ἀντιγραφή: ἰδίως μὲν ἐν ταῖς τῶν κλήρων διαδικασίαις ἀντιγραφὴ καλεῖται, ὅταν τις, ἄπαιδος ὄντος 10 τοῦ τετελευτηκότος, ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ δόσιν ἢ κατὰ γένος. κοινῶς δέ ἐστιν ἀντιγραφὴ ἐν ταῖς δίκαις ταῖς δημοσίαις τὰ τῶν δικαζομένων γράμματα περὶ τοῦ πράγματος, καὶ τοῦ φεύγοντος καὶ τοῦ διώκοντος. 15

Ἀντωμοσία καὶ ἀντομνύναι: τὸ γράμματα γράψαι καὶ ἀποφέρειν εἰς τὴν ἀρχὴν τόν τε φεύγοντα καὶ τὸν διώκοντα, τὸν μὲν ἀληθῆ κατηγορεῖν, τὸν δὲ ἀληθῆ ἀπολογήσασθαι. λέγεται δὲ ἀντωμοσία καὶ ἐν ταῖς διαδικασίαις καὶ ἐν ταῖς ἄλλαις ἀμφισβητήσεσιν. 20

Ἄγριοι: οἱ παιδεραστάι, ἤτοι ὅτι ἄγριόν ἐστι τὸ πάθος, ἡ παιδεραστία, ἢ ὅτι ὁ Πὰν ἔνοχός ἐστι τοῖς τοιούτοις. διὰ τοῦτο γοῦν καὶ τὸ αἰδοῖον ἀνατεταμένον ἔχει. ἔστι δὲ καὶ ὁ Πὰν ἄγριος θεός.

Ἀπαγωγή, καὶ ἐπὶ τίσιν ἐγίνετο, καὶ πρὸς τίνας: ὠνόμασται μὲν ἀπὸ τοῦ ἀπάγειν καὶ ἀπάγεσθαι τὸν κακοῦργον, ἀπήγοντο δὲ εἰς τὸ δεσμωτήριον πρὸς τοὺς ἕνδεκα. 25

Ἀπετίμησε καὶ ἀποτίμησις καὶ ἀποτίμημα: τὸ ἀπαιτεῖν παρὰ τοῦ ἀνδρός, ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἀνάξιον, οἰκίαν ἢ χωρίον ἢ ἄλλο τι κτῆμα ἀξιόχρεων. ἐλέγετο δὲ παθητικῶς μὲν ἐπὶ τοῦ λαμβάνοντος ὑπὲρ τῆς νύμφης ἀποτίμημα, ἐνεργητικῶς δὲ 30

τὸ τοῦ διδόντος νυμφίου. οἷον ὁ νύμφιος πρὸς τὴν προῖκα τῆς γυναικὸς ἀπετίμησε τήνδε τὴν οἰκίαν, ἡ δὲ νύμφη, περὶ ἧς ἔδωκε προικός, ἀπετιμήσατο τήνδε τὴν οἰκίαν.

Ἀποστασίου: ὄνομα δίκης, χωρὶς τοῦ ῥ, κατὰ τῶν ἀπελευθερωθέντων διδομένη τοῖς ἐλευθερώσασιν, ἂν ἀφιστῶνται ἀπ' αὐτῶν καὶ ἕτερον ἐπιγράφωνται προστάτην, καὶ ἐάν, ἃ κελεύουσιν οἱ νόμοι ποιεῖν τοὺς ἀπελευθέρους τοῖς ἀπελευθερώσασι, μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας πάλιν ἔδει δουλεύειν, τοὺς δὲ νικήσαντάς τελέως ἤδη ἐλευθέρους εἶναι.

Ἀπροστασίου: εἶδος δίκης κατὰ τῶν μετοίκων τῶν προστάτην μὴ νεμόντων. ᾑρεῖτο γὰρ ἕκαστος αὐτῶν ὃν ἤθελε τῶν πολιτῶν τινὰ προστάτην, τὸν ἐπιμελησόμενον καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων ὑπὲρ αὐτοῦ, ὥςπερ ἐγγυητὴν ὄντα.

Ἀποψηφισθέντα: τὸν ἀποψηφισθέντα ἐν ταῖς διαψηφίσεσι τῶν δήμων, καὶ εἰςαγόμενον εἰς δικαστήριον, καὶ ξενίας κρινόμενον. καὶ εἰ μὲν νικήσειε, κατεδέχετο εἰς τὴν πολιτείαν· εἰ δὲ μή, ὡς ξένος ἐπιπράσκετο. καὶ τοῦτο ἐκαλεῖτο ἀποψήφισις.

Ἀπόλειψις: σημαίνει μὲν ἁπλῶς τὸ ἀπολείπειν· ἰδίως δὲ καὶ ὅταν γαμετὴ τὸν ἄνδρα ἀπολείπῃ καὶ χρηματίζῃ πρὸς ἄνδρα ἀπάλειψιν.

Ἀποτιμηταί: οἱ πεμπόμενοι παρὰ τοῦ ἄρχοντος ἀποτιμῆσαι τὰ ἐνέχυρα, ἃ οἱ μισθούμενοι τὸν τῶν ὀρφανῶν οἶκον παρὰ τοῦ ἄρχοντος παρεῖχον τῆς μισθώσεως.

Ἀποτιμᾶν: αὐτὸ τὸ πρᾶγμα.

Ἀποτιμήματα: ὅταν τις, προικὸς ὀφειλομένης, κτῆμά τι τοῦ λαβόντος τὴν προῖκα ἐνεχυριάσῃ.

Ἀγορυρίου δίκη: ὄνομα δίκης, ὁπότε τις ἀπαιτοίη

ἀργύριον ὡς προσῆκον αὐτῷ, καὶ μὴ λαμβάνων δίκην λαγχάνει ἀργυρίου τῷ ἔχοντι.

Ἀῤῥηφορεῖν: τὸ λευκὴν ἐσθῆτα φορεῖν καὶ χρυσία. ἦσαν δὲ τέσσαρες παῖδες, χειροτονητοὶ κατ' εὐγένειαν, ἀῤῥηφόροι ἀπὸ τῶν ἑπτὰ μέχρι ἕνδεκα.

Ἀῤῥηφορία: ἑορτὴ Διονύσου.

Ἄτιμητος ἀγὼν καὶ τιμητός: ἄτιμητος μέν ἐστιν ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐδέν ἐστιν, ἀλλὰ τοὺς δικαστὰς ἔδει τιμῆσαι, ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι· τιμητὸς δὲ ἐφ' ᾧ ὡρισμένον ἦν τὸ τίμημα.

Ἄφεις καὶ ἀπαλλάξας: τὸ μὲν ἀφεὶς ἐστιν ὅταν τις ἀπολύσῃ τινὰ τῶν ἐγκλημάτων, ὧν ἐγκαλεῖ αὐτῷ· τὸ δ' ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν.

Ἀναγκαῖον: δεσμωτήριόν ἐστι παρὰ Βοιωτοῖς οὕτω καλούμενον, ὡς καὶ παρὰ Κυπρίοις ὁ κέραμος.

Ἄλληκτα: ἀκλήρωτα, ἀδιαίρετα, ἀμέριστα, κοινά.

Ἀκεστῷ: τῷ ἰασίμῳ καὶ θεραπευσίμῳ πράγματι.

Ἄλφιτα: τῆς κριθῆς τὰ ἄλευρα.

Ἀετὸς προπύλαιος: τὸ νῦν λεγόμενον ἀέτωμα ἢ δέλτα.

Ἀφιδρύματα ἐν ταῖς σφενδόναις: ἀφιδρύματα μὲν τὰ ἀγάλματα, σφενδόναι δὲ τόπος Ἀθήνησιν.

Ἀκροστόλιον τριήρους: τὸ ἄκρον τῆς πρύμνης τὸ ἀνατεταμένον εἰς τὸ ἄνω μέρος.

Ἀμφιδέῤῥεα: κόσμος τραχήλιος.

Ἀρχώνης: ὁ ἄρχων ὠνῆς οὑτινοσοῦν.

Ἀρχιτέκτων: ὁ τῶν οἰκοδομημάτων ἐπιστάτης, καὶ ὁ ἄρχων τῶν τεκτόνων, καὶ ὁ κατὰ σκευωρίαν κατασκευάζων τι πρᾶγμα.

Ἀμφοτερόπλου: τὸ δύο πλοῦς ποιήσασθαι ἐπὶ τοὺς αὐτοὺς λιμένας.

Ἀνακτορίου: τὸ ἅγιον ἱερὸν τῶν ἀνακτόρων.

Ἄλογοι τίνες λέγονται: οἱ μήπω ἀνηρημένοι τὸν ἔρανον ἐρανισταί, οἱ μὴ καταθέμενοι τοῦ ἐράνου τὴν καταβολήν, οἷς οὐδείς ἐστι λόγος πρὸς τὸ μὴ ὀφείλειν.

Ἀταλάντη τριήρης: ὠνομάσθη οὕτως ἡ τριήρης ἤτοι 5 ἀπὸ Ἀταλάντης τῆς ἡρωΐνης, ἥτις ἦν ὠκίστη δραμεῖν, ἢ ἀταλάντη καὶ ἰσόζυγος, ὡς τὸ

Διὶ μῆτιν ἀτάλαντον.

Ἀντλία: ἄγγος ἐν ᾧ τὸ ὕδωρ τὸ ἐν τῷ πλοίῳ γινόμενον ἀπαντλοῦσιν εἰς θάλασσαν, ὃ καὶ νῦν καλούμε- 10 νος καδίσκος.

Ἀκροθίνιον: κυρίως μὲν ἡ τῶν θινῶν ἀπαρχή· θῖνες δέ εἰσιν οἱ τῶν πυρῶν καὶ τῶν κριθῶν σωροί· καταχρηστικῶς δὲ ἡ ἀφ᾽ ὁτουοῦν ἀπαρχή.

Ἄφυα: ὄνομα ἑταίρας. ἐκλήθη δὲ οὕτως ἀπὸ τῆς ἀφύ- 15 ης, ὅ πέρ ἐστιν ἰχθύδιον φαῦλον καὶ λυπρόν. τοιαύτη δὲ ἦν καὶ ἡ ἑταίρα, ὡς ἔοικεν, ἀφ᾽ οὗ καὶ τὴν προσηγορίαν ἔσχεν.

Ἀδηφάγους τριήρεις: τὰς μεγάλας τριήρεις, ἢ τὰς ἐχούσας ἐντελῆ τὰ πληρώματα. παρ᾽ ὃ καὶ ἀδηφάγα 20 ἅρματα λέγουσι τὰ μεγάλα καὶ τέλεια.

Ἀποστολεῖς: ἄρχοντες δέκα τὸν ἀριθμόν, ἐπὶ τῶν ἐκπλεουσῶν τριήρων καὶ τῶν ἀποστόλων ἀναγομένων, παρὰ τὸ ἀποστέλλειν τὰ πλοῖα.

Ἀκαριαῖον: τὸ βραχύ. 25

Ἀνέπαφα: τὰ ἀνεπίληπτα, ὧν οὐκ ἄν τις ἅψαιτο. ἀφάσεσθαι γάρ ἐστι τὸ ψηλαφᾶν καὶ ἅπτεσθαι.

Ἀναδενδράδες: τὰ κλήματα τῆς ἀμπέλου τὰ ὑπερμήκη.

Αὐχμοί: αἱ ἀνομβρίαι, ἀφ᾽ οὗ καὶ αἱ ἐκπυρώσεις τῶν 30 φυτῶν καὶ ἀφορίαι καὶ ἀκαρπίαι.

Αἱμασιά: τὸ αὐτοσχέδιον περιτείχισμα τὸ ἐν τοῖς

ἀγροῖς γινόμενον ἔξωθεν τῶν ἀμπέλων, πρὸς τὸ μηδένα τῶν ὁδῷ παριόντων ῥᾳδίως εἰσιόντα ὀπωρίζεσθαι.

Ἄξονες: ξύλα τετράγωνα, ἀπὸ γῆς κάτωθεν ἄνω διήκοντα μέχρι τοῦ ὀρόφου, καὶ στρεφόμενα ἀπό τινος περόνης. ἐπὶ τούτων οἱ νόμοι ἀνεγράφοντο. 5

Ἀγορὰ καὶ ἐφορία: ἡ σύνοδος ἡ πρὸς τοῖς κοινοῖς ὅροις γινομένη τῶν ἀστυγειτόνων, οὗ οἱ ὅμοροι ὁμοῦ συνιόντες περὶ τῶν κοινῶν ἐβουλεύοντο.

Ἀμόργινα: τὰ πορφυροβαφῆ νήματα καὶ λεπτά.

Ἀντίθετα: εἶδος σχήματος ῥητορικοῦ. ἀντιτίθεται δὲ πολλά, κῶλον κώλῳ καὶ νόημα νοήματι καὶ ἐπιχείρημα ἐπιχειρήματι καὶ κεφαλαῖον κεφαλαίῳ καὶ λόγος λόγῳ, καὶ ὅλως πολύ ἐστι τὸ εἶδος τῶν ἀντιθέτων. 10

Ἀμοιγέποι: ἀντὶ τοῦ ὁπηδή.

Ἀμφίθυρος οἰκία: ἡ ἔχουσα ἑκατέρωθεν θύρας φερούσας ἔξω εἰς τὴν ὁδόν. 15

Ἄτεων: ὁρμῶν καὶ πηδῶν, ἀπὸ τοῦ ἀΐσσων, ὅ πέρ ἐστιν ὁρμῶν.

Ἀφ' ἑστίας μυηθῆναι: ὁ ἐκ τῶν προκρίτων Ἀθηναίων κληρῳ λαχὼν παῖς δημοσίᾳ μυηθείς. 20

Ἄρτημα: ὁ δεσμὸς τοῦ βαλλαντίου, ἢ ὁ τελαμὼν ἐξ οὗ ἤρτηται τὸ βαλλάντιον· ὅπερ καὶ πιθανώτερον.

Ἀβρότων: κογχυλίου εἶδος· πολλάκις δὲ αὐτὰ ἀγεληδὸν νέμονται. οἱ δὲ εἶδος ἀκρίδων, αἵτινες πολλαὶ γενόμεναι ὁμοῦ τοὺς καρποὺς διαφθείρουσιν. οἱ δὲ μελιττῶν. οἱ δὲ ἀπρότων φασὶν εἶναι ἀντὶ τοῦ ληστῶν. 25

Αὐτολήκυθος: ὁ πένης, ἀπὸ τοῦ ἑαυτῷ τὰς ληκύθους φέρειν εἰς τὰ βαλανεῖα. οἱ δ' ἄσωτοι, παρὰ τὸ τὰς συμβολὰς ἐν ταῖς ληκύθοις ἔχειν καὶ φέρειν εἰς τὰ συμπόσια. 30

Ἀποφράδες: αἱ ἐναγεῖς καὶ μιαραὶ ἡμέραι καὶ μέλαιναι.

Ἀστράγαλοι διάσειστοι: οἱ μεγάλοι καὶ κυβευτικοὶ ἀστράγαλοι ἐν τῷ βάλλεσθαι.

Ἀστράβη: σκεῦός τι ἐπὶ τῶν ὄνων ἢ τῶν ἵππων ἢ τῶν ἡμιόνων ἐπιτήδειον.

Ἄμιππος: ἐὰν διὰ τοῦ ν γράφηται ἡ συλλαβή, ἄνιππος, σημαίνει τοὺς ἵππους μὴ ἔχοντας ἀλλὰ πεζούς. ἐὰν δὲ διὰ τοῦ μ, ἄμιππος, ὅπερ καὶ μᾶλλον, σημαίνει τοὺς δύο ἔχοντας ἐζευγμένους ἵππους ἱμᾶσι χωρὶς ζυγοῦ, καὶ τὸν μὲν ἡνιοχοῦντα, τὸν δὲ μαχόμενον. 5

Ἀποσέσχεν τοὺς ὅρμους τοῦ μετάλλου: ἀποσέξαι τὸ διασεῖσαι καὶ κινῆσαι. ὅρμοι δέ εἰσιν ὥςπερ κίονες τοῦ μετάλλου. οὗτοι δ' ἦσαν καὶ ὅροι τῆς ἑκάστου μερίδος, ἣν ἐμισθώσατο παρὰ τῆς πόλεως. 10

Ἄμφοδον: ἡ ὥςπερ ἐκ τετραγώνου διαγεγραμμένη ὁδός.

Ἀπόταφον: τὸν χωρὶς ταφέντα καὶ ἀλλαχῇ τοῦ τῶν ἄλλων νεκρῶν τάφου. 15

Ἀμνόν καὶ ἀμνήν: τὸ βραχὺ καὶ νεογνὸν καὶ ἄρτι τεχθὲν πρόβατον.

Ἀκρατοκώθωνες: οἱ νέοι οἱ πίνοντες ἄκρατον ἐκ τῶν κωθώνων, ἐξ ὧν καὶ οἱ κώθωνες ἐκλήθησαν, ἐπεὶ ἐν τοῖς συμποσίοις τὸν ὅλον βίον διάγουσιν ἀκρατοποτοῦντες καὶ μεθύοντες καὶ παροινοῦντες. 20

Ἀκινάκης: εἶδος ξιφους βαρβαρικοῦ.

Ἀρκτοῦρον: τὸν ἀρκτοφύλακα, ὃν καὶ Βοώτην καλοῦσιν. οὗτος δέ ἐστιν ὁ τοῦ Ὠρίωνος. δύνει δὲ ἀρχομένου χειμῶνος. 25

Ἀπατούρια: ἑορτή τις Ἀθήνησιν, ἀπὸ τῆς ἀπάτης τῆς Μελανθίου ὀνομασθεῖσα, ἣν ἠπάτησε Ξάνθον μονομαχοῦντα περὶ γῆς ὅρων.

Ἅπλας: ὑποδήματος εἶδος Λακωνικοῦ. ὠνόμασται δὲ ἀπὸ τοῦ ἁπλῶς καὶ οὐ τετεχνιτευμένως γεγενῆσθαι. ἁπλοῖ δὲ οἱ Λάκωνες καὶ οὐ περίεργοι περὶ τὰς κατασκευάς. 30

Ἀλαβαστοθήκας: τὰ ἀγγεῖα, ὅπου τίθεται τὰ ἀπὸ τῆς ἀλαβάστου γινόμενα ληκύθια. σημειωτέον δὲ ὅτι χωρὶς τοῦ ρ ἀλάβαστος λέγεται, οὐχὶ ἀλάβαστρος.

Ἄρκτεῦσαι: τῇ Ἀρτέμιδι καὶ τῇ ἄρκτῳ ἀφοσιώσασθαι καὶ θῦσαι, ὅπερ ἐποίουν πρὸ τῶν γάμων αἱ κόραι διὰ τὸν τῆς θυσίας χρησμόν. 5

Ἄργας: ὁ Δημοσθένης οὕτως ἐκλήθη ὡς κακῶν ἔργων ποιητής. οἱ δὲ ἄργαν ὄφιν εἶναί φασιν.

Ἁλάστωρ: ὁ ἁμαρτωλός, παρὰ τὸ ἀλιτεῖν, ὅ πέρ ἐστιν ἁμαρτεῖν. 10

Ἄρτι καὶ ἀρτίως: ἀντὶ τοῦ πρὸ ὀλίγου. τάσσουσι γὰρ αὐτὸ ἐπὶ τοῦ ἤδη εἰρημένου ἢ πεπραγμένου, ἐπὶ δὲ τοῦ μέλλοντος οὐδέποτε.

Ἄγειν καὶ φέρειν: ἀντὶ τοῦ ληστεύειν καὶ ἁρπάζειν. ἤγετο μὲν τὰ ἔμψυχα, ἐφέρετο δὲ τὰ ἄψυχα. 15

Ἁρμοσταί: οἱ φρούραρχοι τῶν Λακεδαιμονίων, παρὰ τὸ ἁρμόζειν τὰς πόλεις τοῖς Λακεδαιμονίοις.

Ἅμη: τὸ ἐργαλεῖον, ἐν ᾧ ὀρύττουσι τὴν γῆν.

Ἀκίβδηλον: τὸ καθαρὸν καὶ γνήσιον καὶ ἀδιάφθορον.

Αὐλὼν τόπος τῆς Ἀττικῆς καλεῖται, ἐπειδὴ ἐπιμήκης καὶ στενός, ὡς αὐλῷ ἐοικέναι. 20

Ἀφανίσαι οἱ παλαιοὶ οὐχὶ τὸ μολῦναι λέγουσιν, ὡς νῦν, ἀλλὰ τὸ τελέως ἀφανὲς ποιῆσαι.

Ἀπενιαυτίσαι: ἐπ' ἐνιαυτὸν φυγεῖν. ἢ ἐπὶ τοῦ ἐντὸς ἐνιαυτοῦ ἀποθνήσκοντος. 25

Ἀψιμαχία: ἡ πρὸς ὀλίγον διαφορά, ἀπὸ τοῦ ἅψασθαι μάχης.

Ἀποσημάνασθαι τὸ σφραγίζειν λέγεται.

Ἀστεῖος: ὁ γέλωτα κινεῖν δυνάμενος καὶ βωμολόχος. σημαίνει δὲ καὶ τὸν εὖ ἐσταλμένον, καὶ τὸν εὔλαλον, ᾧ ἐναντίος ἐστὶν ὁ γριτικὸς ἄνθρωπος καὶ ἄγροικος. σημαίνει δὲ καὶ τὸν ἐν ἄστει διατρίβοντα, καὶ τὸν διὰ ἦθος ἐπαινούμενον. 30

Αὐτομαχεῖν: τὸ ἑαυτῷ μάχεσθαι ἢ ἄλλῳ μόνον.

Ἄρδηττος τόπος ἐστὶν Ἀθήνησιν, ἀπὸ Ἀρδήττου τινὸς ἥρωος, ὃς στασιάζοντας τοὺς Ἀθηναίους κατήπειγεν ὅρκοις ὁμονοεῖν. ἐν τούτῳ οὖν τῷ χωρίῳ ὤμνυον οἱ δικασταὶ τὸν δικαστικὸν ὅρκον. 5

Ἀπὸ μισθωμάτων θύειν: τὸ τὰς θυσίας μισθωσαμένους παρέχειν τῇ πόλει καὶ τοῖς ἄρχουσι τὰ ἱερεῖα εἰς τὰς ἑορτάς, ὥςτε δοκεῖν μὲν τὴν πόλιν καὶ τοὺς ἄρχοντας θύειν, τῇ δ' ἀληθείᾳ τοὺς μισθωτὰς παρέχεσθαι τὰ ἱερεῖα. ἔθος γὰρ ἦν τοῖς βουλομένοις 10 μισθοῦσθαι τὰς θυσίας, καὶ τέλος ἦν τῶν θυσιῶν πωλούμενον τῷ βουλομένῳ.

Ἀμφιδρόμια: ἑστίασις ἀγομένη ἐπὶ τοῖς βρέφεσι μετ' ὀλίγας ἡμέρας τοῦ τεχθῆναι. ἐκλήθη δὲ ἀπὸ τοῦ ἀμφιδρομεῖν καὶ περιτρέχειν πανταχοῦ μετὰ τοῦ παι- 15 δίου, ἐπιθύοντας τοῖς θεοῖς.

Ἀτιμαζόμενοι: ἀντὶ τοῦ πληττόμενοι. εἴρηται δὲ ἡ λέξις ἀπὸ τῆς ἄτης.

Ἀπηχῆ: ἀπεχθῆ καὶ λυπηρά. ὅπου γὰρ ἀνάγκη καὶ οὐ προαίρεσις, ἐκεῖ ἐστὶ καὶ λύπη. 20

Ἀναίσχης: ὁ ἄπειρος κληδόνος. εἴρηται δὲ κατὰ στέρησιν τοῦ αἴσχους καὶ τῆς αἰσχύνης.

Ἀναγωγή: ἡ ἀπόδοσις τοῦ κακῶς πραθέντος ἀνδραπόδου.

Ἄτης ὕης: τὸ μὲν ὕης υἱός, τὸ δὲ ἄτης θεᾶς Ἀβάζιος. οἱ δέ φασι μυστικὰ εἶναι ἐπιφθέγματα. ἄλλοι 25 δὲ ὕην μὲν εἶναι τὸν Διόνυσον ἀπὸ τοῦ συμβάντος ἐπὶ τῇ γεννήσει αὐτοῦ ὑετοῦ· ὗσε γὰρ ἀμβροσίαν ἐπ' αὐτῷ ὁ Ζεύς· ἄτης δέ ἐστιν ὁ Διόνυσος ἀπὸ τῆς γενομένης ἐκ Τιτάνων εἰς αὐτὸν ἄτης καὶ φθορᾶς. 30 οἱ δὲ ἐπίθετα Διονύσου.

Ἀθηνᾶ ἱππία: ἐκλήθη οὕτως ἡ Ἀθηνᾶ, ἐπεὶ ἐκ τῆς κεφαλῆς τοῦ Διὸς μετ' ἵππων ἀνήλατο, ὡς ἐπ' αὐτῇ

ὕμνος δηλοῖ. ἢ ὅτι, Ποσειδῶνος οὖσα θυγάτηρ καὶ Κορυφῆς τῆς Ὠκεανοῦ, ἔχουσα ἅρμα οὕτως ἐγεννήθη. ἢ ὅτι Ἄδραστος Θήβηθεν φεύγων, ἐπὶ Κολωνῷ στήσας τοὺς ἵππους, Ποσειδῶνα καὶ Ἀθηνᾶν ἱππίους προσαγορεῦσαι. . . 5

Ἄρτι μῦς πίττης γεύεται: παροιμία ἐπὶ τῶν δεινὰ πεπονθότων ἢ πασχόντων.

Ἀναβάλλειν: ὑπερτίθεσθαι.

Ἀπὸ μηχανῆς: μηχανή ἐστι παρὰ τοῖς κωμικοῖς ἐγκυκλήματός τι εἶδος ἀπὸ συνθήκης πρὸς ὃ φέρεται ὁ 10 εἰς τὴν σκηνὴν δείξεως χάριν θεοῦ ἢ ἄλλου τινὸς ἥρωος.

Ἀντίπαλος: δύο σημαίνει ἡ λέξις, ἤτοι τοὺς ἴσους καὶ ἰσορρόπους, ἢ ἁπλῶς τοὺς πολεμίους. ὅπερ καὶ μᾶλλον παρὰ τοῖς ῥήτορσιν. 15

Ἀποκτυπῆσαι: παῖσαι.

Ἀλίπεδον: ἀμμῶδες πεδίον ἀπὸ ἁλός, ὅ πέρ ἐστι θάλασσα, πέδον δέ, ὅ πέρ ἐστι γῆ, πεποιημένον παρὰ τὸ ἁλίζεσθαι ἐκεῖ τοὺς ἵππους. ἐν γὰρ τοῖς τοιούτοις χωρίοις ἀμμόδρομοι ἦσαν. 20

Ἀδημονεῖν: ἀντὶ τοῦ ἀθυμεῖν καὶ λυπεῖσθαι.

Ἅλῶα: ἑορτή τις τὰ ἅλῶα, προσαγορευθεῖσα ἀπὸ τῆς ἁλοήσεως τῶν καρπῶν.

Ἄσας: τὰς ἀνίας.

Ἀρρίχος: ὁ κόφινος καὶ τὸ τοιοῦτον πλέγμα. 25

Ἀστικὸν ἐμπόριον ὅπου οἱ ἀστοὶ ἐμπορεύονται. ἦν δὲ καὶ ἄλλο ξενικόν, ὅπου οἱ ξένοι.

Ἀνθεστηριών: μὴν Ἀθήνησιν.

Ἀπόκριναι γάρ μοι δεῦρο ἀναστάς· οὐ γὰρ δι' ἀπειρίαν ἀγνοήσεις, ὅ τι εἴπῃς: οἱ μὲν τὸ ἀπόκριναι φασιν αὐτὸν εἰρηκέναι οὐκ ἐπὶ τῶν ἑξῆς πραγμάτων, ἀλλ' ἐπὶ τῶν ἤδη εἰρημένων, ἵνα μὴ ζητῆται ἡ ἐρώ-

ἐρώτησις. οἱ δὲ τὸ ἀπόκρινναί φασιν εἶναι ἀντὶ τοῦ ἀπολόγησαι.

Ἄτιμον τόπον: ᾧ παντὶ προσπελάσαι οὐκ ἔξεστιν.

Ἀγαθοεργοί εἰσιν οἱ ἐκ τῶν ἱππέων ἑξιόντες ἑκάστου ἔτους, ὡς Ἡρόδοτος. ἢ οἱ τῶν ἀρχόντων ὑπηρέται. ἢ οἱ ἀγαθόν τι εἰργασμένοι. 5

Ἀβούλητα: ἀκούσια.

Ἁβρά: μαλακά, τρυφερά.

Ἁβρύνεται: τρυφερεύεται.

Ἀγασθείς: χαρείς, θαυμάσας. 10

Ἀγαθὴ τύχη: ἡ Νέμεσις καὶ ἡ Θέμις.

Ἀγαθοί: οἱ εὖ γεγονότες καὶ πεπαιδευμένοι καὶ ἐνάρετοι. ἔκιοι πλουσίους.

Ἀγαθοῦ δαίμονος πόμα: τὸ μετὰ δεῖπνον ἄκρατον πινόμενον παρ᾽ Ἀθηναίοις. καὶ τὴν δευτέραν ἡμέραν 15 οὕτως ἐκάλουν.

Ἀγακλεές: λίαν ἀγαθόν, εὐκλεές.

Ἀγάλλεται: τέρπεται, σεμνύνεται, σοβαρεύεται, γαυριᾷ.

Ἄγαμαι: φιλῶ, ἥδομαι, θαυμάζω, φθονῶ, ἀγαπῶ, ἀπο- 20 δέχομαι.

Ἄγαν: ἐπὶ τοῦ πολλοῦ καὶ μεγάλου καὶ λίαν.

Ἀγαπητόν: κεχαρισμένον ἢ μονογενῆ.

Ἀγγαρεία: δουλεία.

Ἀγέρωχοι: οἱ ἔντιμοι, ἐπὶ γέρως ὀχούμενοι. οἱ δὲ ὑπε- 25 ρηφάνους ἢ μεγαλαύχους.

Ἄγκυρα: τὸ αἰδοῖον παρὰ Ἐπιχάρμῳ. Κύπριοι δὲ τὸ τριώβολον ἄγκυραν λέγουσι. καὶ τὸ ναυτικὸν σκεῦος. καὶ ἡ ἀσφάλεια.

Ἁγνεύειν: τὸ ἀπὸ ἀφροδισίων καθαρεύειν. ἡ συνή- 30 θεια δὲ τὴν τῶν βρωμάτων ἀπόσχεσιν.

Ἀξιόχρεως: ἱκανός, ἐχέγγυος, ἀξιόπιστος.

Ἀγλαΐζει: σκευάζει, κοσμεῖ, ποιεῖ.

Ἀναδύεσθαι: φεύγειν, ἀναβάλλεσθαι.

Ἀμφορεύς: κάδος. οἱ δὲ κοινῶς μὲν πᾶν κεράμιον.

Ἀναγυράσιος: ὁ Ἀναγυροῦς δῆμος τῆς Ἀττικῆς, ἔνθα καὶ φυτὸν φύεται δυςῶδες ὃ ἀνάγυρος, ἐφ᾽ οὗ λέγεται μὴ κινεῖν τὸν ἀνάγυρον.

Ἀποινᾶν: ἄποινα λαμβάνειν.

Ἀγχίνοια: ταχύνοια.

Ἀγορά: τόπου ὄνομα. καὶ τὰ ἀγοραζόμενα. Θεσσαλοὶ δὲ καὶ τὸν λιμένα ἀγορὰν καλοῦσι. Κρῆτες τὴν ἐκκλησίαν. παρ᾽ Ὁμήρῳ καὶ πάντα ἀθροισμόν.

Ἀθυμία: ἀψυχία καὶ τὸ ἀπαγορεῦσαι.

Ἄμυνα: ἡ βοήθεια.

Ἀδηφάγοι: οἱ πολὺ καὶ ἀναιδῶς ἐσθίοντες.

Ἆθλος: κυρίως ὁ πόνος καὶ τὰ ἔπαθλα.

Ἀνδριάντα: σημαίνει καὶ τὴν γραφήν, ὥςπερ ὁ Πλάτων.

Ἀποψύχειν: ἀφοδεύειν. κυρίως δὲ καὶ τὸ ἀποθνήσκειν.

Ἀδικοχρημάτους: τοὺς κακοπράγμονας. οἱ δὲ τοὺς ἐξ ἀδίκων πλουτοῦντας.

Ἀπογενομένους: σημαίνει καὶ τοὺς ἀποθνήσκοντας καὶ τοὺς πόῤῥω γενομένους.

Ἀπαρτί: ἀπηρτισμένως. σημαίνει δὲ καὶ τὸ κατ᾽ ἐναντίον καὶ ἄντικρυς.

Ἀπόφασις δίκης: σημαίνει τὴν διάγνωσιν καὶ τὴν μετὰ τὴν διάγνωσιν τῶν δικαστῶν ἀπόφασιν.

Ἄρτι: τὸ παρὸν καὶ ὑπόγυον, τὸ παραυτίκα μέλλον γίνεσθαι.

Ἀμοργίς τί ἐστι: τοῦ καλάμου τῆς ἀνθήλης τὸ λεπτότατον· ἔοικε δὲ βύσσῳ. ὅθεν ἀμόργινα ἱμάτια.

Ἀναποδίζειν: τὸ τοῖς ποσὶν ἀναμετρεῖν χωρίον. σημαίνει δὲ καὶ τὸ ἐξετάζειν καὶ ἀναζητεῖν.

Αὐτήκοοι: ἀφ' ἑαυτῶν πιθήνιοι. κατήκοοι δὲ οἱ ἑτέροις ὑπακούοντες καὶ ἐπιτασσόμενοι.

Αὐτίκα μάλα: ἀντὶ τοῦ εὐθύς.

Αὐτίκα: μικρὸν ὕστερον.

Ἀπογνῶναι: ἀπελπίσαι. 5

Ἀνωμαλία: καὶ ἡ ἀνισότης καὶ ἡ νῆσος.

Ἁρμοστής παρὰ Λακεδαιμονίοις ἐκαλεῖτο ὁ ἐκπεμπόμενος ἐπιμελητὴς εἰς ὑπήκοον πόλιν φρούραρχος.

Ἀνάστατον τὴν πόλιν ποιήσας: ἀνοικίσας ἢ μεταστήσας ἢ μεταγαγών. καὶ ἀνάστατος ὁ καταλιπὼν 10 τὴν οἰκείαν καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ζῆν αἱρούμενος.

Ἀλθίη: ληφθείη.

Ἀπαρτᾷν: ἀποκρεμᾷν.

Ἀνδριάντα: τὸν χαλκοῦν ἢ τὸν λίθινον, ἢ καὶ τὴν γραφήν. 15

Αἰακὸς ἢ Ῥαδάμανθυς ἢ Μίνως: οὗτοί εἰσι κριταὶ τῶν κατοιχομένων.

Ἀλάστωρ: ὁ μεγάλα τετολμηκὼς ἀδικήματα, ὧν οὐκ ἂν ἐπιλάθοιτό τις, ἀλάστωρ καλεῖται.

Ἀλιτήριος: ὁ πολλὰ ἠδικηκὼς καὶ ὃν κολάζειν προσ- 20 ῆκε περὶ ὧν ἐξήμαρτεν.

Ἀνομολόγητα: τὸ ἐπ' ἀργυρίῳ ἐκ δευτέρου συνθήκας ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς δεδανεικότας καὶ τοὺς ὀφείλοντας τοῦ τε τόκου καὶ τῆς προθεσμίας, εἰ χρόνος ἱκανὸς διέλθοι καὶ μὴ διαλύοιντο οἱ δεδανεισμέ- 25 νοι, τοῦτο ἀνομολογεῖσθαι καλεῖται.

Ἀριστεῖον: βραβεῖον, γέρας, ἔπαθλον.

Ἀκκώ: γυνὴ εὐήθης.

Ἀμφιετίδης καὶ Μελιτίδης: οὗτοι ἐπὶ ἀνοίᾳ διεβάλλοντο. 30

Ἄνυτος: οὗτος πρῶτος δικαστήριον κατέδειξεν.

Ἀρουραῖος Οἰνόμαος: ὁ Αἰσχίνης, ὅτι τὸν Οἰνόμαον

ὑποκρινόμενος ἔπεσεν. ἀρουραῖος δέ, ὅτι ἐν τοῖς δήμοις ἐπεδείκνυτο, ἀνάξιος ὢν τῶν ἐν ἄστει ἀγώνων.

Ἀγγάρους: οἱ μὲν τοὺς πρέσβεις, οἱ δὲ τοὺς ἐκ διαδοχῆς γραμματηφόρους, οἱ δὲ τοὺς ἀπράκτους καὶ νωθεῖς. ἔλεγον δὲ καὶ τοὺς σταθμοὺς ἄγγαρά. καὶ τοὺς ἐπὶ τὸ καθοδηγεῖν παραλαμβανομένους ἄκοντας. Αἰσχύλος γοῦν ἐν Ἀγαμέμνονι τὸν ἐκ διαδοχῆς πυρσὸν ἀπ' ἀγγάρου πυρὸς ἔφη.

Ἄρειος πάγος: ὄχθος Ἀθήνησιν.

Ἀκρόπολις: τόπος ὑψηλός. τὰ δὲ ὑπ' αὐτὴν ὑπόπολις ὠνομάσθη.

Ἀνακεῖον: Διοσκούρων ἱερόν, οὗ νῦν οἱ μισθοφοροῦντες δοῦλοι ἑστᾶσιν.

Ἀνδοκίδου Ἑρμῆς: ὁ παρὰ τῇ οἰκίᾳ τοῦ Ἀνδοκίδου.

Αἰάκιον: τόπος, οὗ φασὶ τὸν Αἰακὸν οἰκῆσαι.

Ἀστραπὴ δι' ἅρματος: τόπος Ἀθήνησιν ἐν τῇ Πάρνηθι, ὅπου Διὸς ἀστραπαίου ἐστὶ βωμός.

Ἀκαδημία τόπος λέγεται διὰ τοῦ ᾱ, ἀπό τινος Ἑκαδήμου. ἔστι δὲ γυμνάσιον.

Ἄγονον πήγανον μεγαλοπρεπές πρᾶον παρ' ἐνίοις ἢ ἄγνος.

Ἀγόντων: ἀντὶ τοῦ ἀγέτωσαν.

Ἀγορὰ Ἀργείων: καὶ ἐν τῇ Τρωάδι τόπος καὶ Ἀθήνησιν.

Ἀγορανόμος: δικαστὴς ἐν ἀγορᾷ νέμων τὸ δίκαιον.

Ἀγορητάς: τοὺς ἐν ἀγορᾷ ἀναστρεφομένους.

Ἀγός: ἡγεμών, βασιλεύς. καὶ ἐν Πέργῃ ἡ ἱέρεια τῆς Ἀρτέμιδος.

Ἀγοστούς: τοὺς ἀγκῶνας. οἱ δὲ ἄκρα χειρῶν. οἱ δὲ ἀγκύλας καὶ πήχεις.

Ἅγος: μίασμα ἢ ἀγκών. λέγεται δὲ ἅγος καὶ τὸ τίμιον καὶ ἄξιον σεβάσματος, ἐξ οὗ καὶ αἱ ἱέρειαι ἀναγεῖς, καὶ ἅγη τὰ μυστήρια καὶ ἄλλα τινά.

Ἄγραυλοι: οἱ ἐν ἀγρῷ διανυκτερεύοντες.
Ἀγριόθυμος: ἄγριος τῇ ψυχῇ.
Ἄγροικος: ἄφρων, δύσκολος.
Ἀγοσταί: κριθαὶ ὑπὸ Κυπρίων. καὶ τὸ ἀγοστήσας ἐκκριθιάσας, οἷον ὑψαυχενίσας. 5
Ἀγρῶσται: οἱ κυνηγέται, ἀπὸ τοῦ ἀγρώσσω ῥήματος.
Ὅμηρος:

ἰχθῦς ἀγρώσσων.

Ἀγύρτης: ἐπαίτης, φιλοκερδής.
Ἀγυρτικά: χυδαῖα ψεύσματα. 10
Ἀγυρτώδη: συρφετώδη.
Ἀγχέμαχος: ἐγγύθεν μαχόμενος.
Ἀγχίθυρος: γείτων.
Ἀγχέμολος: ἐγγὺς ἐλθών.
Ἀγχιστεία: συγγένεια. καὶ ἀγχιστεῖς οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος. οἱ δὲ ἔξω τούτων συγγενεῖς μόνον. οἱ δὲ κατ' ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται. 15
Ἀδωροδοκήτως: ὀρθῶς. 20
Ἀδεκάστως: ἀμερίστως, δικαίως.
Ἀδιάκριτος: ἀδιαχώριστος. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δέοντα ἢ ἀφρόνως φλυαρούντων.
Ἀκονιτί: ἄνευ ἀγῶνος καὶ μάχης, ἢ εὐμαρῶς· ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν οὕτως εὐμαρῶς περιγινομένων, ὥστε μηδὲ κονίσασθαι. 25
Ἄκομψον: ἀπάνουργον.
Ἀναδήσασθαι: στεφανώσασθαι. καὶ ἀναδήσοντες στέψοντες.
Ἀνδρολήψιον καὶ ἀνδρολημψία: ἀνδρολήψιόν ἐστι τὸ φόνου πραχθέντος ἔν τινι πόλει, καὶ τοῦ φονέως μὴ ἐκδιδομένου ὑπὸ τῶν πολιτῶν, τρεῖς ἀντ' αὐτοῦ τῶν ἐκείνου πολιτῶν ἄγειν εἰς δικαστήριον, δίκην 30

ὑφέξοντας τοῦ φόνου, καὶ τοῦτο ἀνδρολήψιον καλεῖται.

Ἀσκοφορεῖν, τὰ ἐν ταῖς Διονυσιακαῖς πομπαῖς τοὺς ἀστούς, ἐσθῆτα ἔχοντας ἣν βούλονται, ἀσκοὺς κατὰ τῶν ὤμων φέρειν. καὶ οἱ τοῦτο ποιοῦντες ἀσκοφόροι καλοῦνται, ὥςπερ νόμος τοὺς μετοίκους χιτῶνας ἐνδεδύσθαι χρῶμα ἔχοντας φοινικοῦν, καὶ τὰς σκάφας φέρειν· ὅθεν καὶ σκαφηφόροι καλοῦνται.

Ἀναγωγὴ οἰκέτου: δίκης ὄνομα. ἀναγωγὴ γάρ ἐστι τὸ τὸν πωλοῦντα οἰκέτην νόσημα ἔχοντα, καὶ μὴ προειπόντα τῷ ὠνουμένῳ, ἐφεῖσθαι τῷ ὠνησαμένῳ διακρίνεσθαι πρὸς τὸν πεπρακότα, ἀπογραψάμενον πρὸς τοὺς ἄρχοντας τὴν αἰτίαν, δι' ἣν ἐγκαλεῖ. καὶ τὸ οὕτως ἀπογράφειν ἀνάγειν καλεῖται, καὶ ἡ ἀπογραφὴ ἀναγωγή.

Ἀνάγειν εἰς πράτην καὶ ἀνάγειν ὠνήν: δίκης ὄνομα. ὅταν ἀμφισβητῇ τις περὶ οἰκέτου ὡς οὐ δεόντως πραθέντος, ὁ τὸν οἰκέτην διακατέχων παραγίνεται ἐπὶ τὸν πεπρακότα, καὶ ἀναγκάζει αὐτὸν συνίστασθαι τὴν δίκην πρὸς τοὺς ἀμφισβητοῦντας. καὶ τοῦτο καλεῖται ἀνάγειν εἰς πράτην.

Ἀμέλει: τοιγαροῦν, δηλαδή, πάντως. ἐπίρρημα γάρ ἐστι συγκατάθεσιν δηλοῦν. ἔστι δὲ καὶ ἀντὶ τοῦ καλῶς παρὰ Ἀριστοφάνει.

Ἀναίδην: ἀθράως, σφοδρῶς, ἀπηρυθριασμένως.

Ἀναῤῥηθῆναι: ἀνακηρυχθῆναι.

Ἀνεῖλεν: ἀντὶ τοῦ ἐμαντεύσατο. διφορεῖται γὰρ ἡ λέξις, ἐπεὶ ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἐφόνευσεν.

Ἀπροάπτως: ἀπροοράτως, ἀπροσδοκήτως.

Ἀράβιος αὐλητής: ἐπὶ τῶν ἀκαταπαύστως τι διαπραττομένων ἢ δυσχλούντων. ἔστι δὲ παροιμιῶδες.

Αὐτοβοεί: παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ.

οὕτω Θουκυδίδης. παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος.

Ἀρχαιρεσίας ἐν τῷ καιρῷ λέγουσιν, ἐν ᾧ προβάλλεσθαι τοὺς ἄρχοντας εἰώθασιν.

Ἄβυδος: ἐπὶ συκοφάντου τάττεται ἡ λέξις, διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς. καὶ Ἀβυδοκάμης ὁ ἐπὶ τῷ συκοφαντεῖν κομῶν· τοιοῦτοι γὰρ οἱ Ἀβυδηνοί. 5

Ἄμπωτις: ἡ ἀνάποσις. καὶ ἡ εἰς βάθος μετάστασις τῶν ὑγρῶν. 10

Ἀναπεπτωκότες: τὰς διανοίας ἀνατετραμμένοι.

Ἀνασεσυρμένη: ἡ συρόμενον ἱμάτιον ἐπαίρουσα καὶ γυμνοῦσα μέρος.

Ἀνθερεῶνα: τὸν ὑπὸ τὸ γένειον τόπον. καὶ βοτάνη δέ τις ἀνθερεὼν καλεῖται. 15

Ἀνθεστηριάδας Ῥόδιοι λέγουσι τὰς ἐχούσας ὥραν γάμου, μηδέπω δὲ γεγαμημένας.

Ἀοίδιμος: διαβόητος, ὀνομαστός, ὑμνητός.

Ἀποκήρυκτος: ὁ ἐπὶ ἁμαρτήμασιν ἐκπεσὼν τῆς πατρῴας οἰκίας· ἐκποίητος δὲ ὁ ἑτέρῳ δοθεὶς εἰς- 20 ποιήσασθαι. οὕτως Ἐρατοσθένης.

Ἄξιον: τὸ ἄξιον παρὰ τοῖς ῥήτορσι καὶ ἐπὶ τοῦ δικαίου τέτακται. τάσσουσι δὲ αὐτὸ καὶ ἐπὶ τῶν ὠνίων, ὅταν εὔωνόν τι πιπράσκηται. τάσσουσι δὲ αὐτὸ καὶ ἐπ' ἐκείνων, ἐπειδάν τις ὢν πολυχρήματος τόπον ὠνήσαιτο πολλοῦ ἄξιον. 25

Ἀναγινώσκειν: ἀναπείθειν. ἔστι γὰρ ἀναγινώσκειν τὸ γνῶναι διαλεχθέντα.

Ἀρεστήρ: πόπανον τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον κατὰ τοῦ πυρὸς ἀρεστὴρ καλεῖται. 30

Ἀπόμισθος: ὁ μισθοῦ πράξας ἔργον τι καὶ ἄμισθος. ἀφειμένος ἀπόμισθος καλεῖται.

Ἀρχαίου: ἐχρήσαντο τῷ ἀρχαῖον πάντες οἱ ῥήτορες ἐπὶ

τοῦ δανειζομένου ἀργυρίου, ὅπερ ἔνιοι κατά τινα συνήθειαν κεφάλαιον ὀνομάζουσι. παρείληπται δὲ τὸ ἀρχαῖον ὑπὸ τῶν ῥητόρων καὶ ἐπὶ τοῦ παλαιοῦ.

Ἅμα: Δημοσθένης μὲν ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξεν, Αἰσχίνης δὲ τὸ ἅμα ἔταξεν ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρόν. 5

Αἴσθεσθαι: αἴσθεσθαί ἐστι τὸ εἰδέναι τι ἀκριβῶς.

Αἰσθάνεσθαι: ἀντὶ τοῦ ὑποπτεύειν καὶ ὑπονοεῖν.

Ἀνάργυρος τί ἐστιν: ὁ ἀργύριον μὴ κεκτημένος ἀνάργυρος καλεῖται, εἰ καὶ ἱκανή ἐστιν ἡ οὐσία αὐτῷ ἐξ ἑτέρων χρημάτων. 10

Ἄτακτοι: οἱ περίεργοι καὶ παρὰ τὸ προσῆκόν τι ποιοῦντες. καὶ οἱ ἐν πολέμῳ συμβολῆς ἀγομένης πρὸς τοὺς ἐχθρούς, τάξιν παρὰ τῶν στρατηγῶν μὴ λαβόντες.

Ἀνάπηρος: ὁ καθ' ὑπερβολὴν πεπηρωμένος μέρεί τινὶ τοῦ σώματος ἀνάπηρος καλεῖται. 15

Ἀπεψηφισμένοι: οἱ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον παρεγγεγραμμένοι τῶν ξένων καὶ ἀποψηφισθέντες ὡς μὴ ὄντες ἄστοι.

Ἀνάδικος δίκη: δίκης ὄνομα. ὅταν γνώσεως δικαστῶν γενομένης περί τινος πράγματος αὖθις ὁ ἡττηθεὶς εἰς δικαστήριον ἔρχηται περὶ τῶν αὐτῶν κριθησόμενος, ἢ καὶ ἕτερος ἐγκαλῇ περὶ ὧν πρότερον ἐγένετο κρίσις, τοῦτο δίκη ἀνάδικος καλεῖται. 20

Ἀροῦν ἐπὶ καλάμῳ πυρούς: τὸ ἀεὶ σπείρειν καὶ μηδεμίαν ἄνεσιν διδόναι τῇ γῇ. 25

Ἀπειπεῖν: τέτακται ὑπὸ τῶν ῥητόρων τὸ ἀπειπεῖν καὶ ἐπὶ τοῦ κελεῦσαι μὴ πράττειν.

Ἅψασθαι: θίγειν καὶ ἅπτεσθαι.

Ἀπόῤῥησις: τὸ κελεύειν τι μὴ γίνεσθαι, καὶ τὸ ἀποκηρύσσειν. 30

Ἀποστελλόμενοι οὐ μόνον οἱ ἐκπεμπόμενοι ἐκ' προς-

ταγμάτων ἀπολυόντων, ἀλλὰ καὶ οἱ παραπεμπόμενοι ἐλέχθησαν παρὰ τοῖς ῥήτορσιν.

Ἀπολαχεῖν: τὸ διανείμασθαι τὰ πατρῷα ἢ καὶ ἄλλα κοινά, δόντα πρός τινας καὶ ἀπολαβεῖν τὸ προσῆκον μέρος ἕκαστον τῶν διανειμαμένων, παρὰ τοῖς ῥήτορσιν ἀπολαχεῖν εἴρηται. 5

Ἀσπαλιεύεσθαι: ὅπερ ἡμεῖς ἁλιεῦσαι καλοῦμεν, οἱ ῥήτορες καὶ οἱ κωμικοὶ ἀσπαλιεύεσθαι καλοῦσιν.

Ἀσέλγεια: ἡ περὶ τὰ ἀφροδίσια καθ' ὑπερβολὴν σπουδή. οἱ δὲ ῥήτορες ἐπὶ ὕβρεως καὶ αἰκίας ἐχρήσαντο. 10

Ἀμύνεσθαι: κέχρηνται οἱ ῥήτορες τῷ ἀμύνεσθαι καὶ ἐπὶ τοῦ ἀντιπράττειν τοὺς κακόν τι προδιαθέντας, καὶ ἐπὶ τοῦ ἀντευποιεῖν τοὺς εὐεργέτας.

Ἀμείβεσθαι: κέχρηνται οἱ ῥήτορες τῷ ἀμείβεσθαι καὶ ἐπὶ τοῦ χάριν ἐκτίνειν, καὶ ἐπὶ τοῦ ποιῆσαί τι κακὸν τοὺς ἄρξαντας ἀδικεῖν. 15

Ἀτυχεῖν: οὐκ ἐπὶ μόνου τοῦ χρῆσθαι δυστυχίᾳ ἔταξαν οἱ ῥήτορες τὸ ἀτυχεῖν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀποτυχεῖν. 20

Ἀναυμαχίου: εἶδος ἐγκλήματος καὶ ζημίας. ὥσπερ γὰρ τοῖ μὴ στρατεύεσθαι καὶ τοῦ λιπεῖν τὴν τάξιν καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτω καὶ τοῦ μὴ ναυμαχῆσαι. καὶ τοῦτο τὸ ὄφλημα ἀναυμαχίου ἐκαλεῖτο. 25

Ἀπόστολος: ὁ ἐκπεμπόμενος μετὰ στρατιᾶς καὶ παρασκευῆς ἐπὶ πόλεμον ἀπόστολος καλεῖται.

Ἀμνίδας: τὰ σταμνία Δημοσθένης.

Ἀσκεῖν: οἱ ῥήτορες χρῶνται μὲν καὶ ἐπὶ τῶν ἄλλο τι ἔργον σκοπούντων, τιθέασι δὲ καὶ ἐπὶ ἀνδρὶ ἀγαθῷ λόγων ἄσκησιν ποιουμένῳ. ὅταν δ' αὐτὸ καθ' αὐτὸ τάξωσι τὸ ἀσκεῖν, εἰδέναι χρὴ τότε, ὅτι τῇ λέξει ἐχρή- 30

σαντο ἐπὶ τῶν ἀγωνιζομένων τοὺς στεφανίτας, τουτέστιν ἐπὶ τῶν ἀθλητῶν.

Ἀποδεδύσθαι ἢ ἐκδεδύσθαι: τὸ μὲν ἀποδεδύσθαι τάσσουσιν οἱ ῥήτορες, ὅταν δηλῶσαι βουληθῶσιν ὅτι τὸ ἱμάτιον ἀπολώλεκέ τις λωποδύτῃ περιτυχὼν ἢ κακούργῳ ἀνδρί· τὸ δὲ ἐκδεδύσθαι ἐπὶ τῶν τὸν χιτῶνα ἀποδεδυκότων τάσσουσιν. 5

Ἀδούλευτος: ὁ ἀεὶ ἐν ἐλευθερίᾳ διάγων.

Ἀχαριστεῖν: τέτακται μὲν ὡς ἐπὶ τὸ πλεῖστον πρὸς τοὺς εὖ παθόντας, ὅταν μὴ βούλωνται χάριν ἐκτίνειν τοῖς εὖ πεποιηκόσιν. ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τῶν χαρίζεσθαι μὴ θελόντων χρῶνται τῷ ἀχαριστεῖν. 10

Ἀνατιθέναι: καὶ ἐπὶ τῶν ἀνατιθεμένων τοῖς θεοῖς ἀναθημάτων ἐχρήσαντο οἱ ῥήτορες τῇ λέξει, καὶ ἐπὶ τοῦ προσάπτειν τισὶ βλασφημίας ἢ διαβολάς. 15

Ἀκροθίνια: οἱ μὲν ἐνιαυσιαίων καρπῶν ἀπαρχάς, οἱ δὲ τὰς ἀπὸ τοῦ πολέμου σκυλεύσεις ἀπαρχὰς ἐξαιρέτους εἶναι.

Ἀρκάδας μιμούμενος: παροιμία ἐπὶ τῶν ἄλλοις πονούντων καὶ μοχθούντων. οἱ γὰρ Ἀρκάδες πολλὰ πολεμήσαντες οὐδεμίαν νίκην ἰδίαν ἔσχον. 20

Ἄτεγκτος: ἄπιστος καὶ ἀναίσθητος, ὁ μήτε παραινέσει μήτε φόβῳ τὴν πώρωσιν καὶ τὸ τοῦ ἤθους σκληρὸν τεγγόμενος καὶ μαλαττόμενος. λέγεται δὲ ἄτεγκτος κυρίως καὶ ὁ ἄβροχος, ἐξ οὗ ὁ μὴ δακρύων καὶ ὁ μὴ ἱδρῶν ἄτεγκτος. 25

Ἄπαγε ξένων ἐν χειμῶνι: παροιμία ἐπὶ τῶν ὀχληρῶν.

Ἀλώπηξ δωροδοκεῖται: παροιμία ἐπὶ τῶν ῥᾳδίως δώροις ἁλισκομένων. 30

Ἀριστίνδην: κατ' ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίστων νομοθετῶν.

Ἄσμενοι: πρόθυμοι, ἑκούσιοι.

Ἀπόῤῥητα: τὰ ἀπειρημένα λέγεσθαι ἢ πράττεσθαι.

Ἀνδραποδιστής: ὁ τοὺς δούλους ἀπὸ τῶν δεσποτῶν ἀποσπῶν εἰς ἑαυτόν, ἢ ὁ τοὺς ἐλευθέρους εἰς δουλείαν ἀπάγων.

Β.

Βάραθρον: πάγη τὰ μὲν ἄνω ἴσχουσα ἰσχυρά πως, τὰ δὲ κάτω ὑπόχαυνα, ὥστε τὸν ἐπιβάντα καταδῦναι. Ἀθήνησι δὲ ἦν ὄρυγμά τι ἐν Κειριαδῶν δήμῳ τῆς Οἰνηΐδος φυλῆς, εἰς ὃ τοὺς ἐπὶ θανάτῳ καταγνωσθέντας ἐνέβαλλον, ὥσπερ οἱ Λακεδαιμόνιοι εἰς τὸν Κεάδαν ἐνέβαλλον.

Βασιλεύς: βασιλεύς ἐστιν εἷς τῶν ἐννέα ἀρχόντων. ὁ δὲ βασιλεὺς μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνησε. γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας. καὶ ἄν τις ἱερωσύνης ἀμφισβητήσῃ, προστιμᾷ. διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν γερῶν. λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον.

Βοώνης: ἄρχων ὁ τοὺς βοῦς ὠνούμενος τῇ πόλει πρὸς τὰς θυσίας. ᾑρεῖτο δὲ ὑπὸ τῆς πόλεως, ἵνα βοῦς ὠνήσηται.

Βουλευτήριον: συνέδριον.

Βουλή: γνώμη, καὶ συνέδριον, καὶ σύνεσις, καὶ σκέψις καὶ συμβουλία περὶ τῶν πάκτων.

Βῆμα: πλείονα σημαίνει κοινότερον. ἔστι δὲ οὕτω πως καὶ τὸ λογεῖον, ὥσπερ καὶ τὰ ἐν ἐκκλησίᾳ καὶ τὸ ἐν δικαστηρίοις. ἴσως δὲ καὶ τὸ ἐκκύκλημα. ἦν δὲ καὶ ἐν Ἀρείῳ πάγῳ βῆμα.

Βδελυρός: μισητός, κακός.

Βεβαιώσεως: δίκης ὄνομά ἐστιν, ἣν ἐδικάζοντο οἱ

ὠνησάμενοι κατὰ τῶν ἀποδομένων, ὅτε ἕτερος ἀμφισβητοῖ τοῦ πραθέντος, ἀξιοῦντες βεβαιοῦν αὐτοῖς τὸ πραθέν. ἐνίοτε δὲ καὶ ἀῤῥαβῶνος μόνου δοθέντος. ἐπὶ τούτοις οὖν ἐλάγχανον τὴν τῆς βεβαιώσεως δίκην οἱ δόντες τὸν ἀῤῥαβῶνα τοῖς λαβοῦσιν, ἵνα βεβαιωθῇ ὑπὲρ οὗ ὁ ἀῤῥαβὼν ἐδόθη.

Βομβυλιός: εἶδος μελίττης, ὠνομασμένον ἀπὸ τοῦ βόμβου καὶ τοῦ βομβεῖν. καὶ ποτηρίου τι εἶδος στενοπόρου. καὶ τὸ ἐλαιηρὸν δὲ ἀγγεῖον καθ᾽ ὁμοιότητα τοῦ ποτηρίου βομβυλιὸς ἐκλήθη.

Βουλεύσεως: ἐγκλήματος ὄνομα ἐπὶ δυσὶ ταττόμενον πράγμασι. τὸ μὲν γάρ ἐστιν ἐπιβουλῆς, ὅταν τίς τινι ἐπιβουλεύσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθείς, ἐάν τε μή. τὸ δὲ ἕτερον, ἐάν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς δικάζηταί τινι τῷ μὴ δικαίως αὐτὸν ἐγγράψαντι.

Βακτηρία: ὁμόχρωμοι τοῖς δικαστηρίοις ἐδίδοντο βακτηρίαι, ἵνα ὁ λαβὼν οἱουδὴ χρώματος βακτηρίαν εἰς τὸ ὁμόχρωμον εἰσέλθῃ δικαστήριον, καὶ μὴ εἰς ἕτερον πλανᾶται διὰ τὸ πολλὰ εἶναι τὰ δικαστήρια.

Βρόχος: σχοινίον ἀγκύλην ἔχον, ὅπερ ἐπισπασθὲν ἀποπνίγει τὸν ἔχοντα. ἢ ξύλινόν τι ὥσπερ ὁ κύφων, προστιθέμενον τοῖς τραχήλοις τῶν νομοθετούντων ἐν Λοκροῖς, ἵνα ἐπισπασθὲν πιέσῃ καὶ ἀποκτείνῃ τὸν μὴ κυρώσαντα τὸν νόμον.

Βραυρωνία: Ἄρτεμις, οὕτω καλουμένη ἀπὸ Βραυρῶνος τόπου, ἐν ᾧ μάλιστα ἡ θεὸς τιμᾶται. ἐκλήθη δὲ ὁ τόπος ἀπὸ Βραυρῶνος ἥρωός τινος.

Βαλανάγρα: ἡ κλεὶς ἐκλήθη οὕτως ἀπὸ τοῦ τὰς βαλάνους ἀγρεύειν.

Βαλβίς: ξύλα δύο τῶν δρομέων, ἀφ᾽ ὧν σχοινίον τι διατέταται, ὃ καλεῖται βαλβίς, ἵνα ἐντεῦθεν ἐκδράμωσιν οἱ ἀγωνιζόμενοι.

Βουτύπος: ἱερεύς τις. ἐκλήθη δὲ ἀπὸ τοῦ τύπτειν τοὺς βοῦς ἐν τῇ θυσίᾳ καὶ οὕτως ἀναιρεῖν.

Βουλοκοπίδαι: οἱ τὴν βουλὴν κόπτοντες, ὡς πέρ εἰσι καὶ δημοκόποι οἱ τὸν δῆμον κόπτοντες.

Βουτρόφος: τάξις τις ἱερέων ἡ τρέφουσα τοὺς βοῦς καὶ ἐπιμελουμένη αὐτῶν ἐν ταῖς πομπαῖς, ὥστε θῦσαι ταῖς θεοῖς δημοσίᾳ τραφέντας καὶ λιπαρῶς. 5

Βουζυγία: γένος τι Ἀθήνησιν, ἱερωσύνην τινὰ ἔχον. Βουζύγης γάρ τις τῶν ἡρώων, πρῶτος βοῦς ζεύξας, τὴν γῆν ἤροσε καὶ εἰς γεωργίαν ἐπιτήδειον ἐποίησεν, ἀφ᾽ οὗ γένος καλεῖται Βουζυγία. 10

Βωμολοχεύεσθαι: τὸ γέλωτα κινεῖν, ἐπεὶ τὸ παλαιόν, ὥς φασιν, οἱ πένητες πρὸς τοῖς βωμοῖς διατρίβοντες ἐλόχων τοὺς θύοντας καὶ προσῄτουν, γέλωτα κινοῦντες. 15

Βλιμάζειν: τὸ πειράζειν καὶ ψηλαφᾶν, ἐπεὶ οἱ προσκνώμενοι ταῖς γυναιξὶ βλιμάζουσι καὶ ψηλαφῶσι τοὺς τιτθοὺς καὶ τὰς πυγὰς καὶ τὰ ἄλλα μέρη, ἐγείροντες τὰς ἐπιθυμίας. ἄλλοι δέ φασι κλιμάζειν τὸ διαστρέφειν· κλίμαξ γάρ ἐστιν εἶδος ὀργάνου βασανιστικοῦ, οἱ τῇ κλίμακι διαστρέφονται τὰ μέλη στρεβλούμενοι. 20

Βουφονία: ἑορτὴ Ἀθήνησιν, ἀπὸ τοῦ θύεσθαι βοῦς πολλοὺς ἐν ταύτῃ τῇ ἡμέρᾳ.

Βάτος: περίφραγμά τι, γινόμενον ἐξ ἀκανθώδους φυτοῦ, ὥσπερ ἡ χάραξ πρὸς τοῖς χωρίοις. 25

Βάταλος: ἐπωνύμιόν ἐστι Δημοσθένους. ὁ δὲ Βάταλος ἐκαλεῖτο παρὰ τοῖς παλαιοῖς μαλακός, ἀπὸ Βατάλου τινὸς αὐλητοῦ μαλακοῦ, ὃς καὶ Βατάλεια ταῦτα ἐξεῦρεν.

Βοηδρομιών: μὴν Ἀθήνησιν ἐστιν ὁ τρίτος. 30

Βατίειαν: τὴν οἰκίαν τὴν ἀπὸ Βάτωνος δεσπότου, ἢ σκεῦός τι, ἢ κόσμον, ἢ χωρίον.

Βολεῶνες: οἱ τόποι, ἔνθα ἀποπατοῦσιν.

Βοήθειαν: συμμαχίαν.

Βοηθεῖν: τὸ ἅμα τῷ πυθέσθαι τὴν ἔφοδον τῶν πολεμίων ἐκδραμεῖν κατ' αὐτῶν.

Βάκηλος: ὁ κατὰ θεοῦ μῆνιν ἀπόκοπος.

Βρύτος: ζύθος.

Βουλαὶ πόσαι ἦσαν: βουλαὶ ἦσαν δύο, ἡ μὲν Ἀρεοπαγῖτις, εἰς ἣν ἀνέβαινον οἱ ἐννέα ἄρχοντες μετὰ εὐθύνας τὰς ἐκ τῆς ἀρχῆς· ἡ δὲ ἐκ τῶν πρυτάνεων συνεστῶσα. πρυτάνεις δὲ ἦσαν πεντακόσιοι· ἀπὸ γὰρ ἑκάστης φυλῆς πεντήκοντα ἦσαν πρυτάνεις ἀποδεδειγμένοι.

Βωμολόχος: ὁ ἀσελγῶς παίζων. μετενήνεκται δὲ ἀπὸ τῶν πενήτων τῶν πρὸς τοῖς βωμοῖς ἐνεδρευόντων καὶ κολακευόντων τοὺς θύοντας.

Βοσκήματα: θρέμματα.

Βάσκανος: ὁ κακίζων καὶ μεμφόμενος ἅπαντα, καὶ πειρώμενος εἰς ἀπέχθειαν ἄγειν, καὶ βλαβερὸς καὶ δηλητικός.

Βασκαίνει: μέμφεται, ἐγκαλεῖ, συκοφαντεῖ, λυπεῖ.

Βάναυσοι: κυρίως οἱ διὰ πυρὸς ἐργαζόμενοι χρυσοχόοι, χαλκεῖς καὶ οἱ τοιοῦτοι, ἀπὸ τοῦ τοὺς βαύνους ἐναύειν. βαῦνοι δὲ λέγονται αἱ κάμινοι. καὶ κλίβανοι, ἔνθα καὶ οἱ τῶν κριθῶν βαῦνοι. καταβέβηκε δὲ ἡ λέξις εἰς πάντα χειροτέχνην. ἔνιοι δὲ χειρὸς τῆς ὑβριστικῆς.

Βασσάραι: χιτῶνες, οὓς ἐφόρουν αἱ Θρᾳκίαι Βάκχαι, καλούμενοι οὕτως ἀπὸ τοῦ Βασσαρέως Διονύσου. ἦσαν δὲ ποικίλοι καὶ ποδήρεις.

Βασίλειος στοά: Ἀθήνησι δύο εἰσὶ βασίλειοι στοαί, ἡ τοῦ λεγομένου βασιλέως Διὸς καὶ ἡ τοῦ Ἐλευθερίου.

Βρενθύεται: δυςχεραίνει καὶ ὀργίζεται καὶ θυμοῦται.

Βρέμει: ταράσσει, ἠχεῖν ποιεῖ.

Βρενθύεσθαι: διὰ θυμὸν μετεωρίζεσθαι, ἢ προσποιεῖσθαι ὀργίζεσθαι.

Βρενθυόμενος: ἐπαιρόμενος, μέγα φρονῶν.

Βρέτας: εἴδωλον, ἄγαλμα καὶ μορφήν. Κυρηναῖοι δὲ τὸν ἀναίσθητον βρέτας εἶπον. 5

Βριαροί: βαρεῖς, ἄγριοι, στερεοί, φοβεροί.

Βριθομένη: βαρυνομένη διὰ πλῆθος ὧν ἔφερεν.

Βρίθων: εὐθηνῶν ἢ βαρῶν.

Βρέμεται: πλήθει παταγεῖ.

Βρένθειον: μύρον τῶν παχέων, ὡς ἡ βάκχαρις. οἱ δὲ 10 ἄνθινον μύρον. καλεῖται δὲ καὶ ὄρνεόν τι βρένθος, ὃν ἔνιοι κόσσυφον. Κύπριοι δὲ βρένθισιν τὴν θρίδακα λέγουσιν.

Βρένθος: τύμβος καὶ ὄρνεον.

Βρεττηνοί: ἔθνος τι ἐν Ἰταλίᾳ συνῳκίσθη. ἔνιοι οὕτω λέ- 15 γεσθαι ὑπὸ Λευκανῶν τοὺς ἐπὶ νεωτερισμῷ συνισταμένους.

Βρέτη: ἀπεικονίσματα.

Βρέττια: μέλαινα πίσσα. καὶ βάρβαρος, ἀπὸ τοῦ Βρεττίων ἔθνους.

Βραῦκος: ἡ μικρὰ ἀκρὶς ὑπὸ Κρητῶν. 20

Βρέχμός:

Βρῆγμα: ἀπόπτυσμα ἀπὸ θώρακος παρὰ Ἱπποκράτει. καὶ βρήσσειν τὸ βήσσειν.

Βέβηλον: τὸ μὴ ἱερὸν καὶ ἄθεον. καὶ ἀβέβηλα τὰ θεῖα. οἱ δὲ τὸ βάσιμον χωρίον καὶ ὅσιον, μὴ καθιε- 25 ρωμένον τε θεῷ, ἐφ᾽ οὗ κέχρηται καὶ Θουκυδίδης ἐν τῷ τετάρτῳ.

Βέβλωκεν: ἠρεμεῖ, φύεται, φαίνεται. βεβλωκὼς δὲ ἐληλυθώς.

Βάβαξ: μάταιος, λάλος, φλύαρος, ἐνθουσιῶν, ἀναιδής. 30

Βαβάκτης: ὑμνῳδός, ὀρχηστής, κραυγαστής, μανιώδης.

Βάρηκες: τὰ οὖλα τῶν ὀδόντων. οἱ δὲ σιαγόνας. οἱ δὲ τὰ ἐν τοῖς ὀδοῦσιν ἀπὸ τῆς τροφῆς ἐνισχόμενα.

Βαθμός: παρὰ τοῖς στρατηγικοῖς ἢ ἐφ' ἕνα τῆς φάλαγγος στάσις.

Βαθμοί: ἴχνη, πόδες. καὶ οἱ παρὰ τοῖς στρατηγοῖς δίφροι.

Βάθος: στίχος, ἐπίστασις, καὶ τὸ βαθὺ καὶ μέλαν καὶ ὑψηλόν. 5

Βάθρον: βῆμα, καὶ τὸ ἐφ' οὗ καθέζομεν, καὶ ἡ βάσις τοῦ ἀνδριάντος, καὶ τὸ ὑποπόδιον, καὶ τὸ ὑπόδημα, ὃ καὶ ἐμβάς.

Βαίτυλος: λίθος. οὕτως ἐκαλεῖτο ὁ δοθεὶς τῷ Κρόνῳ 10 ἀντὶ τοῦ Διός, παρὰ τὸ τύλον ὄντα κεκρύφθαι.

Βατήρ: τὸ ἄκρον τοῦ τῶν πενταέθλων σκάμματος, ἀφ' οὗ ἅλλονται τὸ πρῶτον. Σέλευκος. Σύμμαχος δὲ τὸ μέσον, ἀφ' οὗ ἁλόμενοι πάλιν ἐξάλλονται. ἄμεινον ὡς Σέλευκος. σημαίνει δὲ καὶ τὸν τῆς θύρας οὐδόν, 15 ὃν Ὅμηρος βηλόν, οἱ δὲ τραγικοὶ βαλόν.

Βέβλημαι: βεβούλευμαι ἢ τετάραγμαι ἢ ὠδύνημαι.

Βάτια: συκαμίνου ὁ καρπός, ὑπὸ Σαλαμινίων. καλεῖται δὲ καὶ ἄβρυνα καὶ μόρα.

Βατίδες: ἰχθύες ποιοί. διαφέρουσι δὲ τοῦ βάτου ἰχθύος, 20 ὡς φανερὸν ποιεῖ Ἀριστοτέλης.

Βατραχίς: ἱματίου χρόα, ὃ βάπτεσθαι ὑπὸ βατραχείου τῆς πόας φασίν.

Βατταρίζειν: ἐμοὶ μὲν δοκεῖ κατὰ μίμησιν τῆς φωνῆς πεποιῆσθαι, ὡς τὸ ποππύζειν· λέγουσι δέ τινες 25 ἀπὸ Βάττου τοῦ ἰσχνοφώνου πεποιῆσθαι, ᾧ καὶ ἡ Πυθία εἶπε

Βάττ' ἐπὶ φωνὴν ἦλθες.

ἔστι δὲ φθέγγεσθαι, ποππύζειν, τραυλίζειν.

Βάττου σίλφιον: παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων. 30

Βάκχος: ὁ ἱερὸς Διονύσου ἀνήρ, καὶ κλάδος ὁ ἐν ταῖς

τελε-

τελεταῖς. ὡς δὲ ἔνιοι, στεφάνους ὑπὸ Δωριέων. οἱ δὲ τὸν φανὸν βάκχον. καὶ ἰχθύς. οἱ δὲ ὄμβρικος ὑπὸ Ἁλικαρνασέων βάκχος.

Βάκχου Διώνη: οἱ μὲν βακχεύτριαν Σεμέλης, οἱ δὲ Διονύσου καὶ Ἀφροδίτης.

Βαλανομφάλους: τὰς φιάλας τὰς ἐχούσας ὀμφαλοὺς ἄνευ τῶν προςώπων, ὁποῖοι οἱ τῶν βαλανείων θόλοι.

Βάλανοι: τὰ ἐξηρτημένα τῶν ὅρμων. καὶ ὁ τῶν δρυῶν καρπὸς κυρίως ὑπὸ Ξενοφῶντος, καὶ οἱ τῶν φοινίκων. καὶ αἱ κλεῖδες βάλανοι, καὶ τὰ ἐμπίπτοντα τῇ κλειθρίᾳ. Κρῆτες δὲ τὰ ἀμύγδαλα βαλάνους. οἱ ἰατροὶ δὲ βαλάνους τὰ ἐντιθέμενα τῇ ἕδρᾳ λέγουσιν.

Βάσιμον: εὔπλωτον, εὐεπίβατον.

Βαρυπλοήσας: δυςκόλως ἐκπλεύσας ἢ παρὰ καιρόν.

Βαρύ: θυμιαμάτιόν τι εὐῶδες. σημαίνει δὲ καὶ τὸ μέγα, χαλεπόν, καὶ ἰσχυρόν, ἀναιδές.

Βαρύηχος: μεγαλόηχος, μεγαλόψοφος, μεγαλόκτυπος.

Βασανίτης λίθος: οὕτω λέγεται Λυδικοῦ λίθου γένος καὶ λίθου βάσανος, ᾧ παρατρίβοντες τὸ χρυσίον ἐδοκίμαζον.

Βασιλέως ὀφθαλμός: ὁ ἐπίσκοπος ὑπὸ βασιλέως πεμπόμενος.

Βαυκίδες: ὑπόδημα πολυτελὲς γυναικεῖον. καὶ βαυκόν δὲ τρυφερόν. σημαίνει καὶ τὸ θρύπτεσθαι βαυκίζειν.

Βαυκιζόμενον: τρυφερὸν καὶ ὡραϊστήν.

Βαυκίσματα: τρυφερεύματα.

Βαρυσυμφορώτατος: βαρυτάτας συμφορὰς φέρων.

Βῆλος: ὁ οὐρανός, βαρυτόνως, καὶ Ζεύς, καὶ Ποσειδῶνος υἱός. ὀξυτόνως δὲ ὁδὸς οἴκου ἢ σταθμός.

Βίβλινος: εἶδος οἴνου καὶ γένος ἀμπέλου ἐν Θρᾴκῃ. καὶ ὁ παλαιὸς οἶνος. Ἐπίχαρμος δὲ ἀπὸ ὀρῶν Βιβλίνων· ἔστι δὲ Θρᾴκης.

Βήρηκες: μᾶζαι ὀρθαί. οἱ δὲ ἁπλῶς μάζας ἐπάνω κέρατα ἔχούσας. παρὰ Λακεδαιμονίοις δὲ τὴν ἑορτὴν Βηρηκίαν λέγεσθαι, ἐν ᾗ τοῖς θύουσι προτιθέασι τοὺς βήρηκας.

Βῆσσαν: κοιλάδα ὕδωρ ἔχουσαν. καὶ μεσότητα ὀρῶν, τὴν συνάγκειαν. ἄλλοι τὸ ἔνυδρον. οἱ δὲ βήσσας τόπους βασίμους. ἔστι δὲ καὶ πόλις Βῆσσα παρὰ τῷ ποιητῇ,

Βῆσσάν τε Σκάρφην τε.

οἱ δὲ ὁμαλάθρη.

Βητάρμονας: ὀρχηστάς, τοὺς βαίνοντας ἡρμοσμένως.

Βιβλιαλίγισθος Ἀνδρέας ὁ ἰατρὸς ἐκλήθη ὑπὸ Ἐρατοσθένους, ὅτι λάθρᾳ αὐτοῦ τὰ βιβλία ἔγραφεν.

Βιβλίδες: τὰ βιβλία. ἢ σχοινία τὰ ἐκ βίβλου πεπλεγμένα.

Βίκον: φιάλην. οἱ δὲ ἄμβικον καὶ χύτρον.

Βάσανος καὶ βασανίζειν: χρῶνται μὲν τῇ βασάνῳ καὶ τῷ βασανίζειν οἱ ῥήτορες καὶ ἐπὶ τοῦ μαστιγοῦν καὶ στρεβλοῦν τοὺς καταδικασθέντας καὶ κολαζομένους, τάσσουσι δὲ αὐτὰ καὶ ἐπὶ τοῦ δοκιμάζειν καὶ ἀκριβῶς ἀνερωτᾶν.

Γ.

Γλίχεσθαι: προθυμεῖσθαι, ἐπιθυμεῖν.

Γραμματεῖον τὸ πινακίδιον λέγουσιν.

Γραφή: δίκης ὄνομα, καθ' ἣν ὑπὲρ τῶν κοινῶν ἀλλήλους γράφονται, καὶ ἁλόντος τοῦ διωκομένου τιμᾷ τὸ δικαστήριον, ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι.

Γραμματεύς: καὶ τὸν γραμματέα ὁ δῆμος χειροτονεῖ, ἀναγνωσόμενον αὐτῷ καὶ τῇ βουλῇ. καὶ οὗτος οὐδενὸς τὸ σύνολον ἄλλου ἐστὶ κύριος ἢ τοῦ ἀναγνῶναι. ἔστιν οὖν ὁ ἀναγνώστης.

Γέῤῥα: γέῤῥα ἐστὶ σκηναὶ ἔξωθεν δεδιφθερωμέναι. ἔστι δὲ γέῤῥον καὶ εἶδος ὅπλου δερματίνου.

Γνώμην: διάθεσίν τινα ποιάν. καὶ τὴν ἐπιστήμην.

Γνῶμαι: τὰ ψηφίσματα.

Γεισίπους καὶ γεισιπόδισμα τί ἐστιν: ἔστιν οὖν γεισίπους τὸ ξύλον τὸ ὑποβληθὲν καὶ φέρον τὴν γεῖσαν· γεῖσα δέ ἐστιν ἡ στεφάνη, δι᾽ ἧς δῆλον ὅτι παραυτῶν ὑδροῤῥόη ἐφέρετο.

Γεννῆται τίνες εἰσίν: γένος ἐστὶ σύστημα ἐκ τριάκοντα ἀνδρῶν συνεστώς, οὗ οἱ μετέχοντες ἐκαλοῦντο γεννῆται, οὐ κατὰ γένος ἀλλήλοις προσήκοντες, οὐδ᾽ ἀπὸ τοῦ αὐτοῦ αἵματος, ἀλλ᾽ ὥςπερ οἱ δημόται καὶ φράτορες ἐκαλοῦντο νόμων κοινωνίαν τινὰ ἔχοντες, οὕτω καὶ οἱ γεννῆται συγγενικῶν ὀργίων ἢ θεῶν, ἀφ᾽ ὧν ὀργεῶνες ὠνομάσθησαν.

Γεωφανεῖον: χωρίον ἐστίν, ἐν ᾧ γῆς εἶναι μέταλλον. ἡ δὲ γῆ ἦν ξανθοτέρα, πεποιημένη τοῖς ζωγράφοις εἰς τὰς γραφάς. τάχα δὲ ἡ μίλτος ἐστίν.

Γλεῦκος: γλεῦκός ἐστι τὸ ἀπὸ τῆς ληνοῦ ἀπόσταγμα, αὐτομάτως καταῤῥέον ἀπὸ τῆς σταφυλῆς. ἔστι δὲ τοῦτο γλυκύτατον καὶ λιπαρώτατον.

Γήπεδα: τὰ οἰκόπεδα.

Γρῖφοι: τὰ συμποτικὰ ζητήματα.

Γλαῦκος: Γλαῦκος ἦν πύκτης ἀπὸ Καρύστου τῆς Εὐβοίας, Ὀλύμπια τρὶς νενικηκώς, καὶ Πύθια καὶ Ἴσθμια δ᾽ ὀκτάκις, καὶ Νέμεα ὁμοίως. ἦν δὲ τὸ μέγεθος, ὥς φασι, πηχῶν τεσσάρων. ἀνῃρέθη ἐξ ἐπιβουλῆς ὑπὸ Γέλωνος τοῦ τυράννου.

Γερουσία καὶ γέροντες: ἄρχοντες ἦσαν ἐν Λακεδαίμονι, οἱ ἀπὸ τῆς πρώτης ἡλικίας μέχρι γήρως καλῶς βεβιωκότες, τὸν ἀριθμὸν εἴκοσιν ὀκτώ. ἦν δὲ ἡ μεγίστη ἀρχὴ μετὰ τοὺς ἐφόρους ἡ γερουσία.

Γαλεάγρα: ἡ τῶν θηρίων ὑποδοχή.

Γρυμέα: ἡ λεγομένη γρύτη.

Γρῦ: ἀντὶ τοῦ οὐδέν, ἐπεί φασι καλεῖται γρῦ ὁ ἐν τοῖς ὄνυξι βραχὺς ῥύπος.

Γαμηλία: ἡ εἰς τοὺς φράτορος ἐγγραφὴ γαμηλία λέγεται. γαμηλίαν δέ φασι πανήγυριν εἶναι οὕτω καλουμένην, ἢ ἔθυον τοῖς δημόταις οἱ τοὺς ἐφήβους ἐγγράφοντες. οἱ δὲ γαμηλίαν φασὶ θυσίαν τοῖς ἐν τῷ δήμῳ θεοῖς.

Γεραιράδας: τὰς ἱερείας τοῦ Διονύσου.

Γωνιασμός: ὁ τόπος τῆς γωνίας τοῦ τείχους.

Γυμνασίαρχοι: οἱ ἄρχοντες τῶν λαμπαδοδρομίων εἰς τὴν ἑορτὴν τοῦ Προμηθέως καὶ τοῦ Ἡφαίστου καὶ τοῦ Πανός, ὑφ' ὧν οἱ ἔφηβοι ἀλειφόμενοι κατὰ διαδοχὴν τρέχοντες ἧπτον τὸν βωμόν.

Γραμματοκύφωνα: ἀντὶ τοῦ γραμματέα, ὅτι οἱ γραμματεῖς προσκεκυφότες γράφουσιν. ἢ γραμματοκύφων οἷον ἐν ἀγορᾷ γραμματεύς, ἐπεὶ οἱ ἀγοραῖοι τῷ κύφωνι μαστιγοῦνται. διὰ τοῦτο δ' αὐτὸν εἶπε καὶ περίτριμμα ἀγορᾶς.

Γυμπάνειν: τὸ σιωπᾶν καὶ φρίττειν καὶ τρομαίνειν, καὶ οἴεσθαι τὴν γῆν παλλομένην καὶ ὥςπερ ἅλλεσθαι ὑπὸ σεισμοῦ. ἐπὶ γὰρ τούτου ἔταξε τὴν λέξιν.

Γνώμονας: ἄρχοντάς τινας εἶναι τοὺς ἐπισκεπτομένους καθ' ἕκαστον ἐνιαυτὸν τὰ χωρία πάντα, μή πώς τις ἐξέκοψε τὰς μορίας.

Γαμηλιών: μὴν Ἀθηναίων ἕβδομος.

Γνωσιμαχῆσαι: μεταβουλεύσασθαι καὶ τῇ ἤδη πεκυρωμένῃ γνώμῃ μάχεσθαι.

Γυλιός: εἶδός ἐστι πήρας στρατιωτικῆς, ἐν ᾧ ἦν σκόροδα καὶ κρόμυα. ὀξυτόνως δὲ ἀναγνωστέον, ὡς φασιν, οὐχὶ δὲ παροξυτόνως.

Γαμβρόν: τὸν νυμφίον Αἰολεῖς, Ἀθηναῖοι δὲ τὸν ἄν-

δρα. οἱ δὲ θυγατρὸς καὶ ἀδελφῆς ἄνδρα. Σοφοκλῆς δὲ τὸν πενθερὸν ἀντὶ τοῦ γαμβροῦ τέθεικεν.

Γαμήλιος: ὁ εἰς τοὺς γάμους πλασσόμενος πλακοῦς.

Γαλῆ Ταρσία: ἡ Ταρσὸς ἔξω τῶν Ἡρακλείων στηλῶν πρὸς τῷ ὠκεανῷ πόλις μεγάλη, ἧς Ἀργανθώνιος ἐβασίλευσεν. ὡς οὖν ἐκεῖ μεγάλων γινομένων γαλῶν εἶπεν.

Γαιήοχος: ἵππος, ἀπὸ τοῦ τοῖς ὀχήμασι χαίρειν.

Γαιήοχος: ὁ τὴν γῆν συνέχων ἢ ἐπ' αὐτὴν ὀχούμενος.

Γαζοφυλάκιον: θησαυροφυλάκιον.

Γαμήλια: αἱ ἐπὶ γάμου ἑορταί.

Γαστρίζεσθαι: λαιμάργως διαιτᾶσθαι.

Γεννάδας· γενναίους.

Γαίειν: χαίρειν, γαυριᾶν, σεμνύνεσθαι.

Γαῦν: τὸν ἐργάτην βοῦν.

Γαιός: ὁ ἀπόγειος ἄνεμος.

Γαῖσος: ἐμβόλιον σιδηροῦν. τριήρων . . δὲ τὴν φωνὴν ἐπὶ τῶν ἀκοντίων, ἃ Ῥωμαίους καλεῖν ὑσσούς. Ἰταλιῶται δὲ καὶ Ταραντῖνοι γαῖον τὸν μισθὸν λέγουσιν.

Γαίων: ἵλαρός, γαυριῶν, τερπόμενος. γαίουσα δὲ ὑπερφρονοῦσα. γαίεσκον δὲ ἔχαιρον.

Γαλαθηνόν: ὑποτίτθιον, νέον.

Γαλακτοκόμος: ποιμήν.

Γαλακτώδης: οἶνός τις ἡδύς.

Γαλαξία: ἑορτὴ Ἀθήνησι μητρὶ θεῶν ἀγομένη, ἐν ᾗ ἑψοῦσι τὴν γαλαξίαν. ἔστι δὲ πόλτος κρίθινος ἐκ γάλακτος.

Γαλαρίας: ἰχθὺς ποιός, ὃν ἔνιοι ὀνίσκον.

Γαλεώτην: ἀσκαλαβώτην. ἰχθύες δὲ γαλεοὶ τῶν σελαχωδῶν οὕτως ἐκαλοῦντο.

Γαλερόν: ἵλαρόν, ἡδύ, πρᾶον. τάσσεται δὲ ἐπὶ βλέμματος.

Γαλερωπός: γαλερὸν καὶ ἐπιτερπὲς βλέπων.

Γαληψός: πέπαικται ἀπὸ τοῦ λαβεῖν. ἔστι δὲ καὶ βοτάνη τις οὕτω καλουμένη, καὶ πόλις Μακεδονίας.

Γαλιάγκων: ὁ τὸν βραχίονα ἐλάττω ἔχων.

Γάλλφα: ἔντερα.

Γάλλος: ὁ ἀπόκοπος. 5

Γαλῶμες: χρῶμα ἵππων τὸ ὀνοειδές.

Γάννυται: γελᾷ, ἥδεται, χαίρει.

Γανύματα: τὰ ἀρτύματα.

Γανύσεται: διαχυθήσεται ἢ αὔξεται ἢ εὐφραίνεται.

Γαργαρεών: ἡ κιονὶς καὶ σταφυλή. 10

Γάρκον: τὸ ἔσω τῆς πλήμνης σιδήριον, ὃ τὸν ἄξονα τρίβει.

Γαστερόχειρες καὶ ἐγχειρογάστορες: οἱ ἀπὸ τῶν χειρῶν ζῶντες.

Γαστέρες: οἱ τροφῆς μόνης ἐπιμελούμενοι. 15

Γαστρίδες: οἱ τὰς ἕλμινθας ἔχοντες. γίνονται δὲ αὗται ἐν ταῖς κοιλίαις, ὥσπερ τὰ θηρία.

Γαστρίμαργοι: τῇ κοιλίᾳ μαινόμενοι, ἀκρατεῖς.

Γάστριον: πέμμα τι σησαμῶδες παρὰ Κρησίν.

Γάστρις: ὁ πολυφάγος, ἢ ὁ ἀκρατὴς περὶ γαστέρα. 20

Γαυλόν: κάδον. καὶ γαυλοὶ παρ' Ὁμήρῳ τὰ ποιμενικὰ ἀγγεῖα τοῦ γάλακτος. λέγεται δὲ καὶ φρέατος ἀντλητήριον γαυλός. καὶ ἐν ᾧ τὰ πλοῖα ἀντλεῖται κάδος. καὶ τὰ Φοινικικὰ δὲ πλοῖα γαυλοί. καὶ γαυλετικὰ χρήματα παρὰ Ξενοφῶντι τὰ ἀπὸ τῶν πλοίων. 25

Γαῦρος: θρασύς, αὐθάδης, σεμνός, μεγαλοπρεπής, μετέωρος.

Γαυσόν: σκαμβόν, στρεβλόν, χωλόν, διεστραμμένον.

Γαφάγας: σκώληξ ὑπὸ Συρακουσίων, ὃ ἡμεῖς γῆς ἔντερον. 30

Γέγηθεν: χαίρει, ἥδεται, γελᾷ.

Γεγυρωμένους: ἠτονηκότας σώματι, κεκαμμένους.

Γεγωνεῖν: τὸ μεγάλῃ φωνῇ καλεῖν καὶ φθέγγεσθαι.

Γεῖσα: τὰ ἐν ταῖς οἰκοδομαῖς ναῶν ἢ τειχῶν ἐξέχον κυμάτιον. οἱ δὲ τὰ πρὸ τῶν θυρῶν στεγάσματα. Ἀριστοφάνης δὲ καὶ τὰς ᾤας τοῦ ἱματίου γείσας εἶπεν.

Γεισίποδες: αἱ τῶν δοκῶν προταγεῖσαι προοχαί. καὶ *γεισιποδίζειν* τὸ προεβάλλειν τὰ γεῖσα ἐν τοῖς τοίχοις. 5

Γείσωσις: τὸ τῆς στέγης ἔκθετον.

Γειτονᾶν: τὸ γειτονιᾶν.

Γείτων: ἐγγύς, παρὰ τὴν γέαν.

Γειώρας: προσηλύτους. 10

Γενεά: λαμβάνεται μὲν καὶ ἐπὶ τοῦ παντὸς τῶν ἀνθρώπων γένους, καὶ ἐπὶ τῆς συγγενείας, καὶ ἐπὶ τῆς ἡλικίας, καὶ ἐπὶ τῶν προγόνων, καὶ ἐπὶ τῶν ἐγγόνων, καὶ ἐπὶ διαστήματος χρόνου τῶν μὴ κατ' αὐτὸ βεβιωκότων. τὴν δὲ γενεὰν εἶναι οἱ μὲν εἴκοσι λέγουσιν, 15 οἱ δὲ εἴκοσι πέντε, οἱ δὲ τριάκοντα.

Γενέθλια: τὰ ἐπὶ τῇ ἡμέρᾳ τῆς γενέσεως δῶρα καὶ τὴν εὐωχίαν.

Γενέσια: ἑορτὴ παρὰ Ἀθηναίοις πενθήμερος. οἱ δὲ τὰ Νεκύσια. 20

Γενναῖος: ἀνδρεῖος, εὐγενής, συγγενής. *γενναῖα* τὰ μεγάλα.

Γεννῆται: οἱ τὰ τοῦ γένους μετέχοντες, ἢ ἀπ' ἀρχῆς κοινὰ ἱερὰ ἔχοντες. οἱ δὲ ὁμογαλάκτους, φράτορας, συγγενεῖς τοὺς γεννήτας. 25

Γένους: ἐπὶ ἔθνους τάσσεται, καὶ ἐπὶ πόλεως, καὶ ἐπὶ συστήματος, καὶ ἐπὶ τέκνου, καὶ ἐπὶ σπέρματος.

Γενούστης: παρὰ Πλάτωνι ἐν Φιλήβῳ ἐπὶ τῆς τοῦ θεοῦ ἐννοίας, οἷον ὁ γεννητικός.

Γεραράδες: αἱ τῶν ἀρίστων ἀνδρῶν γυναῖκες, καὶ αἱ τὸ τῆς Ἀθηνᾶς ἐν Ἄργει ἄγαλμα ἐνδύουσαι. 30

Γεραιραί: ἱέρειαι κοινῶς, ἰδίως δὲ παρὰ Ἀθηναίοις

αἱ τῷ Διονύσῳ τῷ ἐν Λίμναις τὰ ἱερὰ ἐπιτελοῦσαι, ἀριθμῷ δεκατέσσαρες.

Γέρανος: ὄρνεον. καὶ ποιά τις ὄρχησις. καὶ ὄργανον ξυλικόν, ἐν ᾧ κόπτουσιν οἱ ἀλφιτοποιοὶ τὰ ἄλφιτα· ὅθεν καὶ γεράνια τὰ ἄλφιτα καλεῖσθαι. γέρανος καὶ ἐν τῇ σκηνῇ ἅρπαξ κατεσκευασμένος ὑπὸ τοῦ μηχανοποιοῦ, ἐξ οὗ ὁ ἐσκευασμένος ὑποκριτικῶς τραγῳδεῖ. 5

Γεόλοφα ἢ γεώλοφα: ὄχθαι τινές, ὄρη γεώδη.

Γεφύρας: διόδους, τάξεις, ὑπεροχάς, τὰ μέσα τῆς φάλαγγος. 10

Γεοφανεῖον: μέταλλον γῆς κεραμίτιδος ἤ τινος ἄλλης ἐργασίας.

Γηθοσύνη: γεγηθυῖα, χαίρουσα.

Γηοῦχος: τὴν γῆν συνέχων. 15

Γῆρυν: φωνήν. καὶ γηρύεται φωνεῖ.

Γηφάγοι: πένητες, ἄποροι, ὡς τὰς ἐκ γῆς βοτάνας σιτιζόμενοι, τροφῆς ἀμοιροῦντες.

Γιγαντία: ἡ Λυκία πρότερον. καὶ οἱ κατοικοῦντες Γίγαντες. 20

Γίγαντος: μεγάλου, ἰσχυροῦ.

Γίγλυμος: ὁ στρεφόμενος γόμφος ἐπὶ τῶν θυρῶν. καὶ ἐπὶ τοῦ θώρακος οἱ στροφεῖς. καὶ φιλήματός τι εἶδος.

Γλαῦκος Καρύστιος: πύκτης ἦν ὁ Γλαῦκος, πέμπτην καὶ εἰκοστὴν Ὀλυμπιάδα στεφανωθείς, καὶ Πύθια τρίς, Ἴσθμια δεκάκις. εἶχε δὲ τὸ μέγεθος τέσσαρας δακτύλους πέντε πηχῶν ἀπολείπον, καὶ τὰ ἄλλα τῷ σώματι παντὶ γενναίως. ἀπέθανε δὲ ἐξ ἐπιβουλῆς Γέλωνος τοῦ Συρακουσίων τυράννου. 25

Γλαὺξ ἔπτατο: παροιμία ἐπὶ τῶν νενικηκότων, ὅτι πρὸ τῆς μάχης ἐν Σαλαμῖνι γλαῦκά φασι διαπτῆναι, τὴν νίκην τοῖς Ἀθηναίοις προσημαίνουσαν. Θεμιστοκλέους γὰρ πέμψαντος αὐτούς, περὶ τῆς ναυμαχίας 30

ποιουμένου τὸν λόγον, γλαῦκα περὶ τὸ δεξιὸν μέρος τοῦ κέρως ὀφθῆναι.

Γλήνην: κόρην, ὄψιν, ὀφθαλμόν, παίγνιον. οἱ δὲ καὶ τὸν οὐδενὸς ἄξιον. καὶ τὴν πεπλασμένην κόρην πρόσοψιν. καὶ γλήνας τὰ κηρία τῶν μελισσῶν.

Γλίσχρον: κολλῶδες, ἐμπαθές. οἱ δὲ ἀτυχῆ, φειδωλόν.

Γλοιάζειν: τὸ τοῖς ὄμμασιν ἐπιμύοντα μυκτηρίζειν καὶ κακοηθεύεσθαι. οἱ δὲ διαγελᾶν.

Γλυκυθυμία: ἡδονή. ὡς δὲ ἔνιοι, ἡ ἐπὶ τῷ ζῆνῆ δονή.

Γνύπετον: ἀργόν. οἱ δὲ ἔκλυτον. οἱ δὲ γνύπετοι ἐκτεταμένοι, δειλοί. ἄλλοι δὲ κατηφεῖς ἀπέδοσαν. καὶ κατεγνυπτῶσθαι τὸ κατεστυγνάσθαι.

Γνῶθι σαυτόν: ἀπόφθεγμα. οἱ δὲ Χείλωνός φασιν. Ἕρμιππος δὲ Δελφὸν εὐνοῦχόν φησιν εἰρηκέναι τὸ γνῶθι σαυτόν, καὶ ἐν τῷ ναῷ ἐπιγράψαι. Χαμαιλέων δὲ Θαλοῦ φησὶν εἶναι τὴν γνώμην ταύτην.

Γνώμων ὁ ἀκριβὴς ἀπὸ τοῦ γνῶναι λέγεται. καὶ τὸ ἐν τοῖς ἡλιοτροπίοις κέντρον. καὶ τὸ παρὰ τοῖς τακτικοῖς.

Γνῶναι: κρῖναι. καὶ ἐπὶ τῇ συνουσίᾳ.

Γνωσιμαχῆσαι: τὸ νοεῖν τὴν ἑαυτοῦ ἀσθένειαν τήν τε τῶν ἐναντίων ἰσχύν. οἱ δὲ τὸ γνόντα ὅτι πρὸς κρείσσονας ἔσοιτο αὐτῷ ἡ μάχη, ἡσυχάσαι.

Γοισοῦται: πλατύνεται, ἐλαύνεται, χαλκεύεται, κοιλαίνεται, κάμπτεται, μελαίνεται.

Γόργυρα: ὑπόνομος, δι' οὗ ὕδατα ὑπεξήει. καθόλου δὲ ἔλεγον οὕτω τὰς δυσζητήτους κατασκευὰς καὶ μὴ ἐπ' εὐθείας. ὁ δὲ Ἀλκμὰν διὰ τοῦ ᾱ γέργυρα ἔφη.

Γνώμων: σύνταξίς τις γραμμάτων, καθ' ἣν τὰ τέλη πράττεσθαι χρὴ τοὺς ἐκ τῆς ἀλλοδαπῆς εἰσκομίζοντας, ὧν ἂν ἐκφέρωνται.

Γαμηλίαν εἰσενεγκεῖν: τὸ τὸν ἀγόμενον γυναῖκα κατὰ τὸν καιρὸν τοῦ γάμου ἐπιδιδόναι τι τοῖς κηδεσταῖς καὶ οἰκείοις εἰς λόγον εὐωχίας.

Γόργυρον: δεσμωτήριον.

Γέροντες τίνες εἰσίν: ἀρχή ἐστι συνεστῶσα ἐξ ἀνδρῶν εἴκοσιν ὀκτώ.

Γυμνοπαιδία: ἐν Σπάρτῃ παῖδες γυμνοὶ παιᾶνας ᾄδοντες ἐχόρευον Ἀπόλλωνι τῷ Καρνείῳ κατὰ τὴν αὐτοῦ πανήγυριν.

Δ.

Δέοντα: οὕτως Περικλῆς φησὶ λογιζόμενον εἰς τὸ δέον, ὃ σημαίνει τὰ εἰς προδοσίαν διδόμενα χρήματα.

Δήπουθεν: δηλονότι.

Δημάγωγός: στρατηγός.

Δημοκρατία: ὅτε ὁ δῆμος ἄρχει.

Δημόσιος: ὁ τῆς πόλεως δοῦλος. ἐγίνοντο δὲ Θρᾷκές τινες ἢ Σκύθαι ἢ ἄλλοι βάρβαροι δοῦλοι πρὸς ὑπηρεσίαν τῶν δικαστηρίων καὶ τῶν κοινῶν τόπων καὶ ἔργων. ἐλλειπτικῶς δὲ λέγουσι τὸν δημόσιον, παρέντες τὸν οἰκέτην.

Δημεύειν: τό τινων οὐσίας ζημιῶσαι. καὶ τὸ ἐνδημεῖν. ἔνιοι τὸ δημαγωγεῖν.

Δωροδόκος: δῶρα δεχόμενος.

Δυσωποῦμαι: τὸ αἰσχύνομαι καὶ ὑφορῶμαι καὶ φοβοῦμαι. καὶ τὸ ἀηδῶς ὁρᾶν ἢ ὁρᾶσθαι.

Δεινός: ἱκανός. ἢ δέους ἄξιος καὶ δέους ποιητικός. ἢ πανοῦργος. ἀκολάκευτος. σοφός, ἔμπειρος.

Δεκελεικὸν πόλεμον: Δεκελεικὸν πόλεμον λέγουσι τὸν Πελοποννησιακόν. τὸν αὐτὸν καὶ Ἀρχιδάμειον. Δεκελεικὸν μέν, καθότι Ἀθηναίοις Δεκέλεια ἐπετειχίσθη· Πελοποννησιακὸν δέ, ὅτι Πελοποννήσιοι ἦσαν οἱ πρὸς Ἀθηναίους πολεμοῦντες· Ἀρχιδάμειον δέ, ὅτι Ἀρχίδαμος αὐτοῦ ἡγήσατο.

Δεκατεύοντες: τελωνοῦντες, δεκάτην εἰς πραττόμε-

νοι. ἔλεγον δὲ καὶ τὸ ἀρκτεύειν δεκατεύειν, ἐπεὶ ἔπραττον αὐτὸ αἱ παρθένοι περὶ τὸν δεκαετῆ χρόνον οὖσαι. καὶ τὸ δεκάζειν δεκατεύειν. εἴρηται δὲ ἀρκτεύειν ἀπὸ τοῦ τὰς παρθένους θεραπεύειν τὴν Ἄρτεμιν. 5

Διονύσια: ἑορτὴ Ἀθήνησι Διονύσου. ἤγετο δὲ τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Ληναῖα Γαμηλιῶνος, τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος.

Διδάσκαλος χοροῦ: ὁ ἐνεργῶν περὶ τὴν δραματοποιίαν καὶ τὴν τῶν κυκλίων χορῶν παρασκευήν. 10

Δοκιμασία: ἡ κατὰ τῶν στρατηγῶν καὶ τῶν ἀρχόντων καὶ τῶν ῥητόρων ἐξέτασις, εἰ ἐπιτήδειοί εἰσι προΐστασθαι τῶν πολιτικῶν πραγμάτων. δοκιμάζονται δὲ καὶ οἱ ἐφ' ἡλικίας ὀρφανοί, εἰ δύνανται τὰ πατρῷα παρὰ τῶν ἐπιτρόπων ἀπολαμβάνειν. 15

Δεκαδάρχαι: οἱ περὶ δεκαδύο ἡγεμόνες, οὓς καὶ δωδεκαδάρχους ἔλεγον· ἦσαν γὰρ σὺν τῷ δωδεκάρχῳ δώδεκα.

Δύσκολος: οὐκ εὔθετος, ἄγριος.

Διαιτηταί τινες εἰσί: κριταί. ἦσαν γὰρ διαιτηταί τινες τῶν ἰδιωτικῶν κριταί. εἰ δέ τινες μὴ ἐπείθοντο τοῖς διαιτηθεῖσιν αὐτοῖς, εἰσῆγον αὐτοὺς εἰς δικαστήριον. ἐγίνοντο δὲ διαιτηταὶ πάντες Ἀθηναῖοι, οἷς ἑξηκοστὸν ἔτος ἦν. τὸν δὲ ἀδικοῦντα διαιτητὴν ἑξῆν εἰσαγγέλλειν, καὶ εἴ τις ἑάλω, ἀτιμία ἦν τὸ ἐπιτίμιον. 20 25

Διαιτητῶν αἵρεσις: ἔστιν οὖν εἶδός τι δίκης. ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι, οἱ δὲ οὔ, τοῖς μὴ βουλομένοις, ἵνα ἀναγκασθῶσιν, αὕτη ἡ δίκη ἐλαγχάνετο, διαιτητῶν αἵρεσις. 30

Δέκα τίνες εἰσί: δέκα ἦσάν τινες ἐν Πειραιεῖ οἱ ἄρξαντες κατὰ τὴν τυραννίδα τῶν τριάκοντα. ἀλλὰ καὶ προσέταξαν αὐτοῖς εὐθύνας τῆς ἀρχῆς δοῦναι. μὴ

ἀγνοῶμεν δέ, ὅτι ἕτεροί εἰσι δέκα, οὓς Ἀθηναῖοι εἵλοντο μετὰ τὴν τῶν τριάκοντα κατάλυσιν.

Δεκάζειν: τὸ διαφθείρειν τοὺς δικαστὰς ἢ ἐκκλησίας τοῖς χρήμασι καὶ δώροις. ἐκλήθη δὲ τὸ πρᾶγμα οὕτως, ἐπεὶ κατὰ δέκα συναθροιζόμενοι ἐλάμβανον τὰ δῶρα. πρῶτος δ' ἐδόκει δεκάσαι Μέλης, τὰς εὐθύνας διδοὺς τῆς ἐν Πύλῳ στρατηγίας, ἣν κακῶς ἐστρατήγησεν.

Δημόκοινος: δημόκοινός ἐστι βασανιστής.

Διάγραμμα: τὸ συντίμημα τῆς οὐσίας διάγραμμα ἐκαλεῖτο, ἐν ᾧ ἐνεγέγραπτο, τί ἕκαστος ἔχει. ὁμοίως δὲ καὶ ἡ γραφὴ τῶν τις ὤφειλε δημοσίῳ σκευῶν τριηρικῶν τῇ πόλει διάγραμμα ἐκαλεῖτο.

Διαγραφεὺς τί ἐστι: διαγραφεύς ἐστιν ὁ μερίζων ἑκάστῳ τῶν ἀπὸ τῆς συμμορίας τὴν προσήκουσαν εἰσφοράν, ἣν ἔδει εἰσφέρειν.

Διαδικασία: οὐχ ἁπλῶς πᾶσα δίκη διαδικασία καλεῖται, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησίς ἐστιν, ὅτῳ προσήκει μᾶλλον. σημειωτέον δέ, ὅτι διαδικασία λέγεται καὶ ὅταν δημευθείσης οὐσίας δικάζηταί τις πρὸς τὸ δημόσιον, ὡς ὀφειλομένων αὐτῷ χρημάτων ἐν τῇ δημευθείσῃ οὐσίᾳ.

Διαψήφισις: ἁπλῶς μὲν τὸ ἐνεγκεῖν ψήφους, κυρίως δὲ ἡ τῶν δημοτῶν ἐξέτασις, ἣν ἐποιοῦντο αὐτοῖς, ἵνα τοὺς ξένους ἀποψηφισάμενοι ἐκβάλλωσι τῶν δήμων καὶ τῆς πολιτείας.

Δημότης: ὁ τοῦ αὐτοῦ μετέχων δήμου. ὄνομα δ' εἶχεν ἑκάστη φυλή.

Διαμαρτυρία: ποιὰ μέν τις καὶ αὐτὴ μαρτυρία, καλεῖται μέντοι καὶ ὁ διαμαρτύρων μάρτυς. διαφέρει δὲ τῶν ἄλλων μαρτυριῶν ἡ διαμαρτυρία, ὅτι ἐκεῖναι μὲν ἐν αὐτοῖς τοῖς ἀγῶσι γίνονται περί τινος τῶν εἰς τὴν κρίσιν συντεινόντων, ἡ δὲ διαμαρτυρία πρὸ δίκης ἢ διαδικασίας ἐγίνετο περὶ τοῦ εἰσαγώγιμον αὐτὴν εἶναι

ἢ μὴ εἰσαγώγιμον. ὥστε κατὰ τρόπον τινὰ ἦν ἡ δικαστικὴ παραγραφή.

Δώρων γραφή: ὁπότε κρίνοιτό τις ἢ δῶρα δοὺς ἢ λαβών, δικαστὴς ἢ κατήγορος, ἵνα καθυφῇ, ἢ ἄρχων ἢ ῥήτωρ ἐν τῇ πολιτείᾳ, οὕτως ἐκρίνετο, καὶ ἀπεφέρετο κατ' αὐτοῦ δώρων γραφή. σημειωτέον δέ, ὅτι οὐ δωροδοκίας ἡ γραφή, ἀλλὰ δώρων. 5

Δήμαρχος: ὁ τοῦ δήμου ἄρχων. ἕκαστος δὲ τῶν κατὰ τὴν χώραν δήμων ἄρχοντα εἶχε τὸν προϊστάμενον αὐτοῦ. οὗτος δὲ καὶ ἀπεγράφετο τὰς οὐσίας ἑκάστου πρὸς τὰ δημόσια ὀφλήματα. 10

Δευσοποιὸς πονηρία: ἡ ἔμμονος καὶ ἀνίατος πονηρία, ἀπὸ μεταφορᾶς τῆς πορφύρας τῆς ἔμμονον ἐχούσης τὴν χρόαν διὰ τὸ ἀκριβῶς καὶ κατόχως βεβάφθαι.

Διωβελία: ὀβελοὶ δύο, οὓς καθήμενος ὁ δῆμος ἐμισθοφόρει. 15

Δαρεικὸς στατήρ: Δαρεικοὶ στατῆρες ἐκαλοῦντο ἔχοντες δραχμῶν δύο ὁλκήν· ἐδύναντο δὲ δραχμὰς εἴκοσιν· οἱ δὲ πέντε Δαρεικοὶ μνᾶν ἐδύναντο.

Δεῖγμα: δεῖγμά ἐστι τόπος τις ἐν τῷ Πειραιεῖ, ἔνθα ἐδείκνυτο σῖτος καὶ ἄλλα ὄσπρια διὰ δείγματος. ἀπὸ τούτου μέντοι καὶ τὴν προσηγορίαν ἔχει. 20

Διοπωπεύων: ἀντὶ τοῦ ἐποπτεύων, ἐφορῶν, ἐπισκοπῶν· ἀφ' οὗ καὶ διοπωπὲας τοὺς βασιλεῖς φασίν, ἐπεὶ ἐφεώρων τοὺς ἀρχομένους. 25

Δεκάτην ἑστιᾶσαι: τὸ τῇ δεκάτῃ ἡμέρᾳ τῆς γεννήσεως τοῦ παιδὸς συγκαλεῖν τοὺς συγγενεῖς καὶ τοὺς φίλους, καὶ τιθέναι ὄνομα τῷ παιδί, καὶ εὐωχεῖν τοὺς συνεληλυθότας.

Δόρυ ἐπὶ τὴν ἐκφοράν: ἔθος ἦν ἐπάγεσθαι καὶ ἐπὶ τοὺς τάφους πηγνύναι τῶν βιαίως ἀνῃρημένων δόρυ. 30

Δίκη ἐμπορική: ὄνομα δίκης, ἣν πρὸς τοὺς ἐμπόρους

περὶ ὁτουδὴ λαγχάνουσιν. ἦσαν δὲ αὗται ἔμμηνοι ὑπὲρ τοῦ μὴ τρίβεσθαι αὐτοὺς δικαζομένους καὶ ἀργεῖν τῆς ἀγορᾶς.

Διεκωδώνισεν: διεκωδώνισέν ἐστι διεπείρασεν, ἐπειδὴ περιιόντες τοὺς περιβόλους τοῖς κώδωσιν εἰςιόντες ἐμάνθανον, εἰ ἀγρυπνοῦσιν οἱ τειχοφύλακες.

Δίκην σίτου: ὄνομα δίκης. συνίσταται δὲ ἡ δίκη κατὰ τῶν ἐπιτρόπων τῶν οὐ τελούντων σῖτον καὶ τροφὰς τοῖς ὀρφανοῖς καὶ ταῖς τούτων μητράσιν.

Διωλύγια πράγματα: διωλύγια πράγματά ἐστι τὰ μεγάλα καὶ χαλεπά, ἅπερ ἀπώλεσεν ἂν τοὺς περιπεσόντας αὐτοῖς.

Διεπιθήκισεν: διαπιθηκίσαι ἐστὶ τὸ διαπαίξαι, ἀπὸ τῶν πιθήκων· φιλοπαιγμονέστατον γὰρ τὸ ζῶον, ἐπεὶ καὶ μιμηλὸν καὶ πᾶσιν ἡδόμενον.

Διαμυδαίνεται: διαμυδαίνεταί ἐστι διαπηδᾷ καὶ διαῤῥεῖ καὶ διηθεῖται.

Δοκιμαστής: ὁ δικάζων καὶ ἱστὰς τὸν σταθμὸν καὶ τὸ μέτρον τῶν ὠνίων, εἰ ἔστι καλὰ καὶ ἔμμετρα καὶ ἀκακούργητα.

Διιπόλια: ὄνομα ἑορτῆς. Διιπόλια γάρ ἐστιν ἑορτὴ μὲν Διί, ἣ καὶ δειλία καλεῖται, γίνεται δὲ ἕκτην ἐπὶ δέκα τοῦ Σκιῤῥοφοριῶνος μηνός.

Δωροξενία: ὄνομα δίκης. δωροξενία γάρ ἐστι δίκη κατὰ τῶν δόντων δῶρα, ἵνα φύγωσιν ἀγῶνα ξενίας.

Διαγράψαι τὸ διαξύσαι εἰώθασι λέγειν, ἀπὸ τοῦ

νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως.

ἐγίνετο δὲ τοῦτο ἀπὸ τῶν περιγραφομένων καὶ περιαιρουμένων.

Διακόσιοι καὶ χίλιοι: διακόσιοι καὶ χίλιοι ἦσαν Ἀθήνησι πλουσιώτατοι, εἰς τὰς τριηραρχίας τηρούμενοι.

Δοῖδυξ: δοῖδυξ λέγεται ὁ τριβεύς.

Δανειζόμενοι τίνες λέγονται: οὐ μόνον οἱ ὑπόχρεοι, ἀλλὰ καὶ οἱ δανεισταί.

Διευκρινησάμενος: διαλυσάμενος, ἀπὸ τοῦ εὖ διακρῖναι. 5

Δεκατηλόγοι: τελῶναι οἱ τὴν δεκάτην ἐκλέγοντες.

Δειπνοφόρος: ἑορτῆς ὄνομα. δειπνοφορία γάρ ἐστι τὸ φέρειν δεῖπνα ταῖς Κέκροπος θυγατράσιν Ἕρσῃ καὶ Πανδρόσῳ καὶ Ἀγραύλῳ. ἐφέρετο δὲ πολυτελῶς κατά τινα μυστικὸν λόγον. καὶ τοῦτο ἐποίουν οἱ πολλοί· φι- 10 λοτιμίας γὰρ εἴχετο. Φιλόχορος δέ φησι τὰς μητέρας τῶν δὶς ἑπτὰ παίδων, τῶν κατακλεισθέντων ἵνα πεμφθῶσι τῷ Μινωταύρῳ, πέμπειν καθ' ἡμέραν αὐτοῖς δεῖπνον καὶ φοιτᾷν πρὸς αὐτούς, καὶ μετὰ τὴν ὑποστροφὴν ὥςπερ εὐχὴν ἀποδιδόντας ἐν τῇ ἑορτῇ ἄγειν 15 τοὺς παῖδας τὰ δεῖπνα, καλουμένους δειπνοφόρους.

Δρομοκήρυκες: δρομοκήρυκές εἰσιν οἱ δρόμῳ ἀπιόντες, ἵν' ἀπαγγείλωσι καὶ σημήνωσι καὶ κηρύξωσι. διὰ τοῦτ γὰρ καὶ οὕτως ὠνομάσθησαν.

Διεσκαριφησάμεθα: ἀντὶ τοῦ διελύσαμεν. σκάριφον 20 γάρ ἐστι τὸ κάρφος καὶ φρύγανον, ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα.

Διωμοσία: ὅρκος ἐστίν, ὃν ὤμνυον οἱ φόνου ἀγῶνα διώκοντες ἢ φεύγοντες. ἀμφότεροι γὰρ ὤμνυον μετὰ τὸ εἰπεῖν τὸν παρόντα λόγον, ἢ μὴν ἀληθῆ κατηγορη- 25 κέναι καὶ δικαίως, ὁ δὲ ἢ μὴν ἀληθῆ ἀπολελογῆσθαι καὶ δικαίως. ὤμνυον δὲ καὶ πρὶν εἰπεῖν τὸν αὐτὸν ὅρκον ἀμφότεροι ἐπενεχθείσης ἤδη τῆς ψήφου, εἰ μὴ δικαίως νενικηκέναι, ἐξώλειαν ἑαυτῷ ἐπαρώμενος, εἰ ἐξηπάτησεν. 30

Διοικίσαι: ἐναντίον τῷ συνοικίσαι. συνοικίζει μὲν γάρ τις τοὺς διεσπαρμένους εἰς ἕν, διοικίζει δὲ

τοὺς ἀπὸ ἑνὸς χωρίου εἰς πολλοὺς τόπους διανέμων καὶ ἀσθενεῖς ποιῶν καὶ διαιρῶν κατὰ κώμας.

Δίκελλα: τὸ ἐργαλεῖον, ᾧ τὴν γῆν οἱ σκαπανεῖς ἀνορύττουσιν.

Δασμολογεῖν: τὸ φόρους λαμβάνειν. 5

Δελεαζόμενοι: ἐξαπατώμενοι. δέλεαρ γάρ ἐστι τὸ προτιθέμενον τοῖς ζώοις ὑπὸ τῶν θηρευόντων πρὸς τὸ ἐνεδρεῦσαι τὴν ἄγραν.

Δίκροτος ναῦς: δίκροτος ναῦς ἐστὶν ἡ δύο στοίχους ἐρετῶν ἔχουσα, ὥσπερ τριήρης ἡ τρεῖς. 10

Δεκάδες: δεκάδες εἰσὶν αἱ τῶν ἀνδρῶν ἀνὰ δέκα συναγωγαί. Ὅμηρος·

πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.

Δερμηστής: οἱ μέν φασιν εἶδος σκώληκος, ὃ κατεσθίει τὰ δέρματα· Ἀρίσταρχος δὲ ὄφεως εἶδος. 15

Δαιδάλου ποιημάτων: παροιμία. ὁ γὰρ Δαίδαλος οὗτος πρῶτος, ποιῶν ἀγάλματα, διεβίβασε τὸν ἕτερον τῶν ποδῶν, καὶ τοὺς ὀφθαλμοὺς ἀνεπέτασε, καὶ τὰς χεῖρας προὔτεινε· καὶ δόξαι ἐγένοντο ὅτι ἔμψυχα ποιεῖ ποιήματα. πρὸ γὰρ αὐτοῦ συμπεπηγότα ἀγάλματα καὶ 20 μεμυκότα πρὸς τὰς πλευρὰς ἁπλῶς.

Δέρρις: τὰ ξηρὰ δέρματα καὶ ἀμάλακτα, καταχρηστικῶς δὲ πάντα.

Δαδαμᾶται: δῆμος Κεκροπίδος.

Δεκέλεια: δῆμος Ἱπποθοωντίδος. 25

Δειράδες: δῆμος Λεοντίδος.

Δειόμνα: δῆμος Αἰγηΐδος.

Δημοτελῆ καὶ δημοτικὰ ἱερεῖα διαφέρει. τὰ μὲν δημοτελῆ θύματα ἡ πόλις δίδωσιν, εἰς δὲ τὰ δημοτικὰ οἱ δημόται, εἰς δὲ τὰ ὀργεωνικὰ οἱ ὀργεῶνες, οἳ ἂν 30 ὦσιν ἑκάστου τοῦ ἱεροῦ, εἰς δὲ τὰ τῶν γονέων τὰ γένη.

Δωροξενίας δίκη: δίκης εἰσαγωγὴ πρὸς τὸν κριθέν-

τα ξενίας, δόξαντα μὴ δικαίως ἀποπεφευγέναι διὰ τὸ δωροδοκῆσαι τοὺς δικαστάς.

Διάγραμμα: τὸ ἑκάστῳ διαγραφόμενον ἀργύριον, ὅταν εἰσφορᾶς δεήσῃ εἰς τὸ κοινὸν πολέμου ἄντος, διάγραμμα καλεῖται.

Δίκη τί ἐστι: δίκη ἐστίν, ἣν ὑπὲρ ἰδίων ἁμαρτημάτων οἱ βουλόμενοι ἵστανται πρός τινας, καὶ ἧς τὸ ἐπιτίμιον ὡρισμένον ἐστὶ τοῖς νόμοις· εἰσὶ δὲ δίκαι καὶ περὶ ἑτέρων ἐγκλημάτων. καὶ ὄνομα ἴδιον ἑκάστη ἔχει κατὰ τοὺς νόμους, οἷον ἀποστασίου, αἰκίας, ὕβρεως, τραύματος, φόνου, καὶ ἄλλαι ὁμοίως δίκαι.

Δεὐδαλίδες: ἱεραὶ κριθαί.

Διαρτᾶν: πλανᾶν, ἐξαπατᾶν.

Διαβασιλίζεται: τῆς βασιλείας ἀντιποιεῖται.

Δοκιμασίαν ἐπαγγεῖλαι: τὸ καταγγεῖλαι δίκην ἑταιρήσεως οἱ ῥήτορες δοκιμασίαν ἐπαγγεῖλαι ἐκάλουν.

Δεῦρο τί ἐστιν: ἔνιοι τὸ δεῦρο ἐπὶ χρόνου τετάχθαι νομίζουσιν, οἱ ῥήτορες δὲ ἐπὶ τόπου πάντες αὐτῷ χρῶνται.

Διήγησις ἐξηγήσεως διαφέρει. διηγοῦνται μὲν ἰδιῶται ἄνδρες περὶ τῶν προστυχόντων, ἐξηγοῦνται δὲ οἱ τῶν νόμων ἔμπειροι περὶ ὧν προσῆκε γενέσθαι κατὰ τοὺς νόμους. τέτακται δὲ τὸ ἐξηγεῖσθαι καὶ περὶ τοῦ ἐξάρχειν τινός.

Διάθεσις: ἐχρήσαντο τῇ διαθέσει οἱ ῥήτορες ἐπὶ γνώμης ἢ διανοίας τῶν δρώντων, καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, καὶ ἐπὶ τοῦ ἐξαγγεῖλαί τι, καὶ ἐπὶ διακοσμήσεως.

Διατίθεσθαι: διαθήκας γράφειν. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ πωλεῖν τὰ προσόντα, καὶ ἐπὶ τοῦ πάσχειν.

Δίχα: τῷ δίχα οἱ ῥήτορες ἐπὶ τοῦ διχῶς ἐχρήσαντο, ὅταν μηνῦσαι θέλωσι δύο, καὶ οὐκ ἐπὶ τοῦ χωρίς, ὡς ἔνιοι.

Διειληχώς: τούτῳ οἱ ῥήτορες ἐπὶ τοῦ μεμερίσθαι κοινὰ χρήματα ἐχρήσαντο.

Δρῦν φέρειν διὰ τῆς ἀγορᾶς: τὸ τοὺς ἀπελευθερωθέντας δούλους καὶ ἄλλους βαρβάρους κλάδον δρυὸς ἕκαστον διὰ τῆς ἀγορᾶς ἐν τῇ τῶν Παναθηναίων ἑορτῇ φέρειν.

Δεξαίμην: κεῖται καὶ ἐπὶ τοῦ ὑποδεξάμενον καὶ ἐπὶ τοῦ ἐκπεμπόμενον καὶ ἐπὶ τοῦ ἐκπροδέξασθαι.

Διέσειεν: κεῖται ἐπὶ τοῦ κινεῖν καὶ τοῦ λέγειν.

Δωδεκάπους σκιά: ἡ τῆς σκιᾶς παρασημείωσις τῆς ὥρας, ἐφ' ᾗ τοὺς κεκλημένους ἐπὶ δεῖπνον ἔδει ἀπιέναι καὶ τοὺς κεκληκότας ἐκδέχεσθαι τοὺς κεκλημένους.

Διάκρια: τόπος Ἀττικῆς ὑπὸ Βραυρῶνα Ἐλευσίνιον Δήμητρος καὶ Φερεφάττης ἱερόν.

Δήμαρχοι: ἀρχή τις Ἀθήνησι τῶν τὰ ἐνέχυρα λαμβανόντων παρὰ τῶν ὑποχρέων, εἰ μὴ κατὰ καιρὸν ἀποδιδόναι τὸ χρέος.

Δοξασταί: κριταί εἰσιν οἱ διαγινώσκοντες, πότερος εὐορκεῖ τῶν κρινομένων. κελεύει γὰρ Σόλων τὸν ἐγκαλούμενον, ἐπειδὰν μήτε συμβόλαια ἔχῃ μήτε μάρτυρας, ὀμνύναι, καὶ τὸν εὐθύνοντα δὲ ὁμοίως.

Διμοιρῖται: κυρίως πᾶς ὁ δύο μοίρας λαμβάνων, καταχρηστικῶς δὲ καὶ ὁ τέσσαρας ὀβολοὺς λαμβάνων στρατιώτης, οἵ εἰσι δίμοιρον τῆς δραχμῆς.

Δῖον κώδιον: ἐπὶ τῶν καθαιρομένων λέγεται, ἐπειδήπερ Διὶ θύουσι καθαίροντες τοὺς μύσει κατεχομένους.

Δόξα: σημαίνει τὸν παρὰ τῶν πολλῶν ἔπαινον. σημαίνει καὶ τὴν κατ' ἀρετὴν ὑπόληψιν. δόξα δὲ διαφέρει εὐκλείας, ὅτι ἡ μὲν εὔκλεια δόξα παρὰ τῶν ἀγαθῶν, δόξα δὲ ὁ παρὰ τῶν πολλῶν ἔπαινος.

Δωροδόκος: καὶ ὁ διδοὺς καὶ ὁ λαμβάνων.

Δημιουργοὶ τίνες λέγονται: τρίτον γένος εἰσίν, οἳ περὶ τὰς χειρουργίας καὶ τὴν τῶν τεχνῶν ἐπιμέλειαν ἐγένοντο καὶ δημιουργοὶ προσωνομάσθησαν· κοινὰς γὰρ μόνον οὐχὶ παρεῖχον τὰς χεῖρας.

Ε.

Ἐπηλυγάζειν: ἐπισκοτάζειν, ἐπισκιάζειν. καὶ ἐπηλυγαῖα τὰ ἐπινέφελα.

Ἐφημοσύνη: ἐντολή.

Ἐπιεικές: ἱκανόν, μέτριον, εὔγνωμον.

Εὐήθης: χρηστόηθης. καὶ ὁ βλάξ, καὶ ὁ μωρὸς καὶ ἄνους.

Εἰσφορά: τέλεσμα, κέρδος, εἰσαγωγή.

Ἐμποδών: ἐμπόδισμα, κώλυμα.

Ἐπάλξεις: ἔξοχαὶ τειχῶν, προμαχῶνες, ἄψίς. ἔστι δὲ καὶ δικαστήριον τῶν φονικῶν, ᾠκοδόμηται δὲ πρὸς τῷ πρυτανείῳ.

Ἐκνενευρισμένοι: ἐψιλωμένοι δυνάμεως.

Εἴρωνεία: τὸ ἐναντίον ἐστὶ τῇ ἀλαζονείᾳ, ὅταν δυνάμενός τις ποιῆσαι φάσκῃ μὴ δύνασθαι. ἀλαζὼν γάρ ἐστιν ὁ ἐπὶ πλέον τὰ ἑαυτοῦ κομπάζων καὶ αὔξων, εἴρων δὲ ὁ ἐπὶ τὸ ἧττον ἄγων καὶ μειῶν.

Εἶεν: ταῦτα μὲν δὴ οὕτως· ἔστι γὰρ ἐπίρρημα ἀφοριστικόν· ἐπὶ γὰρ τοῖς ἤδη εἰρημένοις ἐπιλεγόμενον ἀφορίζει αὐτά.

Ἐπικηρυκεία: τὸ διὰ κήρυκος εἰς φιλίαν ἔλθεῖν πρότερον ἐχθροὺς ὄντας.

Ἐρρῶσθαι φράσας: κατεγνωκώς.

Ἐν Δελφοῖς σκιᾶς: παροιμία περὶ τῶν εἰκῇ μαχομένων καὶ περὶ πράγματος οὐδενός. ἡ δὲ ἱστορία ἥδε. ἀνὴρ εἰς Δελφοὺς ἀπιὼν ἐμισθώσατο ὄνον. ὄντος δὲ χαλεποῦ καύματος, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου ὑποδρα-

μών, οὕτω ῥαστώνην αὐτῷ ἐπορίζετο. ὁ δὲ ὀνηλάτης, καὶ αὐτὸς ἐφιέμενος τῆς σκιᾶς, διεφέρετο λέγων, ὅτι τὸν ὄνον σοι μόνον ἐμίσθωσα, καὶ οὐ τὴν σκιὰν αὐτοῦ. ἀπὸ τούτου οὖν ἐκινήθη ἡ παροιμία ἐπὶ τῶν εἰκῇ μαχομένων καὶ περὶ πράγματος οὐδενός.

Ἐναργές: σαφὲς καὶ πρὸ ὀφθαλμῶν.

Ἐχυρόν: δυσαντίῤῥητον, ἀσφαλές.

Ἔφεσις: εἴσοδος ἡ εἰς ἄλλο δικαστήριον ἐφιεμένη ὑπὲρ τοῦ κριθῆναι αὖθις τὸ αὐτὸ πρᾶγμα.

Ἐκποδών: ἀφανής, ἐκ μέσου.

Εἰσφρήσειν: εἰσφορήσειν καὶ εἰσδέξασθαι. ἐμφαντικῶς δὲ εἶπε· διὰ γὰρ τοῦ ῥήματος τὴν φορὰν τῶν εἰσιόντων ἐδήλωσεν.

Εἰσαγγελία: δηλατορία. εἰσαγγελία δὲ καὶ γραφὴ διαφέρει. εἰσαγγελία μὲν γὰρ ἐπὶ τῶν μεγάλων καὶ δημοσίων ἀδικημάτων γίνεται, γραφὴ δὲ ἐπὶ μικρῶν. καὶ κυρίως γραφὴ ἐπὶ τῶν τὰ παράνομα γραφόντων, εἰσαγγελία δὲ κυρίως ἡ περὶ καινῶν καὶ δημοσίων ἀδικημάτων εἰσαγομένη δίκη ὑπὸ τῶν πρυτάνεων, περὶ ὧν διαῤῥήδην μὲν οὐδὲν λέγουσιν οἱ νόμοι, συγχωροῦσι δὲ κρίσεις γίνεσθαι. καὶ τοῦτό ἐστιν οἷον τὸ ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς μελετώμενον, τὸ τῶν ἀγράφων ἀδικημάτων.

Εἰκός: ἐνίοτε ἢ πρέπον ἢ ἀκόλουθον ἢ εὔλογον.

Ἐγγυητής: ὁ ἀναδεχόμενος δίκην.

Ἐπιτείχισμα: ἐποικοδόμημα.

Ἐκτραχηλισθῆναι: ἀντὶ τοῦ διαμαρτάνειν ἐκπεσόντα.

Εὐετηρία: εὐθηνία, εὐνομία, εἰρήνη, τὸ καλῶς διοικεῖσθαι.

Ἐπιστάτης: ἄρχων ἐπὶ τῆς βουλῆς κληρωτός, ὁ ἐφεστὼς τοῖς ὑπὸ πάντων βουλευτῶν πραττομένοις. εἰσὶ δὲ δύο, εἷς μὲν ἐκ τῶν πρυτάνεων κληρούμενος, ἕτε-

ρος δὲ ἐκ τῶν δέκα προέδρων, ὧν ἑκάτερος διοίκησίν τινα διώκει.

Ἑταιρήσεως: πορνείας. καὶ ἡταιρηκώς ὁ πεπορνευμένος.

Ἐθάδων: συνήθων, φίλων.

Εὐθύνας: κυρίως ἃς εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως ἢ πρεσβεῦσαι κακῶς. καὶ τὰ δικαστήρια μὲν οἱ λογισταὶ κληροῦσι, κατηγορεῖ δὲ ὁ βουλόμενος. καὶ τοῖς δικασταῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν.

Εἴσπραξις: ἀπαίτησις.

Εἰσπράττει: ἀπαιτεῖ.

Ἐκπώματα: φιάλαι, ποτήρια.

Ἐρήμην: δίκη ἐστίν, ὅταν μὴ παρόντων ἀμφοτέρων τῶν προσόντων ὁ δικαστὴς τὴν ψῆφον ἐπενέγκῃ κατὰ τοῦ ἀπόντος.

Ἐπώνυμοι ἄρχοντες δισσοί εἰσιν, οἱ μὲν τεσσαράκοντα δύο τῶν ἡλικιῶν, οἱ δὲ δέκα τὸν ἀριθμόν, ἀφ᾽ ὧν αἱ φυλαὶ προσηγορεύθησαν.

Εἰσιτήρια: θυσίας ὄνομα, ὅταν βουλεύειν ἢ ὅταν ἄρχειν τις χειροτονηθῇ· τότε γὰρ ἔθυον. θυσία γάρ ἐστι γινομένη ὑπὸ τῆς βουλῆς εἰσιούσης εἰς τὸ δικαστήριον.

Ἐπιδόσεις: αἱ διδόμεναι δωρεαί.

Ἐγγυθήκη: σκεῦος ἱππικόν. οἱ δέ φασι προσκόσμημα. οἱ δὲ ἄγγος χωρητικὸν σκευῶν τῶν ἱππικῶν, οἷόν τι ὁ κυνικός ἐστιν· οὗτος γὰρ χωρητικός ἐστι τῶν κυνηγετικῶν σκευῶν. οἱ δὲ ἐγγυθήκην λέγουσι τὴν νῦν ἀγγοθήκην, παρὰ τὸ ἐγγὺς κεῖσθαι. ἔχουσι δὲ αἱ τοιαῦται ἀγαλμάτια χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ χαλκᾶ, εἰς κάλλος πεποιημένα.

Εγγύους: τοὺς ἐγγυητάς.

Εκλογεῖς: οἱ ἐκλέγοντες τοὺς φόρους, ἵνα οἱ ἄρχοντες

λάβωσιν. ὠνομάσθησαν ἀπὸ τοῦ ἐκλέγειν, ὅ πέρ ἐστι πράττεσθαι καὶ ἀπαιτεῖν.

Ἔδος: αὐτὸ τὸ ἄγαλμα.

Εἰς ἐμφανῶν καταστασιν καὶ ἐξ ἐμφανῶν καταστάσεως: ὄνομα δίκης ἐστίν, ἣν ἐπσιοῦντό τινες ἀπολέσαντές τι τῶν ἰδίων σκευῶν ἢ ἀνδραπόδων ἢ κτηνῶν ἤ τι τῶν οἰκείων, γνωρίσαντες ὅπερ ἀπώλεσαν παρά τινι. διὰ ταύτης οὖν τῆς δίκης ἐπηνάγκαζον τὸν ἔχοντα ἐμφανῆ καταστῆσαι αὐτά τε τὰ σῦλα, καὶ παρὰ τίνος ὠνήσατο ταῦτα. καὶ δῆλον ὅτι, εἰ μὲν πρᾶτῆρα ἐπεδείκνυεν ὁ ἄλλου τι ἔχων, πρὸς ἐκεῖνον ἐγίνετο τῷ ἀπολέσαντι ὁ λόγος, ὡς τὸ ἀλλότριον πωλήσαντα· εἰ δὲ μὴ ἀπεδείκνυε, πρὸς αὐτὸν τὸν ἔχοντα.

Εἰσαγωγεῖς: εἰσαγωγεῖς ἦσαν ἑκάστου δικαστηρίου οἱ ἄρχοντες, οἳ εἰσῆγον αὐτοῖς τὰς δίκας.

Εἵλωτες: οἱ δοῦλοι τῶν Λακεδαιμονίων. ἐκλήθησαν δὲ οὕτως, ἐπειδὴ ἡττήθησαν πρῶτον ἐν τῷ Ἕλει καὶ ἐδουλώθησαν.

Εἰθύφαλλοι: εἶδος ᾠδῆς ὠρχημένης. ἔστι δὲ καὶ αἰδοῖον δερμάτινον, καὶ τελετή τις περὶ τὸν Διόνυσον καὶ τῇ κωκυτοῖ ἀγομένη.

Εἰκόσορον ναῦν: τὴν ὑπὸ εἴκοσιν ἐρεσσομένην ναῦν, ὥσπερ πεντηκόντορον λέγομεν τὴν ὑπὸ πεντήκοντα, καὶ τριακόντορον τὴν ὑπὸ τριάκοντα.

Εἰλικρινές: καθαρόν, ἀκριβές.

Ἑρεσιάδαι: δῆμος Ἀκαμαντίδος.

Εἰρεσιώνη, καὶ πόθεν ἡ τῶν πυανεψίων ἑορτή: ἑορτῆς ὄνομα καὶ ἱκετηρία καὶ ὕμνοι πάντων ἐθνῶν πρὸς Ἀπόλλωνα διὰ τὴν τῆς γῆς εὐετηρίαν καὶ διὰ τὸ τῇ ὄψει τοὺς καρποὺς φανῆναι. κλάδος ἐλαίας καὶ θάφνης πρὸ τῶν οἰκιῶν τιθέμενος, πλήρης πολλῶν ὡραίων ἀγαδεδεμένων. τοῦτο δὲ ἐγίνετο ἐπὶ τιμῇ τῶν θεῶν, ὥσπερ ἀπαρχὰς λαμβανόντων.

Ἑκατομβαιών: μὴν τῶν Ἀθηναίων ὁ πρῶτος. ὠνομάσθη δὲ οὕτως, ἐπειδὴ ἱερός ἐστι τοῦ Ἀπόλλωνος, ὁ δὲ Ἀπόλλων ἥλιος εἶναι δοκεῖ. ὁ δὲ ἥλιος τούτῳ τῷ μηνὶ μέγαν ποιεῖ τὸν δρόμον, ἐκάλουν δὲ οἱ παλαιοὶ τὸ μέγα ἀπὸ τοῦ ἑκατόν, ἀφ᾽ οὗ καὶ ἑκατόμβοια. 5

Ἑκάλη; δῆμος Λεοντίδος.

Ἐκφόρια: τὰ ἐκφόρια τῆς γῆς τὸν καρπόν.

Ἔνδεια: ἡ ἔκλειψις τοῦ φόρου.

Ἐκποίητον γενέσθαι: ἀποκηρυχθῆναι ἐκ τοῦ γένους, ὥσπερ εἰς ποίητος ὁ θετός. πολλοὶ δὲ τοῦτο ποιοῦσι τῶν πατέρων τοὺς παῖδας αὐτῶν, ὅταν ἐν ταῖς ἀρχαῖς κλέψαντες ἐλπίσωσιν ἁλώσεσθαι ἐν ταῖς εὐθύναις. ἤτοι οὖν ἐπὶ τοῦ ἄρχοντός ἐστι τὸ ἐκποίητον, ἢ ὑπὲρ τῆς οὐσίας τῆς ὑπερτιθεμένης εἰς ἄλλους διὰ τὴν προσδοκίαν τῶν εὐθυνῶν. διαφέρει δὲ ἐκποίητος ἀποκηρύκτου. ὁ μὲν γὰρ ἐπὶ κολάσει ἐκβάλλεται· ὁ δὲ ἐκποίητος ὑπὸ τοῦ φύσει πατρὸς εἰς ἄλλον οἶκον δίδοται εἰς θέσιν. 10 15

Ἔμπυρα: αἱ διὰ πυρὸς θυσίαι. 20

Ἔκδοσις: τὸ ἔξωθεν τῆς πόλεως δάνεισμα, τὸ ἐπὶ ναυσὶ καὶ φορτίοις διδόμενον. ἦν δὲ τὰ τοιαῦτα ἐπισφαλῆ μέν, πολύτοκα δέ.

Ἑκατόμπεδον: νεώς ἐστι τῆς Ἀθηνᾶς, ποδῶν ἑκατὸν ἐκ πάσης πλευρᾶς· διὰ τοῦτο γὰρ καὶ ὠνομάσθη. καλοῦσι γὰρ αὐτόν τινες Παρθενῶνα. 25

Ἑκαταῖα: τὰ τῇ Ἑκάτῃ θυόμενα, ἅ πέρ ἐστι τῶν νεκρῶν ἐναγίσματα· ἡ γὰρ Ἑκάτη ἐπὶ τῇ τιμῇ τῶν νεκρῶν ἦν.

Ἔκκλητος πόλις: ἔκκλητος πόλις ἐστίν, ἣν ἐκκαλεῖταί τις εἰς τὸ κρῖναι αὐτῷ ἀγῶνά τινα, δῆλον ὅτι φεύγων τὴν πρώτην ὡς πρὸς ἔχθραν ἢ χάριν κρίνουσαν. ἐξῆν δὲ τοῖς ξένοις μάλιστα ἐκκαλεῖσθαι, τοῖς δὲ 30

πολίταις ἥκιστα. ὡςαύτως δὲ καὶ δικαστήριον ἔκκλητον λέγουσιν.

Ἐκμαρτυρία: διαφέρει μαρτυρίας ἐκμαρτυρία. τῶν μὲν γὰρ παρόντων μαρτυρία, τῶν δὲ ἀπόντων ἐκμαρτυρία καλεῖται. καὶ ὁμοίως ἐκμαρτυρίαν λέγουσιν, 5 ὅταν τις τὰ παρὰ τοῦ ἀπόντος εἰρημένα ἐκμαρτυρήσῃ.

Ἐκφυλλοφορῆσαι: φυγῆς ὄνομα ἡ ἐκφυλλοφορία. ἔστι δὲ τοῦτο. εἰ ἐδόκει τις τῶν πολιτῶν ἀδικεῖν καὶ ἀνάξιος εἶναι τοῦ συνεδρίου τῶν πεντακοσίων, ἐσκόπει ἡ βουλὴ περὶ αὐτοῦ, εἰ χρὴ φυτὸν μηκέτι βου- 10 λεύειν, ἀλλ' ἀπελασθῆναι ἀπὸ τοῦ συνεδρίου. ἀντὶ δὲ τῆς ψήφου κρίνουσα περὶ τοῦ τοιούτου φύλλοις ἐλαίας ἐχρῆτο, ᾧ ἕκαστος ἐπεσημήνατο τὴν ἑαυτοῦ γνώμην, ὥςπερ ἐπὶ ὀστρακισμοῦ ὀστράκοις. τοῦτο οὖν ἐλέγετο ἐκφυλλοφορία. ἐνέγραφον δὲ τοῖς φύλλοις διὰ τὸ τοῖς 15 κυάμοις κακουργοῦντα ἁλῶναι Ξενότιμον τὸν ὑπηρέτην· τριχὶ γὰρ ὑὸς τρήσας τὸν κύαμον, ἀνέφερε ταύτην τὴν ψῆφον. διὰ τοῦτο οὖν τοῖς φύλλοις ἐχρῶντο.

Ἐλαιοκόμων: τῶν ἐργατῶν τῶν τὰς ἐλαίας ἐργαζομένων· κομεῖν γὰρ τὸ ἐπιμελεῖσθαι, ἀφ' οὗ καὶ ὀρε- 20 ωκόμος. οἱ οὖν ἐπιμελούμενοι τῶν ἐλαιῶν ἐλαιοκόμοι καλοῦνται.

Ἑλικτήρ: εἶδός ἐστιν ἐνωτίου, ἐκλήθη δὲ οὕτως ἴσως ἐπεὶ ἑλικὴν ἔχει τὴν κατάσκευήν.

Ἑλκοποιῆσαι: παροιμία ἐπὶ τῶν τὰ ἤδη πεπαυμένα 25 λυπηρὰ ἐπαναμιμνησκόντων, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· σὺ δ' ἑλκοποιεῖς καὶ ἀναξαίνεις τὸ ἤδη ἀπαλλαγὲν καὶ ῥαΐσαν καὶ συνουλωθέν.

Ἑλληνοταμίαι: οἱ ταμίαι τῶν Ἑλληνικῶν χρημάτων. εἶχε γὰρ ἡ Ἑλλὰς κοινὰ χρήματα ἀποκείμενα ἐν 30 Δήλῳ.

Ἑλλανοδίκης: Ἑλλανοδίκαι ἦσαν ἄρχοντές τινες Ἠλείων, οἱ διέποντες τὰ κατὰ τὸν ἀγῶνα τῶν Ὀλυμπίων.

ἐκλήθησαν δὲ οὕτω παρὰ τὸ τοῖς Ἕλλησι δικάζειν. ἐδίκαζον δὲ τοῖς τε ἀθληταῖς καὶ τοῖς ἄλλοις ἀγωνισταῖς. καὶ προεκάθηντο ἐν τῷ ἀγῶνι ἐν πορφυρίσιν. ἦσαν δὲ τὸ παλαιὸν ἐννέα, εἶτα δέκα, εἶτα πεντήκοντα τὸ τελευταῖον. 5

Ἐλαιούς: δῆμος Ἱπποθοωντίδος.

Ἐλαφηβολιών: μὴν Ἀθήνησι πέμπτος. ἐκλήθη δὲ ἀπὸ τῶν ἐλάφων, αἵ τινες τῷ μηνὶ τούτῳ ἐθύοντο τῇ ἐλαφηβόλῳ Ἀρτέμιδι.

Ἔμβιος: ἡ σηπεδὼν τοῦ ξύλου ἔμβιος καλεῖται. ἔστι 10 δὲ σηπεδὼν ξύλου ἡ ποιότης, ἣ ἐν αὐτῷ, ἐὰν μὲν εὖ ἔχῃ, τοῦ ἐκφῦσαι αἰτία γίνεται, ἐὰν δὲ κακῶς, τοῦ κατασαπῆναι.

Ἐμπεδοκλέους ἔχθρα: παροιμία ἐπὶ τῶν τὴν ἔχθραν ἀείμνηστον διατηρούντων. 15

Ἐμβριθές: στιβαρὸν καὶ βαρύ, τὸ φορερόν. τοὺς βριάοντας, ὅ πέρ ἐστι τοὺς ἐπιβαροῦντας.

Ἐμβατεῦσαι καὶ ἐμβατεία: ἐμβατεία ἐστὶν ἡ νυνὶ λεγομένη διὰ τοῦ δ ἐμβαδία, τὸ τὸν δανειστὴν ἐμβατεῦσαι καὶ εἰςελθεῖν εἰς τὰ κτήματα τοῦ ὑπο- 20 χρέου, ἐνεχυριάζοντα τὸ δάνειον.

Ἔμπυος: ἔμπυός ἐστι πλήρης πύου, πύον δέ ἐστι τὸ σεσηπὸς αἷμα. εἰδέναι δὲ δεῖ, ὅτι οὐ λέγουσιν ἔμπυον οἱ παλαιοί, ἀλλὰ πύον.

Ἐμβάδες: εἶδος ὑποδήματος. ἴσως παρὰ τὸ ἐμβαίνειν 25 τοὺς πόδας κατωνόμασται.

Ἔμπουσα: Ἔμπουσα φάσμα ἐστὶ τῶν ὑπὸ τῆς Ἑκάτης πεμπομένων, εἰς πολλὰς ἀλλασσόμενον μορφάς. ἐκαλεῖτο δὲ καὶ Ὀνοκώλη τοῦτο τὸ φάντασμα. Ἔμπουσα δὲ ἀπὸ τοῦ ἐμποδίζειν τοὺς ἀνθρώπους, ἢ ἀπὸ τοῦ 30 τὸν ἕτερον πόδα χαλκοῦν ἔχειν, τὸν δὲ ἕτερον βολίτινον. ἐκλήθη οὖν ἡ μήτηρ Αἰσχίνου Ἔμπουσα, ὡς μὲν λέγει Δημοσθένης, ἀπὸ τοῦ πάντα ποιεῖν καὶ πά-

σχειν — καὶ γὰρ τὸ φάσμα παντόμορφον — ὡς δὲ Ἰδομένης φησὶ δημαγωγόν, ἐπεὶ ἀπὸ σκοτεινῶν τόπων ἀνεφαίνετο τοῖς μυουμένοις.

Ἕνδεκα τίνες εἰσί: κληρωτοὶ ἄρχοντες ἦσαν, ἕνδεκα τὸν ἀριθμόν, προϊστάμενοι τοῦ δεσμωτηρίου, καὶ τοὺς ἀγομένους ἐπὶ κακουργήμασι παρελάμβανον κλέπτας καὶ ἀνδραποδιστὰς καὶ φονεῖς. καὶ τοὺς μὲν ὁμολογοῦντας θανάτῳ ἐζημίουν, τοὺς δε ἀμφισβητοῦντας εἰσῆγον εἰς δικαστήριον.

Ἔνδειξις: φανέρωσις κατὰ τῶν ἀτίμων καὶ ποιούντων ἃ κωλύουσιν οἱ νόμοι. τῶν δὲ ἐνδείξεων εἰσέφερον εἰς δικαστήριον ἃς μὲν οἱ ἕνδεκα, ἃς δὲ οἱ θεσμοθέται.

Ἐνεπίσκημμα καὶ ἐνεπισκήψασθαι: προσφώνησις γυναικὸς καὶ δανειστοῦ, δημευομένης οὐσίας, περὶ προικὸς καὶ χρέους, ὀφειλόντων αὐτὰ ἐξ αὐτῆς λαμβάνειν.

Ἔνη καὶ νέα: ἡ τριακοστὴ τοῦ μηνὸς ἡμέρα ἔνη καὶ νέα καλεῖται.

Ἐνθρυπτα: ψωμοὶ οἴνῳ βεβρεγμένοι, οἷς ἐπιχεῖται καὶ φακῇ ἁπλῶς.

Ἐγκύκλιοι λειτουργίαι: αἱ κατ' ἐνιαυτὸν γινόμεναι, οἷον χορηγίαι, γυμνασιαρχίαι καὶ ἱερῶν περίοδοι.

Ἐγκεκαυμένη: ἐζωγραφημένη καὶ πεποικιλμένη γραφαῖς.

Ἐγκόψαι: παῖσαι. ἀπὸ τοῦ κόψαι, ὅ πέρ ἐστι κροῦσαι.

Ἐν Δελφοῖς σκιᾶς μάχεσθαι: παροιμία ἐπὶ τῶν περὶ εὐτελῶν καὶ μηδενὸς ὄντων ἀξίων πραγμάτων μαχομένων.

Ἐγκάρδιον: τὸ μεγάλως δεινὸν καὶ λυπηρὸν καὶ ἁπτόμενον τῆς καρδίας.

Ἐνθένδε: ἤτοι τοπικόν ἐστιν, οἷον ἀπὸ τῆς ἐκκλησίας, ἢ χρονικὸν ἀντὶ τοῦ νῦν.

Ἔγκτήματα: τὰ ἐν ἀλλοτρίᾳ γῇ χωρία καὶ περιουσία τις ἐγκτήματα λέγεται. τὰ δὲ ἐν τῇ πατρικῇ γῇ κτήματα λέγεται.

Ἐν ὁδῷ καθελών: ἀντὶ τοῦ ἀνελών· παρ' ὃ καὶ καθεῖλε λέγομεν τὸν τύραννον. ἢ ἐν ὁδῷ καθελών ἀντὶ τοῦ ἐν λόχῳ· ὁδὸς γὰρ ὁ λόχος.

Ἐν Φρεαττοῖ: δικαστήριόν ἐστι καὶ τοῦτο τῶν φονικῶν δικῶν.

Ἐννέα ὁδοί: ἡ Ἀμφίπολις. ἐκλήθη δὲ ἐννέα ὁδοὶ διὰ τὸ τὴν Φυλλίδα, τὴν Φυλέως θυγατέρα, ἐννάκις καταβεβηκέναι εἰς θάλασσαν ἐπισκεπτομένην, μή πως ναῦς προσπλεῖ Ἀττικῇ. Ἀκάμας γάρ, ὁ Θησέως υἱός, Ἀθηναῖος ὤν, ἐκ Τροίας ἐπανιὼν εἰς τὴν πατρίδα, ἦλθεν εἰς Θρᾴκην, καὶ ξενισθεὶς παρὰ Φυλεῖ, τῷ τῆς χώρας βασιλεῖ, Φυλλίδα τὴν αὐτοῦ ἔγημε θυγατέρα, ἐρασθεῖσαν αὐτοῦ. ἀποδημήσας δὲ ὁ Ἀκάμας Ἀθήναζε, ὡς θᾶττον ἐπανήξων, οὐκέτι ὑπέστρεψεν.

Ἐν τοῖς μέρεσι καλουμένη μάχη: ἡ πρώτη τῶν ἐφήβων στρατεία, ἐπεὶ χωρὶς ἐν τοῖς ἀκινδυνοτέροις μέρεσι γέγονεν ἡ μάχη.

Ἔναυλον: ἔνηχον. αὐλὸς γὰρ πᾶν τὸ στενὸν καὶ ἐπίμηκες, ὁ δὲ πόρος τῶν ὤτων τοιοῦτος.

Ἐνώπιον: ἀντικρύς, φανερόν.

Ἐνδελεχεστάτης: συνεχεστάτης καὶ ἀδιαλείπτου.

Ἐνάμιλλον: ἴσον καὶ ὅμοιον καὶ παραπλήσιον.

Ἔγγαια χρήματα: τὰ ἐπὶ ὑποθήκῃ διδόμενα.

Ἐνεός: ὁ διὰ μωρίαν λήθαργος καὶ ἀμνήμων. ἀφ' οὗ καὶ ἐνεάζειν λέγομεν τοὺς διὰ μωρίαν παραβλέποντας.

Ἐνλιμενισταί: οἱ ἐν τοῖς λιμέσι τελῶναι.

Ἔνθεσμος βλάβη: ἡ ἐν τοῖς νόμοις ὡρισμένη.

Ἐξετῶμεν: ἐξετάσομεν.

Ἐξερεθιστήν: τὸν ἀνερεθίζοντα στασιάζειν.

Ἐξοκεῖλαι: ἐξορμῆσαι καὶ ἐκδραμεῖν, ὑπὸ τῆς τοῦ πνεύματος φορᾶς ἐκπεσεῖν εἰς τὴν γῆν.

Ἐξιτήλους: ἀφανεῖς, ἀπὸ τοῦ ἔξω εἶναι τοῦ δήλου.

Ἐξηγητής: ὁ τοὺς νόμους ἐξηγούμενος καὶ πᾶν ὁτιοῦν πρᾶγμα. 5

Ἐξετασταί: οἱ πεμπόμενοι ἄρχοντες προεξετάσαι τοὺς ξένους, πόσοι εἰσίν, ἵνα μισθὸς αὐτοῖς πέμπηται, διὰ τὸ τοὺς στρατηγοὺς ψευδομένους πλείονας καταριθμεῖν.

Ἐξαίρεσις: τόπος τις Ἀθήνησιν, ἔνθα ἐξαιρούμενοι τὰ φορτία ἀπετίθεντο. 10

Ἐξαιρέσεως δίκη: δίκης ὄνομα, ὁπότε τις ἄγοι τινὰ ὡς δοῦλον, ἔπειτά τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο.

Ἐξούλης: ὄνομα δίκης, ἣν ἐφιᾶσιν οἱ φάσκοντες ἐξεῖργεσθαι τῶν ἰδίων. εἴρηται δὲ ἀπὸ τοῦ ἐξίλλειν, ὅ πέρ ἐστιν ἐξωθεῖν καὶ ἐκβάλλειν ἐκ τῶν χωρίων ἢ τῶν οἰκιῶν. 15

Ἐπόγδοον: ἐπὶ ὀγδόῳ. ἦν δὲ δάνεισμα εἰς ἐμπορίαν φορτίων. 20

Ἐπήβολον: ἐπιτυχῆ καὶ ἐπιῤῥεπῆ πρὸς τύχην. τινὲς δὲ λοίδορον, τὸν πρὸς τὰ ἔπη ἐπιβάλλοντα ὡς βέλη.

Ἐπίσισκον: τὸ συρίζοντας ἐποτρύνειν καὶ ἐπισπέρχειν τοὺς κύνας ἐπὶ τὰ ἔργα ἐν τοῖς κυνηγεσίοις ἐπίσιστον καλοῦσιν. 25

Ἐπίθετα: τὰ οὐκ ἐκ τῶν νόμων τῇ βουλῇ προστεταγμένα ἐξ ἀρχῆς, ἀλλὰ προστεθέντα.

Ἐπὶ γύης: ὁδός ἐστι καὶ τρίβος μεταξὺ δυεῖν γειτόνων, διατέμνουσα τὰ χωρία ἐξ ἑκατέρου. οἱ οὖν κρίνοντες ξενίας ἑκατέρωθεν, ἔκ τε πατρὸς καὶ μητρός, δύο γύας ἔχουσιν, ὁ δὲ ἐκ τοῦ ἑτέρου ἕνα. ἔστιν οὖν ἐπὶ γύης δίκης ὄνομα. 30

Ἐπιθέτους ἑορτάς: τὰς οὐ πατρίους οὐδ' ἀρχαίας, ἀλλὰ τὰς προστεθείσας.

Ἐπακρία γῆ: ἡ πρὸς τοῖς ἄκροις τῶν ὀρέων, ἀφ' οὗ καὶ ὑπεράκριοί τινες ἦσαν Ἀθηναῖοι.

Ἐπικλήρου: ἐπιφθόνου καὶ δοκούσης διαφέρειν. 5

Ἐπαπηχεῖαι: ἀπηχῆσαι καὶ ἐπὶ πολὺ ἐξικέσθαι. ἔνιοι δὲ καὶ ἐπὶ ἀπεχθείᾳ καὶ ἔχθρᾳ ἀπέδοσαν.

Ἐπλινθεύθησαν: ἀπετειχίσθησαν πλίνθοις περιοικοδομηθέντες, ὡς μὴ εἶναι ἔξοδον. ἢ ὑβρίσθησαν, ἐμαστιγώθησαν, ἐπεὶ πλίνθος ἐστὶν ὄργανον βασανιστικόν. ἢ ἐπλινθεύθησαν ἀντὶ τοῦ ἐπράθησαν. 10

Ἐπιτρίταις: ἀντὶ τοῦ ἐπὶ ὀκτὼ ὀβολοῖς, οἳ τὸ τρίτον τοῦ στατῆρος ἦσαν· ἢ ὅτι ὀκτὼ ὀβολοὶ ἐπίτριτόν εἰσι τῆς δραχμῆς. 15

Ἐπιστολιμαίους δυνάμεις: τὰς ἐν ἐπιστολαῖς γραφομένας μόνον δυνάμεις, ἔργῳ δὲ ἢ ἐν πολέμῳ μὴ θεωρουμένας.

Ἐπεισόδιον: κυρίως μὲν τὸ ἐν κωμῳδίᾳ ἐπιφερόμενον τῷ δράματι γέλωτος χάριν ἔξω τῆς ὑποθέσεως, καταχρηστικῶς δὲ ἁπλῶς τὸ ἐξαγώνιον πρᾶγμα. 20

Ἐπίσταθμοι: οἱ ἄρχοντες καὶ σατράπαι, οἱ κατέχοντες βασιλεῖ τὰς ὑπηκόους πόλεις, παρὰ τὸ ἐπὶ τοῖς σταθμοῖς εἶναι· σταθμοὶ δὲ αἱ καταγωγαί. οἱ δὲ Λακεδαιμόνιοι τοὺς τοιούτους ἁρμοστὰς ἐκάλουν. 25

Ἐπάνω δικαστήριον καὶ ὑποκάτω: ἐπάνω μὲν δικαστήριον τὸ ἐν Ἀρείῳ πάγῳ· ἔστι γὰρ ἐν ὑψηλῷ λόφῳ· κάτω δὲ τὸ ἐν κοίλῳ τινὶ τόπῳ. ἢ ἄνω μὲν ἐν ἀκροπόλει, κάτω δὲ ἐν πόλει. ἢ ἄνω μὲν ἐν ἄστει, κάτω δὲ τὸ ἐν Πειραιεῖ. ἢ ἄνω μὲν τὸ ἄνω βλέπον εἰς τὴν ἀκρόπολιν, κάτω δὲ τὸ κάτω βλέπον εἰς ἄστυ ἢ τὸν Πειραιᾶ. ἢ ἰδίως οὕτω καλεῖσθαι ἄνω καὶ 30

κάτω δικαστήριον. ἢ ἄνω μὲν τὸ ἐν ὑπερῴοις, κάτω δὲ τὸ ἐν ὑπαίθρῳ.

Ἐπιγραφεῖς: ἀρχή τίς ἐστιν ἢ τῶν ἐπιγραφέων, ἤ τις ἐν ταῖς δίκαις ἐπέγραφε τὰ ἐπιτίμια τοῖς ἁλισκομένοις. ἢ ἐπιγραφεῖς οἱ ὁρίζοντες καὶ ἐπιγράφοντες τὰς εἰσφορὰς ἑκάστῳ. 5

Ἐπιδέκατον: τὸ ἐπὶ δεκάτῳ διδόμενον.

Ἐπαμήσασθαι: ἐπιχέεσθαι καὶ ἐπιβάλλεσθαι καὶ ἐπιφορῆσαι.

Ἐπιτήθη: ἡ μήτηρ τῆς μάμμης. 10

Ἐπίβοιον: τὸ ἐπὶ τῇ θυομένῃ βοῖ θυόμενον.

Ἐπιμήνια: τὰ καθ' ἕκαστον μῆνα θυόμενα ὑπὲρ τῆς πόλεως. ἢ τὰ ἐφώδια.

Ἐπίκωποι: οἱ πρὸς ταῖς κώπαις, οἱ ἐρέσσειν εἰωθότες.

Ἐπισκέπται: ἄρχοντες ἐπισκεπτόμενοι τοὺς ὑπηκόους καὶ τὰ τούτων πράγματα. 15

Ἐπήλυδες: οἱ ἐξ ἄλλης γῆς εἰς ἄλλην μετελθόντες καὶ οἰκήσαντες.

Ἐπὶ κωλιάδα: ἐπιθαλαττίδιον ἄκρον τῆς Ἀττικῆς, κεκλημένον ἀπὸ τοῦ κώλου. 20

Ἐπικεκηρυχέναι καὶ ἐπικηρῦξαι: τὸ ἐπί τινι κηρῦξαι χρήματα, ἵνα ὁ τοῦτον ἀποκτείνας λάβῃ τὸ ἀπὸ τοῦ κηρύγματος ἀργύριον.

Ἐπιβολή καὶ ἐπιβάλλειν: ζημίας ὄνομα, τὸ τὸν ἄρχοντα ἢ τὴν βουλὴν χρήματα ὁρίζειν τινὶ ζημίαν δοκοῦντι ἀδικεῖν τὰ δημόσια ἢ ὀρφανούς, ἢ κατέχειν τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς ἄγειν. τὸ δὲ ἐπιβάλλειν ἐπὶ τοῦ ζημιοῦσθαι τέτακται. 25

Ἐπομβρία: τὸ διομβρεῖν καὶ διηθεῖσθαι ὕδωρ ἀπὸ γῆς χωρὶς πηγῆς τινός. 30

Ἐπιπόρπημα: κόσμημα ἢ λίθινον ἢ χρυσοῦν ἢ ἀργυροῦν. ἢ ἱμάτιον διπλοῦν. πόρπη δέ ἐστιν ἡ ἄνω τῆς χλαμύδος πρόσδεσις.

Ἐπώνια καὶ κηρύκεια: ἐπώνια μὲν τὰ ἐπὶ τῇ ὠνῇ προσκαταβαλλόμενα, ὥσπερ ἑκατοστάί τινες· κηρύκεια δὲ τὰ τῷ κήρυκι διδόμενα ὑπὲρ τοῦ κηρύττειν τὰ τέλη πιπρασκόμενα.

Ἐπίληπτον: τὸν ἐπιλήψιμον τῷ τῆς σελήνης πάθει. 5

Ἐπιτετιμημένον: τὸ τίμησιν καὶ ἐπίτασιν ἐν τῇ τιμῇ λαβόν.

Ἐπὶ κόρρης: ἅπασαν τὴν κατὰ τῆς κεφαλῆς πληγὴν ἐπὶ κόρρης παίειν φασί, κυρίως δὲ τὸν παρὰ τὰς γνάθους τόπον. 10

Ἐπίπλα: τὰ σκεύη τὰ ἐν χερσὶ καὶ χρειώδη καὶ ἐπιπολάζοντα τῇ οἰκίᾳ.

Ἐπακτροκέλης: ληστρικὸν καὶ βραχὺ πλοῖον. ἔστι δὲ τὸ ὄνομα σύνθετον ἀπὸ ἐπακτρίδος καὶ κέλητος.

Ἐπὶ διετὲς ἡβῆσαι: τὸ γενέσθαι ἐτῶν ὀκτωκαίδεκα, 15 ἵνα ἥβη ᾖ τὸ ἑκκαίδεκα ἐτῶν γενέσθαι. τὸ δὲ οὖν ἐπὶ διετὲς ἡβῆσαί ἐστι τὸ γενέσθαι ἐτῶν ἄλλων δυοῖν μετὰ τὴν ἥβην.

Ἐπὶ Δελφινίῳ: δικαστήριον ἐν τῶν φονικῶν, ὅ φασιν Αἰγέα ἱδρύσασθαι αὐτὸ ἀπὸ Δελφῶν ἥκοντα Ἀπόλλωνι Δελφινίῳ καὶ Ἀρτέμιδι Δελφινίᾳ. 20

Ἐπιμεληταί: ἐμπορίου ἄρχοντες ἦσαν κληρωτοί, δέκα τὸν ἀριθμόν, ἑκάστου ἔτους καθιστάμενοι, οἷς προσετέτακτο τῶν ἐμπορίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ ἐμπόριον τὸ ἀστικὸν τὰ δύο 25 μέρη τοὺς ἐμπόρους ἀναγκάζειν.

Ἐπίσκηψις: δίκη ἐστὶ κατὰ τῶν ψευδῆ μεμαρτυρηκότων.

Ἐπωβελία: ἐπιτίμιόν τι τοῦτό ἐστι τοῖς διώκουσι χρηματικήν τινα δίκην, ἂν μὴ ἕλωσιν. ἦν δὲ τοῦτο τὸ 30 ἕκτον μέρος τοῦ τιμήματος, οὗ ἐπεγράφοντο καὶ ἐδικάζοντο, καὶ ἐκαλεῖτο οὕτως, ὅτι ἐπὶ τῇ δραχμῇ ὀβολὸς ἦν, τῆς δραχμῆς λογιζομένης ὀβολῶν ἕξ. ἐλάμβα-

νε δὲ ὁ φεύγων ἀπὸ τοῦ διώκοντος, εἰ τὴν δίκην ἀπέφευγεν.

Ἐπίλαχών: εἴ τις ἀποδοκιμασθείη ὡς ἀνεπιτήδειος, ἄλλος ἀντὶ τούτου ἐπιλαχὼν αὐτὸς ἦρχεν.

Ἐπαγγεῖλαι καὶ ἐπαγγελία: σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν πεπορνευμένων καὶ δημηγορούντων οὐκ ἐξόν.

Ἐπίδικος καὶ ἐπίκληρος καὶ ἐπίπροικος: ἐπίκληρος μέν ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ καταλελειμμένη ὀρφανή, μὴ ὄντος αὐτῇ ἀδελφοῦ· ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ὥστε μόνον προῖκα ἔχειν, ὀρφανὴ καταλελειμμένη, ἢ ἀδελφοῦ ἢ ἀδελφῶν ἀρρένων αὐτῇ ὄντων· ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος, ὅτῳ δεῖ αὐτὴν γαμηθῆναι.

Ἑρμιόνη: χωρίον ἄσυλόν ἐστιν ἡ Ἑρμιόνη οὕτω καλούμενον.

Ἐριθείας: φιλονεικίας.

Ἑρπήνη: πάθος τι χαλεπόν, ἀπὸ τοῦ ἕρπειν καθ' ὅλου τοῦ σώματος, ὅ πέρ ἐστιν ἐπινέμεσθαι καὶ τρέφειν.

Ἐργοδόται: οἱ τὰ ἔργα ἐκδιδόντες τοῖς δημιουργοῖς.

Ἕρκιον Διὰ τιμῶσιν Ἀθηναῖοι τὸν τοῦ ἕρκους φύλακα ἱδρυσάμενοι. ἕρκος δὲ οἱ ἀρχαῖοι ἐκάλουν τὴν οἰκίαν.

Ἕρματα: τὰ πετρώδη μέρη τῆς θαλάσσης καὶ ὕφαλα, παρὰ τὸ εἶναι ἐρύματα καὶ κωλύματα τοῦ προσωτέρω πλεῖν.

Ἐσπαθᾶτο: ἐρριπτεῖτο καὶ διεκόπτετο, ἀπὸ τῆς σπάθης· οὕτω γὰρ τὴν μάχαιραν καλοῦσιν. ἢ ἀντὶ τοῦ συνετίθετο, ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης, ἥ τις συντίθησι τὰ ὑφαινόμενα.

Ἐσχατιάς: τὰ χωρία λέγουσιν ἐσχατιὰς τὰ πρὸς τοῖς ὅροις τῆς χώρας ἢ τὰ πρὸς τῇ θαλάσσῃ.

Ἐσχάρα: ἡ ἐπὶ γῆς ἑστία ἡ στρογγυλοειδής, ἀφ' οὗ καὶ

καὶ ἐσχάρας λέγομεν τὰ κοῖλα ἕλκη καὶ περιφερῆ. βωμὸς δ' ἐστὶ τὸ ἐν ὕψει πρὸς θυσίαν ᾠκοδομημένον.

Ἐτεοβουτάδης: γένος Ἀθήνησι καθαρὸν Ἀττικὸν τὸ γνήσιον. 5

Ἐτησίαι: ψυχρὸν πνεῦμα Βορέου ἐν θέρει πνέον.

Εὐπατρίδαι: εὐπατρίδαι ἐκαλοῦντο οἱ αὐτὸ τὸ ἄστυ οἰκοῦντες καὶ μετέχοντες βασιλικοῦ γένους καὶ τὴν τῶν ἱερῶν ἐπιμέλειαν ποιούμενοι, γεωργοὶ δὲ οἱ τῆς ἄλλης χώρας οἰκήτορες, ἐπιγεώμοροι δὲ τὸ τεχνικὸν 10 ἔθνος.

Εὐθύορον: τόπος ἐπ' εὐθείας ἔχων τὸν ὅρον.

Εὐανδρία: ἀγών τις εὐανδρίας τοῖς Παναθηναίοις ἀγόμενος, οὗ κοινωνεῖν οὐκ ἐξῆν τοῖς ξένοις.

Εὔθυνοι: ἄρχοντές εἰσιν οἱ τὰς εὐθύνας λαμβάνοντες 15 παρὰ τῶν ἀρχόντων, ὥςπερ οἱ λογισταί.

Εὐοῖ σαβοῖ: μυστικὰ ἐπιφθέγματα.

Εὐρύβατος: ὄνομα κύριον, ὃς ἔλαβε χρήματα παρὰ Κροίσου πρὸς συλλογὴν δυνάμεως ξενικῆς, καὶ ηὐτομόλησε πρὸς Κῦρον σὺν τοῖς χρήμασιν. 20

Εὐηνιώτατα: τὰ εὖ ἔχοντα, ἀπὸ μεταφορᾶς τῶν ἵππων, αἳ θέουσαι ἡνία ἄγουσιν.

Ἐφέται καὶ ἐπὶ Παλλαδίῳ: δικαστήριόν ἐστιν οὕτω καλούμενον, καὶ οἱ ἐν αὐτῷ κρίνοντες κριταὶ ἐφέται καλοῦνται. 25

Ἐφόλκια: τὰ ἐκ περιττοῦ ἐπιφερόμενα σκεύη τοῖς ἀποδημοῦσιν.

Ἔφοροι: ἄρχοντες ἦσαν ἄνδρες ἐννέα ἐν Λακεδαίμονι, κληθέντες ἀπὸ τοῦ πάντας ἐφορᾶν. ἦσαν δὲ ἡ μεγίστη ἀρχή. 30

Ἐφάμιλλον: τὸ ἴσον, τὸ μὴ πλεονεκτούμενον ἀλλ' ἰσόῤῥοπον.

Ἐφεκτός: τόκος ἐφεκτὸς ὁ ἐπεχόμενος καὶ ὡρισμένος.

Ἐχόμενα: τὰ ἐφεξῆς ἐχόμενα καὶ συναρτώμενα διὰ τὴν ἐγγύτητα.

Ἐχῖνος: καδίσκος χαλκοῦς, εἰς ὃν αἵ τε μαρτυρίαι καὶ αἱ προκλήσεις ἔγγραφοι ἐνεβάλλοντο ὑπὸ τῶν δικαζομένων. καὶ κατεσημαίνετο ὁ ἐχῖνος, ἵνα μηδεὶς κακουργήσῃ μετὰ τὸ ἅπαξ ἐμβάλλεσθαι.

Ἐχιλιώθη: χίλια ἐζημιώθη.

Ἐψιμυθιῶσθαι: προστετρίφθαι τρίμματι λευκὸν τὸν χρῶτα ποιοῦντι, ὥςπερ τὸ φῦκος ξανθόν. ἐχρῶντο δὲ τῷ φύκει εἰς τὰ μῆλα, ἵνα ξανθίζῃ· τῷ δὲ ψιμυθίῳ εἰς ὅλον τὸ πρόςωπον, ἵνα λευκὸν ᾖ.

Ἑωλοκρασία: ἡ κατάχυσις τῶν ζωμῶν τῶν ἑώλων δείπνων ἐπὶ τοὺς κοιμωμένους τῶν συμπινόντων. λαμβάνεται δὲ καὶ ἐπὶ κατηγορίᾳ ἀρχαίων πραγμάτων.

Εἴπουθεν: ἀντὶ τοῦ ὡς ἔοικεν, δήπουθεν, συλλογιστικῶς.

Εἴσω: τὴν ἐν τόπῳ καὶ εἰς τόπον σχέσιν σημαίνει.

Εἰκάζειν: σκοπεῖν.

Ἐκτιλώσαντο: πράως καὶ χειροήθως μετεχειρίσαντο.

Ἐκκλώζεται: διὰ τῶν στομάτων ἐκφορεῖ.

Ἐμπήκτης: ὁ θεσμοθέτης.

Ἐμβραχύ: συντόμως, ἁπλῶς.

Ἐνονυχίζει: ἀποδέχεται.

Ἐπαμφοτερίσαι: τὸ τὰ σαφέστερα εἰς ἀμφίβολον περιστῆσαι.

Ἐπήγγελλεν: παρεκελεύετο, προςέταττεν. λέγεται δὲ καὶ παθητικῶς.

Ἐπιβατεύουσιν: ἀμφισβητοῦσιν.

Ἐρεσχηλεῖν: σκώπτειν.

Ἔφεδρον: βάναυσον καὶ ταπεινόν, οἷον ἐπιδίφριον.

Ἐχθὲς καὶ πρώην: ἐπ᾽ ὀλίγου χρόνου.

Ἑωθιναὶ δίκαι: τὰ βραχέα πράγματα, ἐπεὶ ταῦτα ὄρθρου ἐξεδίκαζον.

Ἐπιδανεῖσαι τί ἐστιν: ὅταν δεδανεικότος τινὸς καὶ ἐνεχυριάσαντος οἰκίαν ἢ χωρίον, ἐπιδανείσῃ τις ἕτερος ἐπὶ τοῖς αὐτοῖς ἐνεχύροις, ἐπιδανεῖσαι λέγεται.

Εὐθυδικία: δίκης ὄνομα, ὅταν εἰσάγηταί τις κριθησόμενος περὶ ὧν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου. 5

Ἐναυλήματα: ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. ἔνιοι δὲ καὶ αὐτὰ καθ' αὑτὰ τὰ ἄλφιτα ἐναυλήματα προσαγορεύουσιν.

Ἐπακρία: ὄνομα χώρας πλησίον τετραπόλεως κειμένης. 10

Ἐσχηματισμένος: ὁ προσποίητον τρόπον ἔχων καὶ δοκῶν εἶναι κόσμιος.

Ἐργολάβος: ὁ φλαύροις πράγμασι χρώμενος παρὰ τοῖς ῥήτορσι, καὶ οὐχ ὁ ὑπέρ τινων ἔργων μισθὸν λαμβάνων καὶ ἔχων τοὺς συνεργαζομένους, ὡς ἡ συνήθεια. 15

Ἐγγενής: ὁ ἀστὸς ἐξ ἀστῶν ἐγγενὴς καλεῖται.

Ἐγχώριος: ἐγχώριός ἐστιν ὁ ἐν τῇ χώρᾳ ὤν, τουτέστιν ὁ ἐπιδημῶν, εἴτε ξένος εἴη, εἴτε ἀστός.

Ἐπιχώριος: ὁ εὐγενὴς καὶ γένει πολίτης. 20

Ἔκλειψις τί ἐστι καὶ τί τὸ ἐξέλιπεν: ἐγκλήματος ὄνομα. ὅταν ἐγκαλῆταί τις, ἐγγεγραμμένος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, ὡς μὴ ὢν ἀστός, καὶ μὴ ἀπαντᾷ ἐν ταῖς διαψηφίσεσι τῶν δήμων πρὸς τὴν κρίσιν, ἀλλ' ἐκλείπῃ τὴν περὶ αὐτοῦ διάγνωσιν, ἔκλειψις καλεῖται. 25

Εὐσχήμων: ὁ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις παρὰ τοῖς ῥήτορσιν, οὐχ ὁ πλούσιος καὶ πολλὰ κεκτημένος.

Ἐκγαμηθῆναι: τὸ εἰς ἕτερον γένος ἐκδοθῆναι παρθένον καὶ οἱονεὶ τοῖς μὴ προσήκουσιν. 30

Ἐδωλιάσαι καὶ ἰκριῶσαι: ἑκατέρῳ αὐτῶν ἐχρήσαντο οἱ ῥήτορες. ἔστι δὲ τὸ μὲν ἐδωλιάσαι οἱονεὶ συν-

Ἐχόμενα: τὰ ἐφεξῆς ἐχόμενα καὶ συναρτώμενα διὰ τὴν ἐγγύτητα.

Ἐχῖνος: καδίσκος χαλκοῦς, εἰς ὃν αἵ τε μαρτυρίαι καὶ αἱ προκλήσεις ἔγγραφοι ἐνεβάλλοντο ὑπὸ τῶν δικαζομένων. καὶ κατεσημαίνετο ὁ ἐχῖνος, ἵνα μηδεὶς κακουργήσῃ μετὰ τὸ ἅπαξ ἐμβάλλεσθαι.

Ἐχιλιώθη: χίλια ἐζημιώθη.

Ἐψιμυθιῶσθαι: προστετρίφθαι τρίμματι λευκὸν τὸν χρῶτα ποιοῦντι, ὥσπερ τὸ φῦκος ξανθόν. ἐχρῶντο δὲ τῷ φύκει εἰς τὰ μῆλα, ἵνα ξανθίζῃ· τῷ δὲ ψιμυθίῳ εἰς ὅλον τὸ πρόσωπον, ἵνα λευκὸν ᾖ.

Ἑωλοκρασία: ἡ κατάχυσις τῶν ζωμῶν τῶν ἑώλων δείπνων ἐπὶ τοὺς κοιμωμένους τῶν συμπινόντων. λαμβάνεται δὲ καὶ ἐπὶ κατηγορίᾳ ἀρχαίων πραγμάτων.

Εἴπουθεν: ἀντὶ τοῦ ὡς ἔοικεν, δήπουθεν, συλλογιστικῶς.

Εἴσω: τὴν ἐν τόπῳ καὶ εἰς τόπον σχέσιν σημαίνει.

Εἰκάζειν: σκοπεῖν.

Ἐκτιλώσαντο: πράως καὶ χειροήθως μετεχειρίσαντο.

Ἐκκλώζεται: διὰ τῶν στομάτων ἐκφορεῖ.

Ἐμπήκτης: ὁ θεσμοθέτης.

Ἐμβραχύ: συντόμως, ἁπλῶς.

Ἐνονυχίζει: ἀποδέχεται.

Ἐπαμφοτερίσαι: τὸ τὰ σαφέστερα εἰς ἀμφίβολον περιστῆσαι.

Ἐπήγγελλεν: παρεκελεύετο, προσέταττεν. λέγεται δὲ καὶ παθητικῶς.

Ἐπιβατεύουσιν: ἀμφισβητοῦσιν.

Ἐρεσχηλεῖν: σκώπτειν.

Ἔφεδρον: βάναυσον καὶ ταπεινόν, οἷον ἐπιδίφριον.

Ἐχθὲς καὶ πρώην: ἐπ' ὀλίγου χρόνου.

Ἑωθιναὶ δίκαι: τὰ βραχέα πράγματα, ἐπεὶ ταῦτα ὄρθρου ἐξεδίκαζον.

Ἐπιδανεῖσαι τί ἐστιν: ὅταν δεδανεικότος τινὸς καὶ ἐνεχυριάσαντος οἰκίαν ἢ χωρίον, ἐπιδανείσῃ τις ἕτερος ἐπὶ τοῖς αὐτοῖς ἐνεχύροις, ἐπιδανεῖσαι λέγεται.

Εὐθυδικία: δίκης ὄνομα, ὅταν εἰσάγηταί τις κριθησόμενος περὶ ὧν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου. 5

Ἐναυλήματα: ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. ἔνιοι δὲ καὶ αὐτὰ καθ' αὑτὰ τὰ ἄλφιτα ἐναυλήματα προσαγορεύουσιν.

Ἐπακρία: ὄνομα χώρας πλησίον τετραπόλεως κειμένης. 10

Ἐσχηματισμένος: ὁ προσποίητον τρόπον ἔχων καὶ δοκῶν εἶναι κόσμιος.

Ἐργολάβος: ὁ φλαύροις πράγμασι χρώμενος παρὰ τοῖς ῥήτορσι, καὶ οὐχ ὁ ὑπέρ τινων ἔργων μισθὸν λαμβάνων καὶ ἔχων τοὺς συνεργαζομένους, ὡς ἡ συνήθεια. 15

Ἐγγενής: ὁ ἀστὸς ἐξ ἀστῶν ἐγγενὴς καλεῖται.

Ἐγχώριος: ἐγχώριός ἐστιν ὁ ἐν τῇ χώρᾳ ὤν, τουτέστιν ὁ ἐπιδημῶν, εἴτε ξένος εἴη, εἴτε ἀστός.

Ἐπιχώριος: ὁ εὐγενὴς καὶ γένει πολίτης. 20

Ἔκλειψις τί ἐστι καὶ τί τὸ ἐξέλιπεν: ἐγκλήματος ὄνομα. ὅταν ἐγκαλῆταί τις, ἐγγεγραμμένος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, ὡς μὴ ὢν ἀστός, καὶ μὴ ἀπαντᾷ ἐν ταῖς διαψηφίσεσι τῶν δήμων πρὸς τὴν κρίσιν, ἀλλ' ἐκλείπῃ τὴν περὶ αὐτοῦ διάγνωσιν, ἔκλειψις καλεῖται. 25

Εὐσχήμων: ὁ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις παρὰ τοῖς ῥήτορσιν, οὐχ ὁ πλούσιος καὶ πολλὰ κεκτημένος.

Ἐκγαμηθῆναι: τὸ εἰς ἕτερον γένος ἐκδοθῆναι παρθένον καὶ οἱονεὶ τοῖς μὴ προσήκουσιν. 30

Ἐδωλιάσαι καὶ ἰκριῶσαι: ἑκατέρῳ αὐτῶν ἐχρήσαντο οἱ ῥήτορες. ἔστι δὲ τὸ μὲν ἐδωλιάσαι οἱονεὶ συν-

θεῖναι ἔκ τινων ξύλων ἁπλῶς πρὸς τόπον τινὰ συντεθέντων· τὸ δ' ἰκριῶσαι τὰς ἐκ μακρῶν ξύλων συντιθεμένας στέγας ὑπὸ στέγαις ἑτέραις.

Ἔγκτήματα κτημάτων διαφέρει. κτήματα μέν ἐστιν, ἃ ἔχουσί τινες ἐν τῇ οἰκείᾳ γῇ, ἐγκτήματα δέ, εἰ ἐν ἀλλοτρίᾳ γῇ τινὶ ὑπάρχει.

Ἐπίγραμμα: οἱ πεζοὶ καὶ ἔμμετροι λόγοι ἐπιγράμματα καλοῦνται.

Ἐδαπανᾶτο: κεῖται παρὰ τοῖς ῥήτορσι καὶ ἐπὶ τοῦ ἀνηλίσκετο τὰ χρήματα καὶ ἐπὶ τοῦ ἀνήλισκεν αὐτός τις.

Ἐξαγωνίων: ἐξαγωνίους οἱ μὲν πολλοὶ τοὺς ἐν ταῖς σκηναῖς ἀγωνιζομένους οἴονται δεῖν, ὅταν ἢ παραλείπωσί τι τῶν ἐξ ἀνάγκης ῥήσεων, ἢ ποιήσωσί τι παρὰ τὸ προσῆκον. Αἰσχίνης δὲ κέχρηται τῇ λέξει ἐπὶ τῶν ἔξω τοῦ ἀγῶνος λεγομένων λόγων καὶ οὐ προσηκόντων εἰρῆσθαι.

Ἐπιτροπή: καὶ ἡ τῶν ὀρφανῶν ἐπιμέλεια παρὰ τοῖς ῥήτορσι, καὶ τὸ συγχωρῆσαί τινι τοὺς ἀμφισβητοῦντας διακρῖναι περὶ ὧν πρὸς ἀλλήλους ἔχουσιν.

Ἐπαγγείλασθαι τὸ κελεύειν ἢ καταγγέλλειν λέγεται.

Εὐδοκούμενος: ὁ συγκατατιθέμενος καὶ μὴ ἀντιλέγων.

Ἐπικληρωτόν: δικαστήριον ἐν ᾧ οἱ λαγχάνοντες δικάζουσι· τὸ γὰρ χωρὶς κλήρου πράττειν τι καὶ μὴ λαχόντα ἀκληρωτὶ λέγουσιν.

Ζ.

Ζεῦγος: οὐ μόνον τὸ ἐκ δυεῖν ἐπὶ τῶν βοῶν ἢ ἵππων ἐζευγμένον ζεῦγος καλεῖται, ἀλλὰ καὶ τὸ ἐκ πλειόνων.

Ζειρά: ζώνης εἶδος, ἢ ἔνδυμά τι, ὃ ἐπενεδύνοντο μετὰ τοὺς χιτῶνας ὥσπερ ἐφεστρίδα· ὅπερ καὶ μᾶλλον.

Ζευγήσιον, θητικόν: τέλος ζευγήσιον, ᾧ ἐγίνετο

μέτρα διακόσια. ὁ δὲ πένης καὶ ἄπορος θὴς ἐκαλεῖτο καὶ θητικὸν ἐτέλει.

Ζέας: λιμὴν Ἀθήνησιν οὕτω καλούμενος.

Ζητηταί: ἀρχή τις Ἀθήνησίν ἐστι, κατὰ καιροὺς καθισταμένη, πρὸς ἣν ἐμηνύοντο οἱ ὀφείλοντες τῇ πόλει χρήματα καὶ μὴ ἀποδιδόντες. 5

Ζυγομαχεῖν: διαφέρεσθαι, ἀπὸ μεταφορᾶς τῶν ζώων τῶν ἐζευγμένων καὶ πρὸς ζυγομαχούντων ἐν τῷ δρόμῳ.

Ζηλωτοῦ: καὶ ἐπὶ τοῦ ζηλοῦν καὶ ἐπὶ τοῦ μακαρίζειν ἔταξαν τὸ ζηλωτὸν οἱ ῥήτορες. καὶ ἐπὶ τοῦ μιμεῖσθαι κέχρηνται δὲ καὶ ἐπὶ τοῦ ἐπαινεῖν τῷ ζηλοῦν. 10

Ζήτρειον: τὸ τῶν δούλων κολαστήριον.

Ζωπύϊον: ὁ μυλών, ὅπου τὰς ζειὰς ἔκοπτον, ὡς ἀλφιτεῖον, ὅπου τὰ ἄλφιτα ἔκοπτον.

Ζευγίτης: ὁ διακόσια μέτρα ποιῶν. 15

Ζαθερές: τὸ μεσημβρινὸν καῦμα. ἢ τὸ λίαν θερμόν.

Ζακυνθίδες κολοκύνθαι: αἱ γογγυλίδες παρὰ Λυδοῖς.

Ζειροφόρος: ὁ Ἅιδης παρὰ Ἀντιμάχῳ.

Ζευγήσιον: ἀποδεδειγμένον τίμημα παρ' Ἀθηναίοις, ὡς πεντακοσιομέδιμνοι. 20

Ζοφομηνία: ὅταν κρύβηται ἡ σελήνη.

Ζωοφθόρον: ἡ σαλαμάνδρα.

Ζῶμα: θώραξ ἢ ζώνη πολεμική. ἢ ἔνδυμα μεσοπορφυροῦν-γυναικεῖον. ἢ ζώνιον γυναικεῖον. ἢ χιτὼν γυναικεῖος ἢ ἀνδρεῖος. 25

Ζώννυντο: ὡπλίζοντο.

Ζώνην: τὴν ὅπλισιν. τὴν περιγραφὴν τῶν λαγόνων. γαστέρα.

Ζωστὴρ Ἀπόλλων τιμᾶται παρ' Ἀθηναίοις. καὶ τόπος, ἔνθα Λητὼ ἐλύσατο τὴν ζώνην καὶ Ἀθηνᾶ ζωστῆρα. 30

Η

Ἤκιστα: ἐναντίον τῷ μάλιστα. σημαίνει δὲ καὶ τὸ οὐδαμῶς παρὰ τοῖς ῥήτορσι καὶ κωμικοῖς.

Ἠλίθιον: ἀναίσθητον ἢ μάταιον.

Ἤδη: ἐπὶ τῶν τριῶν χρόνων τάσσεται, ἐπὶ τοῦ ἐνεστῶτος καὶ παρεληλυθότος καὶ μέλλοντος.

Ἑταιρηκώς: πεπορνευκώς, ἠτακτηκώς.

Ἡγεμών: ἄρχων.

Ἡλιαία: μέγα δικαστήριον Ἀθήνησιν, ἐν ᾧ τὰ μέγιστα τῶν δημοσίων πραγμάτων ἐκρίνετο. ἦν δὲ χιλίων πεντακοσίων καὶ ἑνός. συνήεσαν δὲ οἱ μὲν χίλιοι πεντακόσιοι ἐκ τριῶν φυλῶν.

Ἡμεδαπή: ἡ οἰκεία χώρα καὶ πατρίς, ὥσπερ ἀλλοδαπὴ ἡ ξένη καὶ ἀλλοτρία.

Ἥρως ἰατρός: ὁ Ἀριστόμαχος, ὃς ἐτάφη ἐν Μαραθῶνι παρὰ τὸ Διονύσιον καὶ τιμᾶται ὑπὸ τῶν ἐγχωρίων.

Ἧτρον: τὸ ὑπογάστριον οὕτω καλεῖται. μέμνηται Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος.

Ἡγεμονία δικαστηρίων: ἄρχοντες ἦσαν εἰσαγωγεῖς δικῶν τινῶν εἰς τὰ δικαστήρια, προανακρίνοντες τὰς δίκας καὶ προσκαθεζόμενοι τοῖς δικαστηρίοις, καὶ εἶχον τὴν τῶν δικαστηρίων ἡγεμονίαν.

Ἠετιώνεια: μέρος τι τοῦ Πειραιῶς, ἀπό τινος Ἠετίωνος κατασκευάσαντος.

Ἠλινδημένον: ἀνεστραμμένον. ἢ καλινδεῖσθαι.

Ἡμίεκτον: τὸ δωδέκατον μέρος τοῦ μεδίμνου. ἔστι γάρ τι μέτρον ἑκτεύς, ὅ πέρ ἐστι τὸ ἕκτον μέρος τοῦ μεδίμνου ἔχοντος χοίνικας τεσσαράκοντα ὀκτώ, ὥστε εἶναι τὸν ἑκτέα ὀκτὼ χοινίκων.

Ἡμιμέδιμνον: μέρος ἐστὶν ἡμίσυ τοῦ μεδίμνου. τὸ

δὲ ἥμισυ ἔχει χοίνικας εἴκοσι τέσσαρας· ὁ γὰρ μέδιμνος ἦν χοινίκων τεσσαράκοντα ὀκτώ.

Ἡμίσχοινον: δεσμὰ καὶ σχοινία ἐστὶ πρὸς τοῖς ὁλκοῖς, οἷς ὁ σῖτος ἀνεκομίζετο, ἐπιτήδεια, ὧν ἥμισύ ἐστι τὸ ἡμίσχοινον. 5

Ἡμίδραχμον: τὸ ἥμισυ τῆς δραχμῆς.

Ἡμικοτύλιον: τὸ ἥμισυ τῆς κοτύλης.

Ἤπειρον καὶ ἠπειρώτας: ἤπειρος ἡ Ἀσία, καὶ ἠπειρῶται οἱ βάρβαροι.

Ἠρινῶν: τῶν θυννίδων τῶν τῷ ἔαρι τεταριχευμένων. 10

Ἥρως ἰατρός: ἰατρὸς ὄνομα Ὀρεσίνιος ἐν Ἐλευσῖνι τιμὰς ἔχει.

Ἤρετο: κεῖται καὶ ἐπὶ τοῦ ἐρωτᾷν καὶ ἐπὶ τοῦ ἐπαίρεσθαι τῷ φρονήματι.

Ἠπίστησαν: ἀντὶ τοῦ ἠπείθησαν. 15

Θ.

Θρυλεῖν: ἐνοχλεῖν, θορυβεῖν.

Θαλλόν: θαλλὸν λέγουσι τὸν στέφανον τὸν ἀπὸ τῆς ἐλαίας. 20

Θάμνον: τὸν σύνδενδρον τόπον.

Θαργήλια: ἑορτὴ Ἀθήνησιν, ὀνομασθεῖσα ἀπὸ τῶν θαργηλίων. θαργήλια δ' ἐστὶ πάντες οἱ ἀπὸ γῆς καρποί. 25

Θᾶκοι: καθέδραι.

Θαργηλιών: μὴν Ἀθήνησιν ἑνδέκατος. ὠνομάσθη δέ, ἐπεὶ ὁ ἥλιός ἐστι πυρώδης, τὸ δὲ θερμὸν θαργήλον ὠνόμαζον, ἐν τούτῳ δὲ τῷ μηνὶ καὶ τὰ τῆς γῆς ἄνθη ἀνεξηραίνετο. 30

Θεαιδέστατον: θεοῦ ἰδέαν ἔχων.

Θέσιν: τὴν ὑποθήκην, ὅταν δανείσηταί τις ἀργύριον

ἐπὶ οἰκίᾳ ἢ χωρίῳ ἢ ἀνδραπόδῳ, οἱ ῥήτορες θέσιν καλοῦσιν.

Θέτην: τὸν εἰςποιησάμενον παῖδας θετούς· τοὺς γὰρ εἰςποιήτους καὶ θετοὺς ἔλεγον. ἢ θέτης ὁ εἰς ὑποθήκην λαβὼν ὁτιοῦν. 5

Θεοίνιον: ἱερὸν Διονύσου.

Θεωρικὴ ἀρχή καὶ θεωρικόν: οἱ ἄρχοντες τῶν θεωρικῶν χρημάτων. θεωρικὰ δ' εἰσὶ χρήματα τὰ κοινά.

Θέμενος: καὶ ὁ ἐνέχυρον θείς, καὶ ὁ λαβών τι σκεῦος εἰς ὑποθήκην. 10

Θεσμός: τὸ ὅλον σύνταγμα τῆς πολιτείας. διαφέρει δὲ θεσμὸς νόμου· ὁ γὰρ θεσμός ἐστι τοῦ Δράκοντος, ὁ δὲ νόμος τοῦ Σόλωνος.

Θεσμοθέται: ἀρχή ἐστιν Ἀθήνησιν ἀνδρῶν ἑξ. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν ἐποιοῦντο, θεσμὸν δὲ ἐκάλουν τὸν νόμον. 15

Θημωνία: θημωνία ἐστὶ σωρὸς καρπῶν.

Θητεία: δουλεία. θῆτες γάρ εἰσιν οἱ πένητες οἱ ἐπὶ συντάξεσί τισι καὶ ἐπὶ μισθῷ δουλεύοντες. 20

Θησεῖον: τὸ τοῦ Θησέως ἡρῷον. ἔστι δὲ ἄσυλον τοῖς οἰκέταις.

Θιασώτης: ὁ κοινωνὸς τῶν θυσιῶν. ἐκαλοῦντο δὲ καὶ οὗτοι ὀργεῶνες. ἐκλήθησαν δὲ ἀπὸ τοῦ θιάσου, ὅ πέρ ἐστι σύνοδος καὶ συναγωγή, ἀπὸ τοῦ θέειν. 25

Θόλος: τόπος τις ἐν τοῖς ἀρχείοις, κληθεὶς διὰ τὸν τρόπον τῆς κατασκευῆς. ἦν γὰρ θολοειδής, καὶ ὀροφὴν εἶχε περιφερῆ οἰκοδομητήν, οὐχὶ ξυλίνην, ὡς τὰ ἄλλα οἰκοδομήματα. λέγεται δὲ θηλυκῶς ἡ θόλος.

Θριπηδεστόν: τὸ βεβρωμένον καὶ διεφθαρμένον. θρῖψ γὰρ ζῶόν ἐστι κατεσθίον ξύλα καὶ κέρατα. 30

Θρυλούμενόν ποτε ἀπόῤῥητον: περὶ Ἀμφιπόλεως ἦν τὸ θρυλούμενον ἀπόῤῥητον.

Θυρών: πυλών. ἀφ' οὗ καὶ θυρωρὸς λέγεται ὁ τοῦτον φυλάσσων.

Θυννίδες: οἱ νῦν θύννοι, ἢ ἄλλοι τινὲς ἐχθύες.

Θυσεῖον: πόλις Αἰτωλίας.

Θυλάκιον: δερμάτινον σακκίον ἢ βαλάντιον. 5

Θύσιον: τόπος ὅπου ἔθυον τῷ θεῷ.

Θυραυλεῖν: παρὰ ταῖς θύραις τινὸς αὐλίζεσθαι καὶ προσεδρεύειν καὶ περιμένειν.

Θέρος: οἱ συγκομιζόμενοι καρποὶ τῶν σπερμάτων παρὰ τοῖς ῥήτορσιν. 10

Θριάσιον πεδίον: τόπου ὄνομα. ἐκλήθη δὲ ἀπὸ τῶν βληθεισῶν εἰς αὐτὸ θριῶν ὑπ' Ἀθηνᾶς. θρίαι δέ εἰσιν αἱ μαντικαὶ ψῆφοι. νύμφαι δέ τινες, Θρίαι ὀνομαζόμεναι, ἐξεῦρον τὴν τοιαύτην μαντείαν. ἦσαν δὲ Ἀπόλλωνος τιθηνοί. ὅθεν καὶ τὸ μαντεύεσθαι θριᾶσθαι. 15

Θωπεία: ἡ περισσὴ πρός τινας κολακεία.

I.

20

Ἴυγξ: σύριγξ μονοκάλαμος. καὶ ὄρνεον. ᾠδὴ καὶ πειθώ.

Ἱεροποιοί: κληρωτοὶ ἄρχοντες. εἰσὶ δὲ δέκα τὸν ἀριθμόν, οἳ τά τε μαντεύματα ἱεροθυτοῦσι, κἂν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι, καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσι, πλὴν Παναθηναίων. 25

Ἰσθμός: ὁ αὐχὴν καὶ τράχηλος, καὶ τὸ στενὸν χωρίον, καὶ ὁ κατὰ Κόρινθον τόπος. ἔστι δὲ καὶ γῆ στενὴ μεταξὺ δύο θαλασσῶν.

Ἰδιώτης ὁ πολίτης λέγεται καὶ ὁ ἄπειρος καὶ ὁ ἴδιος. 30

Ἰαμβοφάγος: λοίδορος, ἐπειδὴ ἴαμβος ἔμμετρός ἐστι λοιδορία. ὁ φαγὼν οὖν τοὺς ἰάμβους, τουτέστιν ὁ ἔχων ἐν τῷ στόματι διὰ τὴν φιλολοιδορίαν.

Ἱερομνήμονες: οἱ συνθύοντες εἰς τὸ συνέδριον τῶν Ἀμφικτυόνων ἐξ ἑκάστης πόλεως. ὠνομάσθησαν δὲ οὕτω παρὰ τὸ μνημονεύειν τῶν ἱερῶν. ἱερὰ δέ ἐστι τὰ Ἀμφικτυονικὰ δόγματα, καὶ ἱερὸν τὸ συνέδριον τὸ τῶν Ἀμφικτυόνων. 5

Ἱερὰν ὁδόν: ὁδός τις, ἣν ἀπίασιν οἱ μύσται ἅλαδε.

Ἱερώσυνα: τὰ εἰωθότα δίδοσθαι ἐξαίρετα τοῖς ἱερεῦσιν ὑπὲρ τῆς ἱερωσύνης.

Ἱερείας ἐνύπνιον: ἐνύπνιόν τινος ἱερείας. ἔστι δὲ τοιοῦτο. ἔδοξεν αὐτὴν ὁρᾶν ἀγομένην ὑπό τινος εἰς 10 τὸν οὐρανόν, καὶ περιάγεσθαι ὑπὸ τοῦ ἀνενεγκόντος εἰς τὰς οἰκήσεις τῶν θεῶν, καὶ ἀπελθεῖν εἰς τὰ τοῦ Διὸς οἰκήματα, καὶ θεάσασθαι ἄνδρα τινὰ πυῤῥόν, δεδεμένον ἁλύσει σιδηρᾷ ὑπὸ τὸν βασίλειον θρόνον, καὶ πυνθάνεσθαι τοῦ ἀνενεγκόντος, τίς οὗτος εἴη ὁ 15 δεδεμένος: τὸν δὲ εἰπεῖν ὅτι οὗτος ἀλάστωρ ἐστὶ Σικελίας. μετὰ χρόνον δὲ ἰδοῦσα τυραννοῦντα τὸν Διονύσιον, πολλοῖς διηγήσατο τὸν ὄνειρον, καὶ εἶπεν ὅτι οὗτός ἐστιν, ὃν ἐθεασάμην δεδεμένον ὑπὸ τὸν θρόνον τοῦ Διός. 20

Ἰκριώσαντες: ξύλα καταπήξαντες, ἅ πέρ ἐστιν ἴκρια.

Ἱμᾶν καὶ καθιμῆσαι καὶ ἀνιμῆσαι: ἱμᾶν ἀντὶ τοῦ ἀνασπᾶν, ἐπεὶ τὸ παλαιὸν ἱμᾶντας ἐκδησάμενοι ἢ ἀνίμων ἢ καθίμων ἃ ἤθελον.

Ἵνα: ὅπου. 25

Ἵππαρχος: ὁ τοῦ ἱππικοῦ ἄρχων. ἦσαν δὲ ἵππαρχοι δύο, ἡγούμενοι τῶν ἱππικῶν ταγμάτων.

Ἱπποδάμεια ἀγορά: τόπος ἐν τῷ Πειραιεῖ, ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος, ποιήσαντος Ἀθηναίοις τὸν Πειραιᾶ καὶ κατατεμόντος τῆς πόλεως τὰς 30 ὁδούς.

Ἵπνος: ἡ κάμινος.

Ἰσοτελεῖς: μέτοικοι τὰ μὲν ξενικὰ τέλη μὴ τελοῦντες, τὰ δὲ κα τοῖς ἀστοῖς τελοῦντες.

Ἰσοδαίτης θεός: ὁ ἥλιος ὁ τὸν ἴσον ἑκάστῳ θάνατον διανέμων.

Ἰστός καὶ κεραία: ἱστὸς μὲν τὸ ἐπίμηκες ξύλον, κεραία δὲ τὸ ἀπὸ γῆς ἄνω τεταμένον, ὡς γίνεσθαι σχῆμα τοῦ Τ γράμματος. 5

Ἱστιατόρια: τὰ χωρία ὅπου ἱστιῶνται, καὶ νῦν καλούμενα ἀγνευτήρια, ὅπου κατάγονται.

Ἰταμόν: τὸ ἀναιδές, παρὰ τὸ ἵεσθαι, ὅ πέρ ἐστιν ὁρμᾶν. τοιοῦτοι δὲ οἱ ἀναιδεῖς. 10

Ἴυγαί: γυναικῶν οἰμωγαὶ καὶ θρῆνοι καὶ ὀλοφύρσεις.

Ἱππάς: γένος Ἀθήνησιν, οἱ ποιοῦντες τριακόσια μέτρα, οἱ ἀνὰ λόγον τῆς οὐσίας εἶχον τὸ τέλος.

Ἱκετεία καὶ ἱκετηρία: ἱκετεία μέν ἐστιν ἡ διὰ τῶν λόγων, ὅταν δέηται συγγνώμης τυχεῖν ἢ ἐλέου· ἱκετηρία δέ ἐστιν, ἣν οἱ δεόμενοι κατατίθενταί που ἐγγράφως ἢ μετὰ χεῖρας ἔχουσιν. 15

Ἴσα βαίνων Πυθοκλεῖ: ἀντὶ τοῦ μετὰ Πυθοκλέους ἀναστρεφόμενος. 20

Ἱεραὶ τριήρεις: πάραλος, Σαλαμινία, Ἀντιγονίς, Δημητριάς. αὗται ἐπὶ στρατηγοὺς ἐπέμποντο καὶ τοιαύτας τινὰς χρείας.

Κ. 25

Κορδακισμός: εἶδος ὀρχήσεως κωμικῆς, ὥσπερ Σίκινννα σατυρικόν.

Κομιδῇ: πάμπαν, τελείως. συναγωγή, ἐπιμέλεια. καὶ κομίστρια ἡ τροφός. 30

Κληρούχους: οὓς ἔπεμπον Ἀθηναῖοι ἐπὶ τὰς πόλεις, ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανέμοντες. ἐκαλεῖτο δὲ καὶ κληρουχία ἡ διανομὴ τῆς χώρας.

Κακοδαίμων: ὁ θεῷ ἐπαχθὴς καὶ τὴν ψυχὴν ἔχων ἐμπαθῆ.

Κεφάλαιον: ἡ κεφαλὴ καὶ συναρίθμησις.

Κόλαξ: παράσιτος.

Κατά: ἔξ, ἐπί, διά.

Κνισᾶν ἁγυιάς: κνίσαν πέμπειν καὶ λιπαρίαν ἀπὸ τῶν θυσιῶν εἰς τὰς ἁγυιάς, τουτέστιν εἰς τὰς ὁδούς. ἐτιμᾶτο δὲ καὶ Ἀπόλλων ἁγυιεύς, ᾧ ἔθυον, πρὸ τῶν θυρῶν βωμίσκους καὶ στύλους εἰς ὀξὺ ἀνατείνοντας στρογγυλώδεις ἀνιστῶντες.

Κλητῆρες: οἱ εἰς δίκην καλοῦντες. καὶ κλητεύοντες μαρτυροῦντες τοῖς καλοῦσιν αὐτοὺς εἰς δίκας. καὶ τὸ μαρτυρήσεις κλητεύσεις. κλητῆρες δὲ ἦσαν ἄνδρες, δι᾽ ὧν τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοι. ἔδει γὰρ παρεῖναί τινας ὥσπερ μάρτυρας τῆς προσκλήσεως, ἵνα μὴ ἀπρόσκλητοι αἱ δίκαι εἰς τὰ δικαστήρια εἰσάγωνται, μηδὲ ἐκλείπῃ τὴν δίκην ὁ κατηγορούμενος.

Κάδοι: ὑπὸ Σολίων κάδοι, ὑπὸ Ἰώνων κεράμια.

Καθέδραι: ὑποδοχαὶ ἀνθρώπων. τῇ τριακοστῇ γὰρ ἡμέρᾳ τοῦ ἀποθανόντος οἱ προσήκοντες ἅπαντες καὶ ἀναγκαῖοι συνελθόντες κοινῇ ἐδείπνουν ἐπὶ τῷ ἀποθανόντι. καὶ τοῦτο καθέδρα ἐκαλεῖτο. ἦσαν δὲ καθέδραι τέσσαρες.

Κακοτεχνιῶν: δίκης ὄνομά ἐστιν, ἣν εἰσῄεσαν οἱ ἔχοντες μαρτυρίαν ψευδομαρτυριῶν κατὰ τῶν παρεχομένων τοὺς ψευδεῖς μάρτυρας.

Καταχειροτονία: τὸ τὸν δῆμον ἐπινεῦσαι. προβολὴ γὰρ ἐν τῷ δήμῳ ἐγίνετο κατὰ τῶν ἀρχόντων καὶ στρατηγῶν καὶ συκοφαντῶν καὶ τῶν περὶ τὰ μυστήρια καὶ Διονύσια ἀδικούντων. καὶ εἰ μὲν καταχειροτονήσειέ τινος ὁ δῆμος, οὗτος εἰσῄγετο εἰς τὸ δικαστήριον· εἰ δὲ μὴ καταχειροτονήσειεν, οὐκ εἰσῄγετο. τοῦτο ἐκαλεῖτο καταχειροτονία.

Κακώσεως, καὶ κατὰ τίνος ἐδίδοτο: δίκης ὄνομά ἐστι κατὰ τῶν ἀνδρῶν ταῖς ἐπικλήροις γυναιξὶ διδομένη, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν ἐπεξιοῦσι, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι. καὶ ἡ τοιαύτη δίκη οὕτως ἀπεφέρετο γονέων κακώσεως, ὀρφανῶν κακώσεως ἢ οἰκοῦ ὀρφανικοῦ κακώσεως.

Καλαμίτην: ἡρωά τινά φασιν εἶναι τιμώμενον Ἀθήνησιν.

Καταχύσματα: ἰσχάδες καὶ φοίνικες καὶ κάρυα καὶ ἄλλα τοιαῦτα ἐδώδιμα κατέχεον αἱ κυρίαι τῶν οἰκων κατά τι ἔθος ἐπὶ τὰς κεφαλὰς τῶν ἄρτι ἐωνημένων δούλων, παραδηλοῦσαι ὅτι ἐπὶ γλυκέα καὶ ἡδέα πράγματα εἰςεληλύθασιν.

Κάτωθεν νόμος: κάτωθεν νόμος ἐστὶν ὁ ἑξῆς καὶ μετὰ τοῦτον κάτωθεν ἄξονος γεγραμμένος.

Καθαρσίων: χοῖρος βραχὺς ἦν τὸ καθάρσιον, ᾧ ἐκάθαιρον τὴν ἐκκλησίαν οἱ λεγόμενοι περιστίαρχοι.

Καταλεύσιμον: τὸν ἄξιον τοῦ καταλευσθῆναι.

Καυσία: εἶδος πίλου ἐπὶ τῆς κεφαλῆς, ὡς καὶ τιάρα.

Κατάγειν τὰ πλοῖα: λῃστεύειν, ἐπεὶ οἱ λῃσταὶ ἐκδησάμενοι τὰ τῶν πολεμίων πλοῖα κατάγουσιν εἰς τοὺς οἰκείους λιμένας καὶ λῃστεύουσιν.

Κακῶν Ἰλιάς: παροιμία. γέγονε δὲ ἀπὸ τῶν Ἰλιακῶν κακῶν.

Καλαμίδας: τὰς νῦν λεγομένας ὠλένας, ἐπεὶ ἀπὸ καλάμων γίνονται. ἢ τοὺς θηλυκοὺς καλάμους τοὺς πρὸς σύνδεσμον τῶν πλινθίνων καταστρωμάτων τῆς οἰκοδομίας.

Κατανίπτης: ἤτοι ἐπώνυμόν τινος, ἢ ἱερωσύνη Ἀθήνησιν, ὁ τὰ κατὰ τοῦ πέπλου τῆς Ἀθηνᾶς ῥυπαινόμενα ἀποπλύνων.

Κακουχίαν σώματος: τὴν κάκωσιν τοῦ σώματος.

Κάλλιον: δικαστήριον Ἀθήνησιν οὕτω καλούμενον

ἀπὸ τοῦ καλλύνειν καὶ κοσμεῖν καὶ λαμπρύνειν. Ἄγραυλος γὰρ ἱέρεια πρώτη γενομένη, τοὺς θεοὺς ἐκόσμησε. πλυντήρια δὲ καλεῖται διὰ τὸ μετὰ τὸν θάνατον τῆς Ἀγραύλου ἑνὸς ἐνιαυτοῦ μὴ πλυθῆναι τὰς ἱερὰς ἐσθῆτας. 5

Κάλλιον: λυπρὸς ναός, ἐξ αὐτοσχεδίου γενόμενος.

Καττύεσθαι: ὑποδεῖσθαι ἐκ τῶν καττυμάτων.

Κάθετον: βοῦν τινὰ καθιέμενον εἰς τὴν θάλατταν τῷ Ποσειδῶνι θυσίαν.

Κατερῥωγότα: κατερῥηγμένον. 10

Κάμινος: τὸ κατασκεύασμα, ὅπου ὀπτᾶται ὁ κέραμος καὶ λίθος. καλεῖται δὲ καὶ ἴπνος.

Καταῤῥους: τὸ ῥεῦμα τὸ ἀπὸ τῆς κεφαλῆς καταφερόμενον διὰ τῶν μυκτήρων, ὃ νῦν καλοῦσιν οἱ ἰατροὶ κατασταγμόν. ἢ κατάῤῥου ντὴν διάῤῥοιαν. ἢ τὸ νῦν καλούμενον δυσεντέριον. 15

Καταλογεύς: ὁ συγγραφεύς, ὁ συγγραφόμενος κατ᾽ ὄνομα, τίνα χρὴ τῆς πολιτείας μετέχειν.

Καδμεία: ἡ ἀκρόπολις τῶν Θηβαίων, ἀπὸ Κάδμου τοῦ ποιήσαντος αὐτήν. 20

Κατατομή: ἡ ὀρχήστρα ἡ νῦν στίγμα λεγομένη. ἢ μέρος τι τοῦ θεάτρου κατετμήθη, ἐπεὶ ἐν ὄρει κατεσκεύασται. ἢ κατὰ συμβεβηκὸς ὁ τόπος οὕτω καλεῖται. ἢ τὸ νῦν λεγόμενον διάζωμα.

Καλινδεῖσθαι: ἀναστρέφεσθαι πυκνῶς καὶ ἀδιαλείπτως. 25

Κατηλόησαν: ἀπέκτειναν, οὐχ ἁπλῶς, ἀλλὰ ξύλοις παίοντες. ἀφ᾽ οὗ καὶ πατραλοίας ὁ τοὺς πατέρας τύπτων.

Κατάστασις: ἡ ὑπὸ τῆς βουλῆς τῶν ἱππέων δοκιμασία κατάστασις ἐλέγετο. 30

Κανηφόροι: παρθένοι τὰ κανᾶ φέρουσαι τῇ θεῷ ἐν

τῇ τῶν Παναθηναίων πομπῇ καὶ ταῖς ἄλλαις ἑορταῖς. ἐκανηφόρουν δὲ αἱ ἀσταὶ καὶ εὐγενεῖς.

Καχλάζειν: ἠχεῖν τὸ πλῆθος. ὀνοματοπεποίηται δὲ ἡ λέξις ἀπό τε τοῦ ἤχου καὶ τοῦ πλήθους. ἀφ᾽ οὗ καὶ καχλάζειν λέγομεν τὴν θάλασσαν, ὅταν πολλοῖς κύμασιν ἐξηχῇ. ἢ καχλάζειν τὸ σφοδρῶς καταγελᾶν.

Κανθούρου λιμήν: λιμήν ἐστιν Ἀθήνησιν οὕτω καλούμενος κανθούρου λιμήν.

Καταλλάττειν: κερματίσαι.

Κεκερτόμηται: πέπαικται καὶ κεχλεύασται.

Κέρκος: σκεῦός τί ἐστιν ἡ κέρκος, ὥσπερ καὶ τρίπους ἡ θύρα χαλκῆ.

Κέρκωψ: ὁ ἐπὶ νορία κωμῳδούμενος.

Κέραμος: ἁπλῶς πάντα τὰ κεράμια, ἀφ᾽ οὗ καὶ κεραμεύς. κεράμια δὲ αἱ ὀπταὶ πλίνθοι.

Κεκοινωμένοι: κοινὴν ἔχοντες τὴν οὐσίαν.

Κελέοντες: κυρίως μὲν οἱ ἱστόποδες, καταχρηστικῶς δὲ καὶ τὰ καταπεπηγότα ξύλα, ἃ δὴ καὶ σταυροὺς καλοῦσιν.

Κεστρίνους: τὰ τόμια καὶ τὰ τεμάχη τῶν ἰχθύων.

Κερκώπη: ὄνομα ἑταίρας, καλουμένης οὕτω διὰ κακοήθειαν. κέρκωπες γάρ εἰσιν οἱ κακοῦργοι ἄνθρωποι.

Κεγχρεών: τόπος Ἀθήνησιν οὕτω καλούμενος, ὅπου ἐκαθαίρετο ἡ ἀργυρῖτις κέγχρος καὶ ἄμμος ἡ ἀπὸ τῶν ἀργυρείων ἀναφερομένη.

Κηκίς: βίμμα τι καὶ στύμμα τι. ἢ καρπὸς δρυὸς ἐπιτήδειος εἰς βαφὴν κλικῶν.

Κηπούρευμα: τὸ ὕδωρ τὸ τοῦ κήπου, εἰς ἄρδευσιν πεποιημένον.

Κιχλισμός: πορνικὸς γέλως πολὺς καὶ ἄκοσμος, ὅταν διὰ τοῦ χ γράφηται. ὅταν δὲ διὰ τοῦ κ, κικλισμός, ἠχόν τινα ἀποτελῶν.

Κιγκλίδες: δρύφακτοι, οἱ νῦν καλούμενοι κάγκελοι.

Κιττοφόρος: ὁ τὸν κίττον φορῶν. ἵν' ᾖ ὁ φέρων τὴν κίστην.

Κίναδος: θηρίον τι, οὗ τὸ δέρμα εἰς περικεφαλαίας κατασκευὴν ἐπεποίητο. Σικελιῶται δὲ τὴν ἀλώπεκα κονδέαν καλοῦσιν. 5

Κλητεῦσαι: σημαίνει μὲν κοινῶς καὶ τὸ κλήτορα γενέσθαι δίκης, ἰδίως δὲ ἐπὶ μαρτύρων λέγεται κλητεῦσαι καὶ μετὰ τῆς προθέσεως ἐκκλητεῦσαι. ὅταν γὰρ μὴ ὑπακούσωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις, ἐφ' ἣν καλοῦνται, τότε ἐκκλητεύονται. καὶ ἔστιν 10 ἐπιτίμιον κατὰ τῶν ἁλόντων δραχμαὶ χίλιαι.

Κλινοπετής: ὁ κλινήρης.

Κλισιάς: πᾶς μέγας θυρών, παρὰ τὰς κλισιάδας, αἵ πέρ εἰσι μεγάλαι θύραι.

Κλιμακίζει: παράγει, διαστρέφει, ἀπὸ τῆς κλίμακος 15 εἰρημένου τοῦ ὀνόματος, ἥτις οὖσα ὄργανον βασανιστικὸν διαστρέφει τὰ σώματα τῶν βασανιζομένων.

Κλιμακίδες: αἱ τῶν πλοίων ἀποβάθραι.

Κλιτῆρες: εἶδος φορείου. ἢ κλινίδιον ἔχον ἀνακλίσεις, οἷον νῦν τὸ κλινοκαθέδριον. 20

Κοβαλεία: ἡ προσποίητος καὶ μετ' ἀπάτης κατὰ μίμησιν παιδιά. καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. καὶ ἡ παρὰ πονηροῦ ἀνθρώπου κολακεία.

Κόμματα καὶ κυρήβια: τὰ μὲν κυρήβιά ἐστι τὰ πίτυρα, τὰ δὲ κόμματα μέρη τινὰ ἀποκειρόμενα τῆς 25 καλάμης τῶν ἀθέρων, ἢ τῶν περὶ τὸν σῖτον.

Κοινὸν γραμματεῖον: εἰς ὃ ἐγράφοντο οἱ εἰς τοὺς δημότας ἐγγραφόμενοι. ἔστι δὲ καὶ ληξιαρχικὸν γραμματεῖον τῶν καιρὸν πολιτείας ἤδη σχόντων.

Κέρκουρος: εἶδος πλοίου βραχέος. 30

Κόρη: ἡ παρθένος. καὶ τὸ μικρὸν ἀγαλμάτιον τὸ γύψινον καὶ πήλινον, ἀφ' οὗ καὶ κορόπλαθος ὁ ταῦτα ποιῶν καλεῖται.

Κου-

Κουρεῖον: κοινῶς μὲν τὸ τῶν κουρέων ἐργαστήριον, ἰδίως δὲ καὶ τὸ διδόμενον ὑπὸ τῶν πατέρων τοῖς φράτορσιν, ὅταν εἰσφέρωσι τοὺς παῖδας εἰς φρατρίας. τὸ οὖν θυόμενον τότε ἱερεῖον κουρεῖον ἐκαλεῖτο.

Κοῖτις: πλεγμάτιον, κίστη ἢ αὐτοκίστη βραχεῖα. 5

Κομμώ: ἡ κοσμοῦσα τὸ ἕδος τῆς Ἀθηνᾶς ἱέρεια.

Κοιρωνίδαι: γένος Ἀθήνησιν, ἀπὸ Κοίρωνος, ὃς ἦν ἀδελφὸς Κρόκωνος. καὶ Κροκωνίδαι γένος ἱερὸν Ἀθήνησιν. ἀμφότεροι δὲ ἦσαν παῖδες Τριπτολέμου.

Κοπρολόγοι: οἱ τὴν ἀνθρωπίνην κόπρον ἀναλέγοντες. 10 καὶ κοπρῶνας τὰ τοιαῦτα χωρία, οὐ λυτρῶνας.

Κομψόν: τὸ πανοῦργον καὶ τετεχνιτευμένον.

Κοῖλον γραμματεῖον: τὸ πινακίδιον, οὗ τὸ πτύχιον κεκοίλωται πρὸς χρυσῶν στατήρων ἀπόθεσιν. καλεῖται δὲ καὶ Καρικόν, ἐπεὶ Κᾶρες αὐτὸ πρῶτοι ἐπε- 15 νόησαν.

Κρηπιδουργός: ὁ τὰς κρηπῖδας ἐργαζόμενος σκυτοτόμος. κρηπὶς δὲ εἶδος ὑποδήματος ἀνδρικοῦ, ὑψηλὰ ἔχοντος τὰ καττύματα.

Κρόνιον τέμενος: τὸ παρὰ τὸ νῦν Ὀλύμπιον μέχρι 20 τοῦ μητρῴου τοῦ ἐν ἀγορᾷ.

Κρεμαστὰ σκεύη νεώς: τὰ μὴ ἐπὶ τοῦ ἐδάφους τῆς νεώς, ἀλλ' ὅσα κρεμαστὰ καὶ μετέωρά ἐστιν, οἷον τὰ τοῦ κέρως καὶ τὰ τῶν ἱστίων καὶ ὅσα ἄλλα τοιαῦτα.

Κροκοῦν: οἱ μύσται κρόκῃ καταδοῦνται τὴν δεξιὰν 25 χεῖρα καὶ τὸν ἀριστερὸν πόδα, καὶ τοῦτο λέγεται κροκοῦν.

Κράστις: ὁ χόρτος ὁ ἡμίξηρος. ὅθεν καὶ τὰ ζῶα κραστίζεσθαί φασιν, οἷον ἐμφορεῖσθαι τοιούτου χόρτου. 30

Κραιπάλη: ἡ τῆς μέθης διάθεσις, ἀπὸ τοῦ κάρα πάλλειν, τουτέστι τὴν κεφαλὴν διασείειν.

Κρυπτή: ἀρχή τις ὑπὸ τῶν Ἀθηναίων πεμπομένη εἰς

τοὺς ὑπηκόους, ἵνα κρύφα ἐπιτελέσωσι τὰ ἔξω γινόμενα. διὰ τοῦτο γὰρ καὶ κρυπτοὶ ἐκλήθησαν.

Κρατηρίζων: ἤτοι τὸν οἶνον ἐν κρατῆρι κιρνῶν, ἢ ἀπὸ κρατήρων σπένδων.

Κτηματίτην: τὸν κτήματα πολλὰ ἔχοντα. 5

Κυρίαν: τὴν προθεσμίαν.

Κυάμῳ λαχεῖν: νόμος ἦν Ἀθήνησιν ἄρχοντάς τινας κυάμῳ κληροῦν.

Κυνᾶς: τὰς περικεφαλαίας, ἤτοι τὰς ἀπὸ κυνέων δερμάτων γινομένας, ἢ ἀπὸ Κυνός τινος κατασκευάσαντος πρώτου. 10

Κύκνους: εἶδος πλοίου, κληθὲν οὕτως, ἐπεὶ κύκνοι ἦσαν κατὰ τῆς πρώρας ἐκτετυπωμένοι ἐπισήμου ἕνεκα.

Κυαμίτης: ἥρως Ἀθήνησι, καλούμενος ἤτοι κυρίως ἢ ἐξ ἐπωνυμίας. 15

Κυννίδαι: γένος ἱερὸν Ἀθήνησιν, ἀπὸ Κύννου ἢ Κυννίδου ἥρωος.

Κύδαρον: εἶδος πλοίου.

Κυρία ἐκκλησία: ἐν ᾗ τοὺς ἄρχοντας ἐχειροτόνουν, οἷον στρατηγούς, ἱππάρχους καὶ ὅσους τοιούτους. 20

Κυνόσαργες: γυμνάσιόν τι Ἀθήνησι καλούμενον, εἰς ὃ ἐνεγράφοντο καὶ οἱ νόθοι ἐκ τοῦ ἑτέρου μέρους ἄστοι.

Κύρβεις: κατασκευάσματα ξύλινα, ἐν οἷς ἐγγεγραμμένοι τὸ παλαιὸν ἦσαν οἱ νόμοι. εἰσὶ δὲ τρίγωνοι τὸ σχῆμα. διαφέρουσι δὲ τῶν ἀξόνων, ὅτι ἐκεῖνοι μὲν τετράγωνοί εἰσιν, οὗτοι δὲ τρίγωνοι, πυραμίδι ὅμοιοι. 25

Κυμβεῖον: εἶδος ποτηρίου παραπλησίου τῷ σχήματι πλοίῳ, ὃ καλεῖται κύμβη.

Κῶμαι: τὰ μέρη τῆς πόλεως ἢ τὰς ἀκροπόλεις. 30

Κώδη: ὁ καρπὸς τῆς μήκωνος.

Κωπέας: τὰ ξύλα τὰ ἐπιτήδεια εἰς κώπας νεῶν. ἢ τοὺς κωπηλάτας.

Κέρκυρα: ἡ παρ' Ὁμήρῳ Σχερία.

Κερσοβλέπτης: ὄνομα κύριον. οὗτος ἐπολέμησε περὶ Χερρονήσου Ἀθηναίοις.

Καυχᾷ: αὐχεῖν ἐπὶ χρηστοῖς πράγμασι. Λυκοῦργος δὲ ἐπὶ φαύλοις κέχρηται, ὡς τοὺς ἀκούοντας αἰσχύνεσθαι. 5

Καλλίας: ὁ πίθηκος κατ' εὐφημισμόν.

Κροπλάθος: ὁ κατασκευάζων εἴδωλα βραχέα ἐκ πηλοῦ πάντων ζώων, οἷς ἐξαπατᾶσθαι τὰ παιδάρια εἴωθεν.

Καρδιωσάμενοι: τὴν τοῦ θύματος καρδίαν τῇ πιμελῇ καλύψαντες καὶ ἐπιθέντες τῷ πυρί. 10

Καταλαβεῖν: σημαίνει καὶ τὸ τάχος τῶν ποδῶν. ἐχρήσαντο δὲ οἱ ῥήτορες καὶ ἐπὶ τοῦ κολάζειν.

Κυβευτήριον καὶ τηλία: τόπος ἐστὶ τὸ κυβευτήριον, εἰς ὃν συνερχόμενοι κυβεύουσιν. ἡ τηλία δὲ σανὶς ἀλφιτοπωλικὴ πλατεῖα, προσηλωμένας ἔχουσα κύκλῳ σανίδας τοῦ μὴ τὰ ἄλφιτα ἐκπίπτειν. καὶ ἐπ' αὐτῆς οἱ κυβεύοντες παίζουσιν. 15

Κεραμεικός: τόπος ἐν ᾧ αἱ πόρναι ἑστήκασιν.

Κωλιάς: τόπος Ἀττικός, ὅμοιος ἀνθρώπου κώλῳ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης Κωλιάδος. ἦν δὲ καὶ ναυκραρία. 20

Κωλακρέται: οἱ τῶν ἀργυρίων ταμίαι, οἳ τὸ δικαστικὸν ἐταμιεύοντο τριώβολον καὶ τὰ εἰς τὰς θεοὺς ἀναλισκόμενα χρήματα.

Κημός: πλέγμα τι ἐκ σχοινίων, ἐπιτιθέμενον τῇ ὑδρίᾳ, παρόμοιον χώνῃ ἢ ἠθμῷ, δι' οὗ τὰς δικαστικὰς καθίεσαν ψήφους. 25

Καδίσκοι: ὑδρίαι χαλκαῖ, εἰς ἃς καθίεντο αἱ ψῆφοι τῶν δικαζομένων.

Καταπροίξει: οἷον προῖκα καταφρονήσεις, ὅ ἐστι ἀζήμιος ἔσῃ καὶ ἀθῷος. 30

Κιβδηλίς: ἡ ἐν τοῖς μετάλλοις σκωρία.

Καθελεῖν τὴν ἀσπίδα: ἐπὶ τῶν ἀνδρισαμένων κεῖθεται ἡ παροιμία.

Κυψέλη καὶ κυψελίδες: ὁ ἐν τοῖς ὠσὶ συνιστάμενος ῥύπος. καὶ σιτηρὰ ἀγγεῖα. καὶ τὰ κενὰ σμήνη. καὶ τοῦ ὠτὸς τὸ ἔγκυκλον. καὶ τῆς καμίνου μέρος τι.

Κύων ἐν φάτνῃ: παροιμία ἐπὶ τῶν μήτε αὐτῶν χρωμένων μήτε ἄλλοις ἐπιτρεπόντων.

Κύων παρ' ἐντέροις: παροιμία ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρακειμένων.

Λι

Λωποδύτης: ὁ τὰ τῶν νεκρῶν ἱμάτια κλέπτων.

Λῆμμα: κέρδος.

Λήσεσθαι: λαθεῖν, ἀποκρύπτεσθαι.

Ληρεῖν: παραφρονεῖν, φλυαρεῖν, ματαιολογεῖν.

Λογισταί: ἄρχοντές εἰσι κληρωτοί, δέκα τὸν ἀριθμόν, ἐφ' ὧν πάντες οἱ ἄρξαντες ἀρχὴν ἡντινοῦν λόγον ἀπέφερον τῶν διῳκημένων.

Λάκκος: ὄρυγμά τι κατεσκευασμένον εἰς ὑποδοχὴν ὄμβρων. ἐχρῶντο δὲ αὐτῷ καὶ εἰς ἄλλων τινῶν ἀπόθεσιν.

Λουτροφόρος: ὁ ἐν τῇ τοῦ γάμου ἡμέρᾳ πεμπόμενος παῖς παρασκευάσαι τοῖς γαμοῦσι τὸ λουτρόν.

Λουτροφορεῖ ὁ τὴν ὑδρίαν ἔχων παῖς καὶ ὑπηρετῶν ἐν τῷ λουτρῷ τοῖς γαμοῦσιν.

Λουτροφόρος ἐν τῷ μνήματι ἐπίκειται: ἔθος ἦν Ἀθήνῃσι τοῖς ἀγάμοις ἀποθανοῦσι λουτροφόρον ἐπὶ τὸ μνῆμα καθιστάνειν. τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων, ἐκ λίθου πεποιημένος.

Λιπομαρτυρίου: ἀδικήματος εἶδός ἐστιν, ἐφ' ᾧ γραφὴ ἦν, εἴ τις εἰσκληθεὶς εἰς μαρτυρίαν ἐκλίποι αὐτήν.

Λιποστρατίου: ὁ λιπὼν τὴν στρατιάν.

Λιποταξίου: ὁ λιπὼν τὴν τάξιν.

Λεπρωσίου: ἄρχοντες ἦσαν ἐν Μακεδονίᾳ Λεπρῶνες οὕτω καλούμενοι.

Λιθολογήματα: τὰ νῦν λιθόστρωτα.

Λυκουργείους: εἶδος φιαλῶν, κληθεισῶν ἀπὸ Λυκούργου τινὸς πρώτου πεποιηκότος. 5

Λικνοφόρος: ὁ φέρων τὸ λίκνον. ἔστι δὲ τοῦτο μυστικὸν τῆς Δημητρίου τροφῆς σημεῖον. ἔστι δὲ ὁ ἐπὶ τῷ λίκνῳ πλακοῦς καὶ ἅλας.

Λύκειον: γυμνάσιον ἦν Ἀθήνησιν, ἀπὸ Λυκείου τινὸς Ἀπόλλωνος ὀνομασθέν, ἐν ᾧ καὶ τὰς στρατιωτικὰς ἐξετάσεις ἐποιοῦντο. 10

Λεωκόριον: ἱερόν ἐστιν Ἀθήνησι τῶν Λεὼ θυγατέρων. ὁ δὲ Λεὼς υἱός ἐστιν Ὀρφέως.

Λεύκωμα: λεύκωμά ἐστι πίναξ γύψῳ ἀλειμμένος, πρὸς γραφὴν πολιτικῶν γραμμάτων ἐπιτήδειος. 15

Ληνός: γεωργικὸν σκεῦος. ἔστι δὲ ἀγγεῖον δεκτικὸν οἴνου, ξύλινον, ὃ ἀποδέχεται τὸ ῥέον ἐκ τῶν ὀργάνων τῶν πιεζομένων.

Λαχεῖν δίκην: τὸ συνάψασθαι δίκην πρός τινα λαχεῖν δίκην ἔλεγον. 20

Λαμπάς καὶ λαμπαδηφόροι: λαμπάδας ἄγουσιν Ἀθηναῖοι Παναθηναίοις, Ἡφαιστείοις, Προμηθείοις· εἰσὶ δὲ αὗται ἑορταί. λαμπαδηφόροι δὲ καλοῦνται, ὅτι τὰς λαμπάδας ἔφερον. 25

Λόγος: ἡ ὑπόθεσις.

Λαπίζειν: ἀλαζονεύεσθαι.

Λίθος: τὸ βῆμα τὸ ἐν Πυκνί, οὗ ἐφεστῶτες ἔλεγον.

Λειτουργεῖν: οἱ παλαιοὶ Ἀθηναῖοι διὰ τοῦ η̄ ἔλεγον λητουργεῖν· λητὸς γάρ ἐστι δημόσιον ἀρχεῖον. οἱ οὖν ἐν τῷ λητῷ ἐργαζόμενοι οὗτοι λειτουργοῦσιν, ὅπερ νῦν διὰ τῆς εῑ διφθόγγου λέγεται. 30

Λιθουργικῆς καὶ λιθοτριβικῆς: ἡ μὲν λιθουρ-

γικὴ τέχνη ἐστίν, ἣν οἱ ἐν τοῖς μετάλλοις ἐργάζονται, οἱ τέμνοντες τοὺς λίθους· ἡ δὲ λιθοτριβική, ἣν μετίασιν οἱ κοσμοῦντες τοὺς λίθους πρὸς εὐπρέπειαν.

Λιμοῦ πεδίον: ὄνομα τόπου. ἡ δὲ ἱστορία αὕτη. ἀφορίας γενομένης πεδίον κατὰ χρησμὸν ἀνέθεσαν τῇ εἰρεσιώνῃ, ὃν καταφεύγοντα ταῖς πλοιάνοις ἀπὸ τοῦ συμβεβηκότος λιμοῦ πεδίον ἐκάλεσαν.

Λήναιον: ἱερὸν Διονύσου, ἐφ᾽ οὗ τοὺς ἀγῶνας ἐτίθεσαν πρὸ τοῦ τὰ θέατρον ἀνοικοδομηθῆναι.

Μ.

Μέλλησις: βραδυτής, ἀργία, ἐπίνοια ἑκάτερον, ὑπέρθεσις. ἔνιοτε καὶ ἐπὶ τοῦ σπουδάσας.

Μισθοφορεῖν: ἢ ἐπὶ μισθῷ γινομένη ἐργασία, ἢ τὰ ἐπὶ μισθῷ τι πράττειν.

Μνᾶ: ἑκατὸν δραχμαί.

Μαλακός: ὁ ἁπαλός, ἢ καὶ ὁ ἀσελγής. μαλακία δέ ἐστι νόσος.

Μηχάνημα: τέχνασμα, κακῶν κατασκεύασμα.

Μελίνη: ὀσπρίου εἶδος, ὅπερ θηλυκῶς καὶ ἀρσενικῶς λέγεται.

Μάλθη: μεμαλαγμένος κηρὸς ἢ ἄλλο τι τοιοῦτόν, ᾧ τὰ γραμματεῖα πράττεται.

Μετρονόμοι: ἀρχή τις Ἀθήνησι κληρωτὴ ἡ τῶν μετρονόμων, δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἦσαν ἐν τῷ Πειραιεῖ, πέντε δὲ ἐν ἄστει. οὗτοι δὲ τὴν ἐπιμέλειαν εἶχον, ὅπως δίκαια ἢ τὰ μέτρα τῶν πωλούντων.

Μὴ οὖσα: δίκη ἐστίν, ἣν οἱ ἐπὶ διαιτητοῦ ἐρήμην λαχόντες, καὶ λέγοντες ἀδίκως καταδιαιτεῖσθαι, ἀντελάγχανον τῷ ἑλόντι αὐτοὺς ἅπαντας, οὐ μόνον δὲ οἱ φεύγοντες ἀλλὰ καὶ οἱ διώκοντες ἀντελάγχανον αὐτήν, ὁπότε ὁ διαιτητὴς ἀποδιαιτήσειεν.

Μυλωθρός: καὶ ὁ μυλῶνα κεκτημένος, καὶ ὁ ἐργαζόμενος τὰ ἄλφιτα ἐν αὐτῷ.

Μεσεγγύημα: ἀργύριόν ἐστι παρά τινι κείμενον ἐν ὁμολογίᾳ τῶν δόντων ἐπὶ τῷ ὁτιοῦν διαπραξάμενον λαβεῖν αὐτό. 5

Μαστῆρες: ζητηταὶ τῶν φυγαδικῶν χρημάτων.

Μειαγωγῆσαι: θῦσαι.

Μεῖον: τὸ θυόμενον ἱερεῖον, ὅταν εἰς τοὺς φράτορας τοὺς παῖδας εἰςαγάγωσιν.

Μακρὸν πλοῖον τὸ πολεμικόν, στρογγύλον δὲ τὸ 10 ἐμπορικόν.

Μαργίτης: εὐήθης καὶ ἐπὶ μωρίᾳ κωμῳδούμενος.

Μόρα: σύνταγμά τι Λακωνικόν, ἐξ ἑκατακοσίων ἢ ἐνακοσίων ἀνδρῶν συνεστός. ἢ ὄνομα λόχου τινός.

Μυσῶν λεία: παροιμία λεγομένη ἐπὶ πλάνῃ, ἐπεὶ οἱ 15 Ἕλληνες εἰς Τροίαν πλέοντες, πλανηθέντες, τὴν Μυσίαν ἐπόρθησαν ὡς Ἴλιον.

Μελιτίδης: καὶ οὗτος τῶν εὐήθων, ὡς ὁ Μαργίτης καὶ ὁ Κόροιβος.

Μυστηρίων ἐπιμελητής: ὁ ἐπιμελούμενος τῆς ἑορ- 20 τῆς τῶν μυστηρίων χειροτονητὸς λαχών.

Μεθέορτα: τὰ μετὰ τὴν ἑορτήν.

Μουνυχία: τόπος ἐστὶ τοῦ Πειραιῶς, ἀπὸ Μουνυχίας Ἀρτέμιδος, ἥτις οὕτως ὠνομάσθη ἀπὸ Μουνύχου τοῦ Παντακλέους. 25

Μαράθου καὶ λεύκης: ἡ μάραθος καὶ ἡ λεύκη φύσει μυστικά ἐστι. καὶ ἡ μὲν μάραθος ἀγωγός ἐστι τῶν ὄφεων διὰ τὴν ὀσμήν, ἐν ᾗ καὶ τὸ γῆρας ἀποδύονται· ἡ δὲ λεύκη τὸ μὲν τῶν φύλλων ἔχει λευκόν, τὸ δὲ ἕτερον μέλαν, σύμβολόν τι τοῦ βίου· καὶ τοῦ θα- 30 νάτου.

Μαρώνεια: τόπος ἦν τῆς Ἀττικῆς, ὅπου τὰ μέταλλα εὑρέθη.

Μετοίκων λειτουργίαι: αἱ ἐν ταῖς πομπαῖς σκαφηφορίαι τῶν ἡκόντων μετοίκων. μέτοικοι δ' εἰσὶν οἱ ξένοι οἱ Ἀθήνησιν οἰκοῦντες.

Μύριοι: οὓς Θηβαῖοι συνῴκισαν πάλαι διῳκισμένους διὰ τὴν πρὸς Λακεδαιμονίους ἔχθραν. 5

Μητρῷον: τὸ ἱερὸν τῆς μητρὸς τῶν θεῶν.

Μεσοκρινεῖς: οἱ στύλοι καὶ οἱ κίονες οἱ ἐν τοῖς ἀργυρείοις τοῦ μετάλλου.

Μεταπεττεύων: τὸ μεταπεττεύειν ἐστὶ τὸ μεταλλάττεσθαι καὶ μεταβαίνειν. 10

Μέταλλα: τὰ ἀργύρεια, ἐκ τοῦ μεταλλᾶν, ὅ πέρ ἐστι ζητεῖν· ἐζητεῖτο δὲ ἡ ἀργυρῖτις ἄμμος. καὶ οἱ ἐργαζόμενοι μεταλλεῖς.

Μωλύτερον: τὸ ἀμβλύτερον καὶ ἀνοηθέστερον καὶ ἄνθος οὐκ ἔχον. 15

Μορίαι: τῆς Ἀθηνᾶς ἱεραὶ αἱ ἐλαῖαι.

Μανότερον: ἀραιότερον, ἀσθενέστερον.

Μοσχεύηται: τρέφηται. κυρίως γὰρ μοσχεία ἡ τῶν λεπτῶν λαχάνων μεταφυτεία ἢ φυτῶν.

Μανδραγόρας: μανδραγόρας ἐστὶ φάρμακον, ὕπνου ἢ λήθης παρασκευαστικόν. 20

Μονόφθαλμος: ἔθνος τι ἀνθρώπων ἕνα ὀφθαλμὸν ἐχόντων, τοὺς γὰρ τὸν ἕτερον ἐκκοπέντας ὀφθαλμὸν ἑτεροῦφθάλμους καλοῦσιν.

Μυδαίνεται: διαχεῖται καὶ καθυγραίνεται. 25

Μεταγειτνιών: μὴν Ἀθήνησι δεύτερος.

Μαιμακτηριών: μὴν καὶ αὐτὸς Ἀθήνησι, πέμπτος.

Μηλόβοτος: μηλόβοτος πόλις ἐστὶ κατασκαφεῖσα καὶ ἀνεθεῖσά τοῖς μήλοις εἰς νομὴν διὰ τὴν ἐρημίαν.

Μετροῦσιν οἱ Ἀθηναῖοι τὸν μῆνα οὕτως. νουμηνία. εἶτα δευτέρα. εἶτα κατὰ τὴν σελήνην ἄγουσι τοὺς μῆνας. κατὰ δὲ τῆς ἀπὸ τῆς νουμηνίας ἡμέρας ἱσταμένη ἡ σελήνη αὔξησιν λαμβάνει, καὶ προσετίθε- 30

σαν ἱσταμένου μέχρι ἐνάτης. εἶτα δεκάτη, εἶτα ἑνδεκάτη, εἶτα δωδεκάτη, καὶ τρίτη ἐπὶ δέκα· οὕτω μέχρι τῆς ἐνάτης. εἶτα εἰκάς. εἶτα μία καὶ εἰκάς. ὑστέρα δεκάτη· καὶ τὴν δευτέραν καὶ εἰκάδα ἐνάτην φθίνοντος κατὰ ὑφαίρεσιν ἀπὸ δεκάτης φθίνοντος ἐκάλουν· φθίνει γάρ. τὴν δὲ ἐνάτην καὶ εἰκάδα ὑστέραν φθίνοντος, τὴν δὲ ὀγδόην καὶ εἰκάδα τρίτην φθίνοντος, τὴν δὲ ἑβδόμην καὶ εἰκάδα τετάρτην φθίνοντος, τὴν δὲ ἕκτην καὶ εἰκάδα πέμπτην φθίνοντος, τὴν δὲ πέμπτην καὶ εἰκάδα ἕκτην φθίνοντος, τὴν δὲ τετάρτην καὶ εἰκάδα ἑβδόμην φθίνοντος, τὴν δὲ τρίτην καὶ εἰκάδα ὀγδόην φθίνοντος. τὴν δὲ τριακάδα ἕνην καὶ νέαν, ὅτι μέρος μέν τι ἔχει τοῦ παρωχηκότος, μέρος δὲ τοῦ μέλλοντος καὶ ἐνεστῶτος, ὅπερ νέον ἐστίν. ἐξ ἀμφοτέρων οὖν τὸ ὄνομα κέκραται.

Μῆνες Ἀθηναίων οὗτοι: Ἑκατομβαιών, Μεταγειτνιών, Βοηδρομιών, Πυανεψιών, Μαιμακτηριών, Ποσειδεών, Γαμηλιών, Σκιροφοριών.

Μέτοικοι: οἱ καταλιπόντες τὰς αὐτῶν πατρίδας καὶ Ἀθήνησιν οἰκήσαντες, οἳ καὶ ἐτέλουν μετοίκιον ἑκάστου ἔτους δραχμὰς δώδεκα.

Μεταλλάσσειν: κεῖται καὶ ἐπὶ τοῦ τελευτᾶν βίον παρὰ τοῖς ῥήτορσι, καὶ ἐπὶ τοῦ μεταβάλλειν.

Μοχθηρόν: κακόν, ἄθλιον.

Μελετών: οἶκος ἐν ᾧ οἱ τραγῳδοὶ ἐμελέτων.

Μεγαρέων δάκρυα: ἤτοι ὅτι σκόροδα παρ' αὐτοῖς φύεται δριμέα, ἢ ὅτι βασιλεὺς ἀπὸ τῶν Βακχιαδῶν ἠγάγετο Κλυτίου τοῦ Μεγαρέως θυγατέρα, ἧς ἀποθανούσης πεντήκοντα κοῦροι καὶ κοῦραι ἀπεστάλησαν θρηνήσαντες τὴν βασιλίδα, καὶ τοῦτο κατ' ἔτος ἐπαίουν.

Ν.

Νεώσοικοι: καταγώγια ἐπὶ τῆς θαλάττης ὠκοδομημένα εἰς ὑποδοχὴν τῶν νεῶν, ὅτε μὴ θαλαττεύοιεν. τὰ νεώρια δὲ ἡ τῶν ὅλων περιβολή. 5

Νεωρίων ἀρχήν: ἦν οὖν τις ἄρχων, ὃς ἐπεμελεῖτο τῶν νεωρίων καὶ τῶν σκευοθηκῶν καὶ πάντων τῶν περὶ τὰς ναῦς σκευῶν.

Νεανιεύεσθαι: κομπάζειν.

Ναύκληρος: σημαίνει μὲν καὶ τὸν τῆς νεὼς κύριον, 10 σημαίνει δὲ τὸν ἐπιπλέοντα αὐτῇ ἐφ' ᾧ τὰ ναῦλα λαμβάνειν, σημαίνει δὲ καὶ τὸν τὰ ἐνοίκια τῆς οἰκίας ἐκλέγοντα.

Νομοθέται: καὶ οἱ τοὺς νόμους εἰσηγούμενοι νομοθέται καλοῦνται, καὶ ἐκκλησία τις Ἀθήνησι νομοθέται 15 καλεῖται, οἳ τοὺς εἰσφερομένους ἐδοκίμαζον νόμους, καὶ δι' ὧν οἱ ἀσύμφοροι ἐλύοντο.

Νοθεῖα: τὰ τοῖς νάθοις ἐκ τῶν πατρῴων διδόμενα νοθεῖα καλεῖται.

Νεβρίζειν: νεβροῦ δέρμα φορεῖν. νεβρὸς δὲ ἔκγονόν 20 ἐστιν ἐλάφου.

Νήλατα: ἄλφιτα νεωστὶ ἀληλεσμένα σὺν σταφίσι καὶ χλωροῖς ἐρεβίνθοις. καλοῦσι δέ τινες αὐτὰ καὶ ἀμβροσίαν λίπους.

Ναυλοχίας: τὰς καθορμίσεις τῶν νεῶν, ὅπου ἔστιν 25 ὑφορμίσασθαι.

Νεαλής: ὁ νεώστι ἁλωκὼς ἰχθύς, ἢ ὁ νεωστὶ ὁτιοῦν πεποιηκὼς ἢ πεπονθώς.

Νευροῤῥάφους: τοὺς τὰ νεῦρα ῥάπτοντας ταῖς λύραις καὶ ταῖς κιθάραις καὶ τοῖς τοιούτοις ὀργάνοις. 30

Νηφάλια: αἱ γινόμεναι θυσίαι χωρὶς σπονδῆς οἴνου.

Νεμέσια: πανήγυρίς τις ἐπὶ τοῖς νεκροῖς ἀγομένη, ἐπεὶ ἡ Νέμεσις ἐπὶ τῶν ἀποθανόντων τέτακται.

Νηποινί: ἀτιμώρητος· τὸ γὰρ νη ἔγκειται τῇ ποινῇ, ποινὴ δὲ τιμωρία ἐστίν.

Ναυτοδίκαι: ἄρχοντές τινές εἰσι τοῖς ναυκλήροις δικάζοντες καὶ τοῖς περὶ τὸ ἐμπόριον ἐργάταις.

Ναυφύλακες: ἄρχοντές τινές εἰσιν ἐπὶ τῆς τῶν νεῶν φυλακῆς. 5

Ναματιαῖα: τὰ ἀπὸ νάματος καὶ πηγῆς ἀποῤῥέοντα ὕδατα, ἀλλ' οὐχ ὑετοῦ.

Ναυτικὴ συγγραφή: ναυτικὸν δάνεισμα, ὃ ποιεῖταί τις ἐπὶ ὑποθήκῃ τῆς νεώς, ἐὰν ἄρα σωθείη· εἰ δὲ μή, ἀπώλετο τῷ δανειστῇ καὶ τὸ κεφάλαιον. 10

Νεῖα ξύλα: τὰ ναυπηγήσιμα.

Ναίου Διός: ὁ ναὸς τοῦ Διός, ὃς ἐν Δήλῳ, Ναίου Διὸς καλεῖται.

Νεώς: ὁ Ἀθήνησι παρθενών. 15

Νομοφύλακες: ἄρχοντες οἱ ἐν ἐκκλησίᾳ καὶ ἐν βουλῇ μετὰ τῶν προέδρων καθήμενοι, καὶ ἀναγκάζοντες αὐτοὺς τοῖς νόμοις χρῆσθαι, καὶ κωλύοντες ἐπιψηφίζειν, εἴ τι εἴη παράνομον ἢ ἀσύμφορον τῇ πόλει.

Ναύκραροι: οἱ τὰς ναῦς παρασκευάζοντες, καὶ τριηραρχοῦντες, καὶ τῷ πολεμάρχῳ ὑποτεταγμένοι. 20

Νάϊος Ζεύς: ὄνομα ἱεροῦ τοῦ ἐν Δωδώνῃ. Πέριρρος γάρ, ὁ Ἰκάστου παῖς, τοῦ Αἰόλου, ναυαγήσας διεσώθη ἐπὶ τῆς πρύμνης, καὶ ἱδρύσατο ἐν Δωδώνῃ Διὸς ναΐου ἱερόν. 25

Ξ.

Ξενίζειν: τὸ ξενικῇ χρήσασθαι τῇ φωνῇ καὶ μὴ ἐπιχωρίᾳ. ἢ τὸ ξενικοῖς χρῆσθαι ἐπιτηδεύμασι καὶ ἐκδεδιητῆσθαι τῶν πατρίων ἐθῶν. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ἐπὶ ξένης εἶναι καὶ τὰ ὑποδέχεσθαι ξένον. 30

Ξηραλοιφεῖν: τὸ ἐν ταῖς παλαίστραις γυμναζόμενον κόνει χρῆσθαι.

Ξυστίδες: οἱ μὲν εἶδος ὑποδήματος, οἱ δὲ κόσμου γυναικείου, οἱ δὲ σκεύους, οἱ δὲ ἱματίων.

Ξενικὸν ἐμπόριον; ὅπου οἱ ξένοι ἐμπορεύονται. 5
ἀστικὸν δέ, ὅπου οἱ ἀστικοί.

Ξάνιον:- κτένιον, ὃ φοροῦσιν ἐν τῷ ἀναπλέγματι αἱ γυναῖκες. οἱ δὲ κτένιον ἀπέδοσαν ἐν φυλακτηρίοις.

Ξανθίζεσθαι τὸ κοσμεῖσθαι τὰς τρίχας Λάκωνες. Ἀττικοὶ τὸ βάπτεσθαι τὰς τρίχας. 10

Ξεναγία: σύνταγμα παρὰ Κρησί. καὶ ὁ ἡγεμὼν τούτων ξεναγός.

Ξηραλοιφεῖν: τὸ χωρὶς λουτροῦ ἀλείφεσθαι.

Ξύστις: χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα. οἱ δὲ τὸ 15 λεπτόν, παρὰ τὸ ξύεσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα.

Ξυστόν: δόρυ, ἀκόντιον. καὶ τὸ λεῖον. καλεῖται δὲ ξυστὸς καὶ ὁ ἀχειμένος τόπος τοῖς ἀθληταῖς εἰς γυμνάσιον. 20

Ο.

Ὅμορροι: γειτνιάζοντες.

Ὀλιγωρία: ἀμέλεια, ὀλίγη φροντίς. 25

Οἴχεται: πορεύεται, ἀπέρχεται.

Οἷοι: δυνατοί.

Ὀλυρῶν: ζειῶν. ἔστι δὲ εἶδος σπέρματος.

Οὐδὲ πολλοῦ δεῖ: ἀντὶ τοῦ οὐδὲ ὅλως.

Ὀρρωδία: φοβεῖσθαι, παρὰ τὸ τὸν ὀρρὸν ἰδίειν. ὀρρὸς δ' ἐστὶ τὸ ἱερὸν ὀστοῦν, ἰδίειν δὲ τὸ ἱδροῦν, συμβαίνει δέ πως τοῖς φοβουμένοις ἱδρῶτα γίνεσθαι κατὰ τοῦ ἱεροῦ ὀστοῦ. 30

Ὁμοῦ: οὐ μόνον τὸ κοινῇ τι πρᾶξαι, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐγγύς. καὶ ἐπὶ χρόνου καὶ ἐπὶ τόπου.

Ὀλιγαρχία: οἱ ὑπ' ὀλίγων ἀρχόμενοι. τρεῖς δ' εἰσὶ πολιτεῖαι, βασιλεία, ὀλιγαρχία, δημοκρατία.

Ὀκνῶ μὴ μάταιος ὑμῖν ἡ στρατιά: ἀντὶ τοῦ φοβοῦμαι καὶ δέδοικα. ὀκνηροὶ γὰρ οἱ φοβούμενοι καὶ δεδιότες. τάσσεται δὲ καὶ ἐπὶ ἀργίας καὶ ῥαθυμίας καὶ ἀμελείας. 5

Ὁλκοί: σχοινία τινά ἐστιν ὁλκοί, εἰς τὸ ἕλκειν ἐπιτήδεια. 10

Ὀρκάνη: περίφραγμά τι ἀκανθῶδες.

Ὅρος: ἔστι μὲν καὶ τὰ ὅρια καὶ τῆς χώρας τὰ τέλη, τίθεται δὲ καὶ ἀντὶ τοῦ κανόνος. ἔστι δὲ ὁ ὅρος καὶ σανίδιον τὸ ἐπιτιθέμενον ταῖς οἰκίαις καὶ τοῖς χωρίοις ἐγκαταπηγνύμενον τοῖς ἐνεχυριαζομένοις πρὸς ἃ ὀφείλουσιν οἱ δεσπόται, καὶ ἐπιγέγραπται αὐτοῖς αὐτὸ τοῦτο, ὅτι πρὸς δάνειον κατέχεται τόδε τὸ χωρίον, ἥδε ἡ οἰκία, ἕνεκα τοῦ μηδένα συμβάλλειν τοῖς προκατεσχημένοις. 15

Ὀστρακισμός, μετὰ τῆς προθέσεως ἐξοστρακισμός. ἔστιν οὖν ὁ ὀστρακισμὸς φυγῆς εἶδος, ὠνόμασται δὲ ἀπὸ τοῦ ὀστράκου, εἰς ὃ ἐνέγραφεν ἕκαστος Ἀθηναίων εἰς ὃ δέων μεθίστασθαι τῆς πόλεως. ἐνομίσθη δὲ τοῦτο ἐπὶ τῷ τοὺς ὑπερέχοντας τοῖς φρονήμασι κωλύειν. διαφέρει δὲ φυγῆς, ὅτι τῶν ὀστρακιζομένων αἱ οὐσίαι οὐ δημεύονται, ἀλλὰ καὶ τόπον καὶ χρόνον ὡρισμένον ἔχουσι, τῶν δὲ φεύγόντων οὐδέτερον τούτων πρόσεστιν. 20 25

Ὀσχοφορία: ὄνομά ἐστιν ἑορτῆς ἡ ὀσχοφορία, καλουμένη διὰ τοῦτο. ὄσχη προσαγορεύεται κλήματὶς ἐκκειμένους ἔχουσα τοὺς βότρυας. ταύτην εὐγενεῖς παῖδες φέρουσιν εἰς τὸ τῆς Σκιράδος Ἀθηνᾶς ἱερόν. 30

Οὐσίας δίκη καὶ καρποῦ καὶ ἐνοικίων: οἱ δι-

καζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας ἀλλότρια καὶ καρπουμένους, οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην. ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίων, τῶν δὲ χωρίων καρποῦ. τρίτη δὲ ἐπὶ τούτοις ἐγίνετο ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων τούτων, εἰ ἡττηθεῖεν τὴν πρώτην δίκην τοῦ καρποῦ ἢ τὴν τοῦ ἐνοικίου. εἰ δὲ καὶ τὴν δευτέραν ἡττηθεῖεν, τὴν της οὐσίας, ἐξούλης λαχεῖν. εἰ δὲ καὶ τὴν ἐξούλης ἁλοῖεν, οὐκ ἔτι ἐξῆν ἐπικρατεῖν, ἀλλ' ἐξίστασθαι ἤδη τῶν κτημάτων τοῖς δικασαμένοις.

Ὀργεῶνες: σύνταγμά τι ἀνδρῶν ὁσωνδή, ὡς τὸ τῶν γεννητῶν καὶ φρατόρων. ὠνομάσθη δὲ οὕτως ἀπὸ τοῦ κοινῇ ὀργιάζειν, ὅ θύειν ἐστὶν ἢ εὔχεσθαι.

Ὀφθαλμιῶεν τί ἐστιν: ἀντὶ τοῦ ὁρῶντες ζηλοῖεν καὶ ἐπιθυμοῖεν θητων αὐτῶν.

Ὀρχήστρα: τοῦ θεάτρου τὸ νῦν λεγόμενον σίγμα. ὠνομάσθη δὲ οὕτως, ἐπεὶ ὠρχοῦντο οἱ χοροί.

Οἰκότριβες οἱ οἰκέται καλοῦνται οἱ δοῦλοι ἐκ δούλων γενόμενοι, οἱ οἰκογενεῖς. οἱ μὴ ἐωνημένοι οἰκότριβες καλοῦνται.

Ὀξυλαβῆσαι: τὸ ὀξέως λαβέσθαι πράγματος.

Ὀλέκρανα: τῶν ἀγκώνων τὸ ὀστοῦν.

Ὀστολογῆσαι: τὸ τὰ ὀστᾶ τῶν νεκρῶν ἀναλέξασθαι.

Ὄροβοι: ὀσπρίου εἶδος, ἀφ' οὗ ἴσως ὀρόβια τὸ πρῶτον ἐγίνετο.

Ὀπισθόδομος: τὸ ὄπισθεν παντὸς οἰκήματος οὕτω καλεῖται. Ἀθήνησι δὲ τὸ ταμιεῖον τῶν χρημάτων τῶν ἱερῶν, ἐπεὶ ἦν ὄπισθεν τοῦ ναοῦ τῆς Ἀθηνᾶς.

Ὀφρεῖς παρεῖαι: εἶδος ὄφεως. ὠνομάσθησαν δὲ οὕτως, ὅτι τὰς παρειὰς ἐπηρμένας ἔχουσιν.

Ὀβολοστάτης: ὁ τοκογλύφος λεγόμενος.

Ὀβολοστατῆσαι: τόκους λαβεῖν.

Ὁμοερκεῖς κίονες: οἱ τῶν μετάλλων κίονες.

Ὅροι: ὅτι κατὰ μέρη τινὰ ἐμισθοῦντο τὰ ἀργύρεια, ὅροις διακεκριμένα.

Ὁλόσχοινος: ἣν λέγομεν ἡμεῖς σχοῖνον, ἐκ γῆς ἀναφυομένην ὥςπερ καλάμην.

Ὀρνιθευτάς: τοὺς ὀρνιθοθήρας. 5

Ὀχετοκρανία: τὰ κηλώνεια. ἢ αἱ ἐκχύσεις αἱ λεγόμεναι τῶν μηχανημάτων· εἰσὶ δὲ αὗται ξύλιναι ἢ κεράμεαι. οἱ δέ φασι τοὺς ὑπονόμους καὶ τοὺς ὑπὸ γῆν ὀχετούς.

Ὀτιαφόροι: οἱ τὰς ὀτίδας φέροντες ἐργάται ὀτιαφόροι καλοῦνται· ὀτὶς δὲ εἶδος ὄρνιθος. ἄλλη δὲ γραφὴ ὠτιοφόροι, οἱ τὰ ὠτὰ συντεθλασμένοι, οἷον ὠτοκατάξιδες· ἦσαν δὲ οὗτοι ἀπὸ παλαίστρας. 10

Ὀργάς τὰ ἱερὰ χωρία καλεῖται, τὰ ἀφιερωμένα τοῖς θεοῖς. 15

Ὀρχοί: ὀρχοὺς ἔλεγον τὰς κατὰ στίχον φυτείας.

Ὀπτῆρα: τὸν θεατήν.

Ὁρισταί: ἀρχή τίς ἐστιν, ἥτις ἀφώριζε τὰ ἴδια καὶ τὰ δημόσια οἰκοδομήματα πρὸς τὰ οἰκεῖα ἑκάστου μέτρα, ὥς πέρ τινες ὄντες γεωμέτραι καὶ ὁριοδεῖκται. 20

Ὀμπή: πυροὶ μέλιτι περικεχρισμένοι, μεμελιτωμένοι.

Οἰνόσπονδα: αἱ θυσίαι αἱ γινόμεναι μετὰ σπονδῆς οἴνου.

Ὀξυθύμια: τὰ καθάρματα τῶν νεκρῶν, ἃ δὴ καὶ Ἑκαταῖα. 25

Ὀμήρους: τὰ ἐνέχυρα.

Ὅρον: γεωργικὸν σκεῦος, ὅ φασί τινες σχοινίον. ἄλλοι δέ φασι τὴν θύραν τὴν ἐπιβαλλομένην τῇ πατουμένῃ σταφυλῇ, ὥςτε ἐκθλιβομένης αὐτῆς ἀφεῖναι τὸν οἶνον.

Ὄχλος: σημαίνει δύο, τὴν ὄχλησιν καὶ τὸ πλῆθος. 30

Ὀργιάζειν: θύειν τοῖς θεοῖς.

Ὀχεῖον: ἀντὶ τοῦ ὄχημα. ἢ ἀντὶ τοῦ εἷς ὀχείαν ἵππων.

ἔοικε δὲ καὶ τόπος εἶναι εἰς ὀχείαν ἐπιτήδειος ἢ εἰς ὀχημάτων παράταξιν.

Ὅσιον: τὸ ἰδιωτικὸν καὶ τὸ ἀνθρώπινον, οἷον πρὸς ὃ ἐφίεται βαδίζειν, οἷον ἔσιον καὶ παρ᾽ ὃ βέβηλον καλεῖσθαι τὸ βάσιμον. ἄλλοι δὲ τὰ δημόσια. 5

Ὁμηρίδαι: γένος ἐν Χίῳ ἀπὸ τῶν Ὁμήρου ἀπογόνων.

Ὀξυθύμια: τὰ τῶν οἰκιῶν καθάρσια τὰ ἐν ταῖς τριόδοις τιθέμενα.

Ὀθνεῖος: ὁ μὴ κατὰ γένος προσήκων, καὶ ὁ ἐξ ἀλλοδαπῆς γῆς ἀφιγμένος. 10

Π.

Παρακρούεται: ἀπατᾷ.

Προώμεθα: ἐκδιδόαμεν, παρεχωρήσαμεν, ἀπελύσαμεν. 15

Πάρεδροι: οἱ αἱρούμενοι τοῖς ἄρχουσιν οἷον βοηθοὶ καὶ σύμβουλοι καὶ φύλακες.

Προβολὴ καὶ προβάλλεσθαι: τὸ παράγειν εἰς τὴν ἐκκλησίαν τὸν βουλόμενον καὶ ἀποφαίνειν ὡς ἠδίκησεν, εἴ τις δοκοίη ἀδικεῖν, καὶ τοὺς συκοφάντας καὶ τοὺς περὶ τὰ μυστήρια ἢ Διονύσια ἀδικοῦντας. καὶ τοῦτο καλεῖται προβολὴ καὶ προβάλλεσθαι. 20

Περιστοιχίζεται: αἱρεῖ, λαμβάνει.

Πομπή: ἄφοδος, ἐξαποστολή, δημοσίευσις.

Πρόεισθε: προδώσετε. 25

Προῦπτον: προφανὲς καὶ φανερὸν καὶ οἷον πρὸ τῶν ὀφθαλμῶν κείμενον καὶ προορώμενον.

Πύθια: πανήγυρις, ἑορτὴ Ἑλληνική.

Παρθενών: ὁ τῆς Ἀθηνᾶς νεὼς οὕτω καλεῖται, ἐπεὶ ἔστι παρθένος ἡ θεός. 30

Πειραιεύς: λιμὴν Ἀθήνησιν.

Πινάκιον: τὸ ψήφισμα, καὶ ἡ γραφή, καὶ τὸ νῦν πινακίδιον τῶν κοινῶν γραμμάτων.

Πα-

Παριών: παρερχόμενος.

Παραδοξότερον: ἀπροσδόκητον, θαυμαστόν.

Πώμαλα: τοῦτο ἐπίθετον ἀντὶ τοῦ πόθεν. ὅθεν ἐστὶν οὐδαμῶς.

Πριάσθαι: ὠνεῖσθαι. 5

Πολεμιστὴς ἵππος: ὁ ἐν τοῖς ἀγῶσι σχῆμα ἔχων εἰς πόλεμον ἠὐτρεπισμένον· ἦν γὰρ τοιοῦτον ἀγώνισμα.

Πεζέταιροι: οἱ περὶ τὸ σῶμα τοῦ Φιλίππου φρουροί. ἦσαν δὲ οὗτοι καὶ πρῶτοι καὶ ἰσχυροί.

Πέμψαι: οὐ μόνον τὸ ἀποστεῖλαι, ἀλλὰ καὶ τὸ πομ- 10 πεῦσαι.

Πέμπτον μέρος μὴ λαβεῖν τῶν ψήφων: ἀργύριόν τι καταβαλλόμενον, ἐπεὶ οἱ μὴ μεταλαβόντες τὸ πέμπτον μέρος τῶν ψήφων κατετίθεσάν τι ἐπιτίμιον.

Παρέστησαν: ἐνίκησαν, ἐπεὶ τάχα οἱ ἡττώμενοι καὶ 15 οἱ αἰχμάλωτοι παρίστανται τοῖς νενικηκόσιν ὡς δοῦλοι δεσπόταις.

Προμαντεία: προμαντεία ἐστὶ τὸ πρῶτον ἄλλων ἁπάντων χρῆσθαι τῷ ἐν Δελφοῖς μαντείῳ. καὶ προεδρία τοῦτο. 20

Παραιτεῖσθαι: παρακαλεῖν, συγγνώμην αἰτεῖν.

Ποικίλον: δαιδάλεον, πανοῦργον. λέγεται δὲ καὶ τὸ Διονυσιακὸν ἱμάτιον. καλεῖται δὲ καὶ ποιὸς ἰχθύς.

Παρεσπόνδησε: παρέβη τοὺς ὅρκους.

Πρόβολοι: αἱ εἰς θάλασσαν ἐγκείμεναι πέτραι ὀξεῖαι. 25

Προβούλευμα: τὸ τὴν βουλὴν τῶν πεντακοσίων πρότερον κρίνειν τὸ ψήφισμα, εἰ καλῶς ἔχει, καὶ οὕτως εἰσφέρεσθαι εἰς τὸν δῆμον. καὶ τοῦτο καλεῖται προβούλευμα. τὸ δὲ προβούλευμα κύριον ἦν ἄχρι ἐνιαυτοῦ, μεθ' ὃ ἄκυρον ἐγίνετο. 30

Προβουλεύματα τίνα ἐστί: τὰ τῆς βουλῆς ψηφίσματα, ἃ προβουλεύει τοῦ δήμου.

Προπύλαια τί ἐστι: προπύλαιά ἐστιν οἱ πυλῶνες τῶν ἱερῶν. ἦσαν δὲ πολυτελεῖς τῇ κατασκευῇ.

Πρόφασις: αἰτία.

Πομπεῖα: πομπεῖά ἐστι τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα, οἷον θυμιατήρια καὶ φιάλαι. 5

Πρέσβεις: γέροντες, βασιλεῖς, ἄρχοντες, προτιμώμενοι. καὶ Ἀθήνησιν οἱ δημογέροντες. νῦν δὲ οἱ πρεσβευταί.

Πρόεδροι καὶ προεδρεύειν τί ἐστιν: οἱ περὶ τὰς ἐκκλησίας Ἀθήνησι διοικοῦντες πρόεδροι ἐκαλοῦντο, κληρούμενοι μὲν ὑπὸ τῶν πρυτάνεων καθ' ἑκάστην 10 ἐκκλησίαν ἐξ ἑκάστης φυλῆς, ὠνομάσθησαν δὲ οὕτως ἀπὸ τοῦ προεδρίαν ἔχειν ἐν ταῖς ἐκκλησίαις.

Παρακαταβολή καὶ παρακαταβάλλειν: ἀργύριόν ἐστι καταβαλλόμενον ὑπὸ τῶν ἀμφισβητούντων χρημάτων δεδημοσιευμένων πρὸς τὴν πόλιν, ἢ κλήρων 15 ἢ ἐπικλήρων πρὸς ἰδιώτας, εἰ ἡττηθεῖεν εἰς τὴν δίκην. παρακαταβολὴ λέγεται, καὶ τὸ πρᾶγμα παρακαταβάλλειν.

Παρακατάστασις: ἀργυρίδιόν ἐστιν ἐν μιᾷ δραχμῇ καταβαλλόμενον ἐν τοῖς διαιτηταῖς ὑπὸ τῶν δικαζο- 20 μένων ἰδίας δίκας καὶ ἐπὶ τῶν ὑπομνυμένων αὐτάς. καὶ τοῦτο ἐκαλεῖτο παρακατάστασις.

Πιθάκνων: τῶν μικρῶν πίθων, ἐν οἷς εἰσὶν ἰσχάδες καὶ τὰ τοιαῦτα.

Ποδοστράβη τί ἐστι: πάγης εἶδός ἐστιν, ᾧ χρῶνται 25 οἱ κυνηγοὶ πρὸς τὰ θηρία.

Πολέμαρχος: ἄρχων ἐστὶν Ἀθήνησι τῶν ἐννέα ἀρχόντων. καὶ τῷ Ἐνυαλίῳ διατίθησι τὸν ἀγῶνα τὸν ἐπιτάφιον.

Προβόλιον: εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγοί. 30 ὠνόμασται δὲ ἀπὸ τοῦ προβάλλεσθαι τοὺς ἔχοντας αὐτό.

Πρόμεστοι: ἄρχοντές τινες ἐνιαύσιοι ἦσαν, οἱ τῷ

δικαίῳ μέτρῳ διαμετροῦντες τὰ ὄσπρια καὶ τοὺς πυροὺς ἐν τῇ ἀγορᾷ.

Πρόθεσις: τὸ τὸν νεκρὸν προθεῖναι.

Πρυτάνεις τίνες εἰσί, καὶ πρυτανεύειν: μέρος τι τῆς βουλῆς τῶν πεντακοσίων, τὸ δέκατον, πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, πρυτάνεις ἐκαλοῦντο. καὶ ἐπρυτάνευον κατὰ πρυτανείαν ἐκ διαδοχῆς ἀλλήλαις αἱ φυλαὶ διὰ τούτων τῶν ἀνδρῶν, κλήρῳ λαχόντων. καὶ τοῦτο ἐκαλεῖτο πρυτανεύειν. 5 10

Πρυτανεία τί ἐστι: καθολικῶς μὲν ἡ πρυτανεία ἀριθμὸς ἡμερῶν τριάκοντα ἓξ ἢ τριάκοντα πέντε, ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. ἐκτεταμένως δὲ καὶ θηλυκῶς ἡ πρυτανεία ῥητέον.

Πρυτανεῖα: ἀργύριόν τί ἐστιν, ὃ κατετίθεσαν οἱ δικαζόμενοι. οὐδετέρως δὲ ῥητέον τὰ πρυτανεῖα. 15

Πωληταὶ τίνες εἰσίν: ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν πωλητῶν ἀπὸ δέκα ἀνδρῶν, οἳ καὶ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ κτήματα δηπευόμενα πωλοῦσι, καὶ φροντίζουσιν ὅπως ἡ τιμὴ τῶν πιπρασκομένων ἀποδοθῇ τῇ πόλει. 20

Πυροὶ ἐπικάλαμοι: οἱ μηδέπω θερισθέντες, ἀλλ' ἐνόντες ἐπὶ τῆς καλάμης καὶ φύοντες. ἢ οἱ μηδέπω ἀπηλοημένοι, ἀλλ' ἔτι ἐν δράγμασιν ὄντες. ἢ οἱ ἀπὸ τοιαύτης γῆς, ἥτις ἀνάπαυμα οὐκ ἔσχεν, ἀλλὰ σῖτος ἐπὶ σίτῳ ἐσπάρη. 25

Προκαταβολή: ἡ νῦν λεγομένη θήκη.

Παλίμβολος: ὁ πονηρὸς ὁ πολλάκις μεταβαλλόμενος, ὃν καὶ Ὅμηρος ἀλλοπρόσαλλον καλεῖ. ἢ ὁ δοῦλος ὁ διὰ πονηρίαν πιπρασκόμενος καὶ ἄλλοτε ἄλλους δεσπότας κεκτημένος. 30

Πάτριος Ἀπόλλων Ἀθηναίοις διὰ τί ἐστιν: οἱ

πρῶτοι Ἀθηναίων γεγενημένοι γονέας ᾤοντο εἶναι γῆν καὶ ἥλιον· ὁ δὲ Ἀπόλλων ἥλιος εἶναι δοκεῖ· καὶ διὰ τοῦτο πάτριος Ἀπόλλων. ἢ ὅτι Ἀπόλλων μιγεὶς Κρεούσῃ, τῇ θυγατρὶ Ἐρεχθέως, ἐγέννησε τὸν Ἴωνα, ἀφ᾽ οὗ Ἴωνες· καὶ διὰ τοῦτο πάτριός ἐστιν Ἀθηναίοις ὁ Ἀπόλλων. 5

Πενέσται: οἱ δοῦλοι τῶν Θετταλῶν πενέσται καλοῦνται, ὡς οἱ τῶν Λακεδαιμονίων εἵλωτες καὶ τῶν Κρητῶν καροταί.

Πάνδια: ἑορτὴ Ἀθήνησιν, ἤτοι ἀπὸ Πανδίας τῆς Σελήνης, ἢ ἀπὸ Πανδίονος, οὗ καὶ ἡ φυλὴ ἐπώνυμος. 10

Παρασκήνια: παρασκήνιά ἐστιν εἴσοδοι αἱ εἰς τὴν σκηνὴν εἰσάγουσαι. σκηνὴ δ᾽ ἐστὶν ἡ νῦν λεγομένη θυμέλη.

Παράσημος ῥήτωρ: ὁ φαῦλος, ἀπὸ μεταφορᾶς τῶν νομισμάτων, ἐπεὶ τὰ φαῦλα καὶ τὰ ἀδόκιμα παράσημα καλεῖται παρὰ τὸ κακῶς σεσημάνθαι, ὅ πέρ ἐστιν ἐσφραγίσθαι. 15

Προπολέμια: τὰ πρὸ τοῦ πολέμου ἀγόμενα ὑπὲρ τῆς νίκης καὶ τοῦ καλλιερῆσαι. 20

Ποδοκάκκη: ὁ ἐν τῷ ξύλῳ δεσμὸς τῶν ποδῶν, ἤτοι διὰ τὸ τοὺς πόδας κακοῦν, ἢ ἵνα ᾖ κατὰ συγκοπὴν εἰρημένη ἡ λέξις, ἵνα ᾖ ποδοκατοχή.

Παράβυστον: τὸ λάθρᾳ γινόμενον. ἦν δὲ καὶ παράβυστον δικαστήριον Ἀθήνησιν, ὃ λάθρᾳ ἔκρινεν. 25

Πυλάγοροι: οἱ πεμπόμενοι ἀπὸ τῶν πόλεων εἰς τὴν Ἀμφικτυονίαν ῥήτορες, ὥστε ἐκεῖ ἀγορεῦσαι. ἐκλήθη δὲ πυλαγόρας παρὰ τὸ ἐπὶ πυλαίᾳ ἀγορεύειν· πυλαία δ᾽ ἐστὶ τὸ Ἀμφικτυονικὸν συνέδριον.

Πνύξ: πνὺξ ἐστιν ἐκκλησία Ἀθήνησιν. ἐκλήθη δὲ οὕτως, ὅτι πυκνά ἐστι περὶ αὐτὴν τὰ οἰκήματα. 30

Περίπολος: ὁ περιπολῶν καὶ περιερχόμενος πυκνῶς

τὴν χώραν, καὶ περισκεπτόμενος, μή τις πολέμιος εἰς-
βάλλῃ εἰς αὐτὴν ἢ λῃστὴς ἢ κακοῦργος.

Πάραλος: πάραλός ἐστιν ἱερὰ τριήρης, ὥςπερ καὶ Σα-
λαμινία, πρὸς διακονίαν ἐπιτήδειος.

Προτέλεια: προτέλειά ἐστι τὰ θύματα τὰ πρὸ οὐ- 5
δήποτε πράγματος θυόμενα.

Παρόδιος οἶκος: ἡ παρ' ὁδῷ φέρουσα εἰς τὴν ὁδὸν
οἴκησιν.

Περισταλέντα: ταφέντα.

Πλεκτάναι τίνες εἰσίν: αἱ πλεκτάναι τοῦ πολύπο- 10
δος οἱ λεγόμενοι ἱμάντες, οὓς εἴωθεν ἀποτείνειν.

Παλαμναῖος: πικρὸς καὶ φόνιος καὶ σοβαρός.

Παίγνιον: ὄνομά κύριόν ἐστι δούλης τινός.

Πελινὸν τί ἐστι: τὸ πελιδνόν, ὅτι μίαν ἐστίν, ἢ τὰ
πελιώματα λεγόμενα, τὰ ἴχνη τῶν πληγῶν. 15

Παρορίζειν: ὑπερβαίνειν τοὺς οἰκείους ὅρους, ἀπο-
τεμνόμενον ἐκ τῶν ἀλλοτρίων.

Πηλοὶ καὶ πίτυρα: μυστικά εἰσι ταῦτα, ὁ πηλὸς καὶ
τὰ πίτυρα.

Πεφωριῶσθαι: τὸν ὀφθαλμὸν πεπαχύνθαι. 20

Πρεμνίζειν: τὸ καταβάλλειν τὰ πρέμνα, τουτέστι τὰ
στελέχη καὶ τὰ μεγάλα ξύλα.

Προαγορεύειν τῷ μνήματι: τὸ προλέγειν ὥςτε τοὺς
οἰκείους τοῦ ἀποθανόντος ἔρχεσθαι ἐπὶ τὸν τάφον,
ξένον δὲ μηδαμῶς. 25

Προναία Ἀθηνᾶ: ἀγάλματος ὄνομα, ἤτοι διὰ τὸ
πρὸ τοῦ ναοῦ ἐν Δελφοῖς ἑστάναι, ἢ ὅτι προενόησεν,
ὅπως τέκοι ἡ Λητώ.

Πρόσφατος: κυρίως μὲν ὁ νεωστὶ ἀνῃρημένος, κατα-
χρηστικῶς δὲ ὁ πρὸς ὁτιοῦν πρᾶγμα νεωστὶ ἐληλυθὼς 30
πρόσφατός ἐστιν.

Πεδίον: γῆ ὁμαλή, ὡς Ἡρόδοτος. καὶ τόπος Ἀθήνησιν
οὕτω καλούμενος.

Παράλιον: ἡρῷον Παράλου τινὸς ἥρως, ἀφ' οὗ καὶ ἡ ἱερὰ ναῦς πάραλος καλεῖται.

Πρόσαντες: τὸ δύσκολον τὸ προϊστάμενον τῇ γνώμῃ, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς ὄρεσι προϊσταμένων καὶ ἐμποδιζόντων.

Παλίσκιον: τὸ ὑποσκιαζόμενον ὑπ' ἄλλου.

Προηρόσια: ὄνομα θυσίας ὑπὲρ τῶν καρπῶν γινομένης ὑπ' Ἀθηναίων κατὰ μαντείαν ἐπὶ Ἤλιδι.

Παραπέτασμα: παραπέτασμά ἐστι τὸ προκάλυμμα κυρίως τῶν πορνῶν, ἃ προβάλλονται ὑπὲρ τοῦ μὴ ὁρᾶσθαι τοὺς εἰσιόντας.

Πατρίληκτος: ἡ πατρικὴ καὶ ἀπὸ τοῦ πατρὸς εἰλημμένη κλήρῳ.

Προνάπης: Προνάπης ἐστὶν ὁ πατὴρ τῆς ἀμφισβητούσης. ἔστι δὲ ὄνομα κύριον ὁ Προνάπης.

Πυῤῥίχισταί: πυῤῥίχισταί εἰσιν οἱ τὴν πυῤῥίχην ὀρχούμενοι ὄρχησιν. πυῤῥίχη δὲ ὄρχησίς ἐστιν ἡ πολεμικὴ καὶ ἐνόπλιος ὄρχησις.

Πορισταί: πορισταί εἰσιν ἀρχή τις Ἀθήνησιν, ἥτις πόρους ἐζήτει· ἀπὸ τούτου γὰρ καὶ προσηγορεύθησαν.

Προβατεία: ἡ τῶν προβάτων νομὴ καὶ κτῆσις.

Περίδειπνον: ἡ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίασις γινομένη.

Προκώνια: γένη θυμιαμάτων. οἱ δὲ τὰς ἀφρύκτους κριθάς φασιν. ἢ οἷον πυροκώνια, πυροὶ μέλιτι κεχρισμένοι καὶ ἐν ἡλίῳ ὠπτημένοι.

Πόπανον: πόπανόν ἐστι πλάτυμμά τι στρογγύλον, ἀπὸ στέατος, εἰς θυσίαν ἐπιτήδειον.

Πάγη: θηρατικὸν ὄργανον τετράγωνον.

Πλυνέας: τοὺς πλύτας.

Προπάτωρ: ὁ πάππος ἢ πρόγονος.

Προχοῖς: ἡ ἐπίχυσις καλουμένη.

Πεσσοί: παιδιὰ ἀπὸ τῶν πεσσῶν, ὅ πέρ ἐστιν ἀστράγαλος.

Προεχαριστήρια: ἡ μυστικὴ θυσία τῆς Ἀθηνᾶς ὑπὲρ τῶν φυομένων καρπῶν.

Πόλις: οὐ μόνον τὸ ἄστυ, ἀλλὰ ἰδίως Ἀθηναῖοι πόλιν ἔλεγον τὴν ἀκρόπολιν. 5

Πυρκαϊά: ἐμπυρισμός.

Πλινθεῖον: τὸ πλινθουργεῖον, ὅπου πλίνθοι γίνονται.

Πλυνός: ὁ τόπος, ὅπου πλύνουσιν.

Πυελίς: πυελίς ἐστι σφραγιδοφύλαξ. 10

Πλέθρον: μέτρον γῆς πάντοθεν ἔχον πόδας ἑκατόν.

Παρ' ἵππον καὶ κόρην: ὄνομα τόπου Ἀθήνησιν. ἐκλήθη δὲ οὕτως ἀπὸ τοῦ τὸν Ἱππομένην, ἕνα τῶν Κοδριδῶν, βασιλέα ὄντα, τῆς παιδὸς αὐτοῦ διαφθορείσης τὴν παρθενίαν, ἀγανακτήσαντα καθεῖρξαι 15 αὐτὴν ἐν τῷ χωρίῳ ἐκείνῳ μεθ' ἵππου μαινομένου, ὑφ' οὗ προδήλως ἔμελλεν ἀπολεῖσθαι.

Παιπάλημα τί ἐστι: παιπάλημά ἐστιν ὁ τραχὺς ἄνθρωπος καὶ ἀνώμαλος, ἐπεὶ καὶ τῶν ὀρῶν τὰς ἀνωμαλίας παιπαλήματα καλοῦσιν. 20

Ποδεών: ποδεῶνές εἰσιν οἱ ἑκατέρωθεν τοῦ ἀσκοῦ προέχοντες.

Πυθαιός: ὄνομα ἑορτῆς Ἀθήνησιν ἀγομένης τοῦ Ἀπόλλωνος, ἀπὸ τοῦ Πύθωνος.

Ποικιλτής: ὁ τὰ ποικίλα ποιῶν ἔργα, ἃ νῦν φαμὲν 25 ψυχροβαφῆ· ἢ ὁ τὰ ποικίλα ἔργα ὑφαίνων.

Πρώϊζον: τὸ ὑπόγυον.

Περιγράψαι: τὰ ἀποκτεῖναι, ἐπεὶ οἱ ἀποθανόντες περιγράφονται.

Πεντεκαίδεκαναῖα: αἱ δεκάπεντε τριήρεις. 30

Παρίσωσις: εἶδος σχήματος, ὃ καλεῖται καὶ ὁμοιόπτωτον καὶ ὁμοιοτέλευτον.

Παιάν: ὕμνος εἰς Ἀπόλλωνα ἐπὶ λοιμῷ, γενόμενος

παίων τις ἀπὸ τοῦ παύσασθαι. καταχρηστικῶς δὲ καὶ εἰς ἄλλον θεόν τινα ὕμνος, ἐπί τινι ἔργῳ κατωρθωμένῳ λεγόμενος.

Προστρόπαιος: δαίμων τις ἐπὶ τῶν ἐναγῶν.

Παρακαλεῖν: προτρέπειν αἰδεῖσθαι καὶ ἱκετεύειν. 5

Περίστατοι: οἱ περίβλεπτοι, ἐφ᾽ οἷς ἄν τις σταίη βουλόμενος θεᾶσθαι.

Πρόπεμπτα: τὸ πρὸ πέντε ἡμερῶν τῆς ἐκκλησίας προγράφειν, ὅτι ἔσται ἐκκλησία. εἰ τύχοι, εἰ ἔδει ἐκκλησίαν γενέσθαι τῇ δεκάτῃ, προέγραφον οἱ πρυτάνεις ἀπὸ τῆς πέμπτης ὅτι ἔσται. 10

Πορεῖον: τὸ διδόμενον τοῖς πρεσβευταῖς ὑπὲρ τοῦ πορευθῆναι εἰς τὴν πρεσβείαν ὥσπερ ἐφόδιον.

Πεδιακὰ πρόβατα: τόπος τις Ἀθήνησι πεδίον ὀνομαζόμενος, οὗ πρόβατα ἐνέμετο, ἀφ᾽ οὗ καὶ πεδιακὰ πρόβατα. 15

Πλειστηριάσαντες: τὸ πλείονος πωλῆσαι τιμῆς, οὗ τις ὠνήσατο.

Περιπετῆ: τὰ πρὸς τύχην καὶ αὐτομάτως καὶ ὡς ἔτυχε γινόμενα. 20

Παιδιά: τῆς ἐν παισὶν ἡλικίας.

Προβάτεια: τὰ χωρία τὰ ἐπιτήδεια πρὸς νομὴν προβάτων καὶ αἰγῶν καὶ τῶν ἄλλων βοσκημάτων.

Περιττότης: δύο σημαίνει ἡ λέξις, τό τε ὑπερβάλλον, οἷον φιλῶ σε περιττῶς καὶ λίαν, καὶ τὸ ἐκ περιουσίας καὶ μὴ ἀναγκαῖον ἀλλ᾽ ἄχρηστον. 25

Περικόρημα: περισάρωμα· κορήματα γάρ ἐστι τὸ σάρον. ἀφ᾽ οὗ καὶ νεωκόρος ὁ τὸν νεὼν κορῶν καὶ σαρῶν.

Προεμπολεῖς: οἱ προεμπολεύοντες τὸ ἔλαιον. 30

Πανόπτης: ὁ πάντα ἐποπτεύων.

Παραστάται: οἱ ὑπηρέται τῶν ἑνδεκα, οἱ νῦν ὑπηρετοῦντες βασανισταί.

Περιστένεται: θυμούμενος περιττῶς καὶ πέραν τοῦ δέοντος θυμοῦται καὶ ὀργίζεται.

Περιάμπεχε τὸ εὐτυχεῖν: περιέβαλλε τὸ εὐτυχεῖν, ἀφ᾽ οὗ καὶ ἀμπεχόνη ἡ περιβολὴ τοῦ ἱματίου.

Ποδοκεῖν: τὸ τῷ ποδὶ κυβερνᾶν· ποὺς γάρ ἐστι τοῦ ἱστοῦ τὸ ἀντίον τὸ κάτω πρὸς τῇ νηῒ. 5

Προῦπτον: προφανές.

Πελτασταί: στρατιῶταί τινες πέλτην ἔχοντες. ὁ δὲ πέλτης εἶδός ἐστιν ὅπλου, οἷον ἀσπίς, ἴτυν οὐκ ἔχουσα, οὐδὲ βοὸς ἀλλ᾽ αἰγὸς ἢ ὑὸς δέρματι περιτεταμένη. 10

Πεντηκόνταρχος: ὁ ἄρχων τῆς πεντηκοστῆς τοῦ τέλους καὶ τῶν πεντηκοστῶν.

Παλαμναίους θεούς: τοὺς δεσπότας τῶν ἀδικημάτων.

Πυανεψιών: μὴν Ἀθήνησι τέταρτος. 15

Ποσειδεών: μὴν Ἀθήνησιν ἕκτος.

Παραγραφή: δίκης ὄνομα λεγομένης ὑπὲρ τοῦ μὴ εἰσαγώγιμον γενέσθαι τινὰ μηδὲ ἀγωνίσασθαι τὴν εὐθυδικίαν.

Προσηλῶν: καθηλῶν, φράττων. 20

Πεντηκοστεύονται καὶ τὸ πεντηκοστευόμενον: τῶν εἰσαγομένων εἰς τὸν Πειραιᾶ φορτίων καὶ ἀνδραπόδων ἐκ τῆς ἀλλοδαπῆς πεντηκοστὴν ἐτέλουν οἱ ἔμποροι. καὶ τοῦτο ἐκαλεῖτο πεντηκοστεύεσθαι. καὶ αὐτοὶ δὲ οἱ τὸ τέλος εἰσπράττοντες *πεντηκοστολόγοι* καλοῦνται. 25

Πυνθάνεσθαι: σημαίνει καὶ τὸ ἀκούειν καὶ τὸ μανθάνειν, κεῖται δὲ καὶ ἐπὶ τοῦ ἐπερωτᾶσθαι παρὰ Θουκυδίδῃ.

Πατρῴων καὶ πατρίων καὶ πατρικῶν: πατρῷα λέγουσιν οἱ ῥήτορες χρήματα καὶ κτήματα καὶ τόπους, πάτρια δὲ τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς, πατρικὸν δὲ φίλον ἢ ἐχθρόν. 30

Πείσεται: σημαίνει καὶ τὸ πείθεσθαι καὶ τὸ πάσχειν.

Προστάτην νέμειν: τὸ τοὺς μετοίκους μετὰ προστάτου τινὸς τῶν ἀστῶν τὰ αὐτῶν πράγματα διοικεῖν καὶ τὸ μετοίκιον διδόναι.

Παταικίων: ὁ ἐπὶ συκοφαντίᾳ καὶ κλοπῇ καὶ τοιχωρυχίᾳ.

Πρόσοδος: κεῖται καὶ ἐπὶ χρημάτων τῶν παρὰ τῶν ὑπηκόων ἢ καρπῶν ἢ τόπων τοῖς ἰδιώταις, καὶ ἐπὶ τοῦ προσελθεῖν πρὸς τὸν δῆμον ἢ πρὸς ἄλλον τινά.

Παιδάριον: καὶ ἐπὶ ἀῤῥένων καὶ ἐπὶ θηλειῶν.

Πλεονεξία: καὶ ἐπὶ τοῦ βελτίονος καὶ ἐπὶ τοῦ φαύλου τέτακται παρὰ τοῖς ῥήτορσιν.

Παραφρυκτωρευόμενοι: οἱ κακουργοῦντες περὶ τὰς φυλακάς, καὶ φρυκτοὺς ἀνατείνοντες ἐπὶ τῷ συμφέροντι τῶν πολεμίων.

Τὸν νοῦν προσέχειν, καὶ τί τὸ προσσχεῖν: τὸ μὲν προσσχεῖν τὸ προσπελάσαι εἰς γῆν ἢ πόλιν ἀπὸ θαλάσσης, τὸ δὲ προσέχειν τὸν νοῦν ἀντὶ τοῦ ἀκριβῶς ἀκούειν, ἢ τὸ λογίσασθαι φρονίμως.

Πεντακοσιομέδιμνοι: οἱ ἐκ τῆς οἰκείας γῆς ποιοῦντες πεντακόσια μέτρα συνάμφω ξηρὰ καὶ ὑγρά.

Πεντηκόντοροι: λόχος ἐστὶν ἀνδρῶν πεντήκοντα. αἱ δὲ τριήρεις εἶχον ἄνδρας τριακοσίους, οἳ ἦσαν λόχοι ἕξ. ἡ πεντηκόντορος οὖν ναῦς ἑνὰ λόχον εἶχεν.

Πρόβουλοι: ἄρχοντες ἐνκέα, ἐξ ἑκάστης φυλῆς εἷς, οἵτινες συνῆγον τὴν βουλὴν καὶ τὸν δῆμον.

Πρόξενοι καὶ ἰσοτελεῖς: οἱ προτιμώμενοι τῶν Ἀθηναίων πρόξενοι ἐκαλοῦντο, οἱ δὲ λοιποὶ ἰσοτελεῖς, οἱ δὲ μετοίκιον τελοῦντες μέτοικοι.

Προγραφήν: τὸ τὴν οἴκησιν καὶ τὰ χωρία προγράφειν τῶν εὐθυνομένων.

Παράστασις: ἀργύριον διδόμενον ὑπὲρ τοῦ μὴ εἰσαχθῆναι τὴν δίκην. ὡσαύτως καὶ ἐν ταῖς συνωμοσίαις

ὑπὲρ τοῦ μὴ εἰςάγεσθαι, ἀλλ' ἐκκρούεσθαι προφασιζόμενον.

Πινάκιον: σύμβολον δικαστικόν, ἐν ᾧ ἐπεγέγραπτο τὸ πρᾶγμα τοῦ κρινομένου καὶ ὁ δῆμος.

Προναία Ἀθηνᾶ: ἀγάλματος ὄνομα ἐν Δελφοῖς πρὸ τοῦ ναοῦ τοῦ Ἀπόλλωνος ἱδρυμένου. Πρόνοια δὲ Ἀθηνᾶ ἐν Πρασίαις τῆς Ἀττικῆς ἵδρυται ὑπὸ Διομήδους.

Πύθιος καὶ Δήλιος Ἀπόλλων: ἀγαλμάτων ὀνόματα Ἀθήνησι τιμωμένων.

Πέλας: καὶ τοπικὸν καὶ χρονικόν, καὶ ἐπὶ συγγενείας.

Ποτνιᾶσθαι: τὸ μετὰ λύπης τὸν θεὸν ἐπιβοᾶσθαι.

Πνύξ: τὸ δικαστήριον. καὶ ἔστιν ἡ γενικὴ πνυκός, διὰ δὲ τὴν εὐφωνίαν ἐστὶ πυκνός.

Παιωνία: τόπος ἐν ᾧ θέατρον ἦν, ὅπου ἀγῶνα ἐπετέλουν.

Πελαργικόν: τὸ ὑπὸ Τυρρήνων κατασκευασθὲν τεῖχος, οὓς θεασάμενοι διὰ τὰς σινδόνας, ἃς ἐφόρουν, πελαργοὺς ὠνόμασαν.

Ρ.

Ῥητορικὴν γραφὴν καὶ ῥητορικὴν γραψάμενος: ἣν οἱ ῥήτορες ἠγωνίζοντο γραφόμενοι ῥήτορας εἰποῦσί τι ἢ πράξασι φαῦλον. καθάπερ λέγεται πρυτανικὴ γραφὴ ἡ κατὰ πρυτάνεως, καὶ ἐπιστατικὴ ἡ κατὰ τοῦ ἐπιστάτου.

Ῥῶπος: ὁ παντοδαπὸς φόρτος.

Ῥυτὴρ τί ἐστιν: ὁ ἱμάς. κυρίως δὲ τὰ ἡνία, παρὰ τὸ ῥύεσθαι τοὺς ἵππους καὶ τοὺς ἐποχουμένους, ὅ πέρ ἐστι σώζειν.

Ῥυτὰ τί ἐστιν: εἶδος φιαλῶν καὶ καταῤῥύτων καὶ συναγωγὴν ἐχουσῶν.

Ῥοδωνιά: οἱ μὲν τὴν ῥοδέαν φασίν, οἱ δὲ τὴν ῥοδο-

δάφνην, ἄλλοι δὲ εἶδος ἀμπέλου τῆς ἐχούσης ξανθὴν σταφυλήν.

Ῥαψῳδοί καὶ ῥαψῳδοῦντες: οἱ τὰ Ὁμήρου ἔπη ἀπαγγέλλοντες ἐν τοῖς θεάτροις. ῥαψῳδῆσαι οὖν ἐστὶν ἤτοι τὸ φλυαρῆσαι ἢ ἁπλῶς λαβεῖν καὶ ἀπαγγέλλειν χωρὶς ἔργου τινός.

Ῥῆγμα; ἡ κατὰ τὸ μῆκος τοῦ τραύματος οὐλή.

Ῥαθυμεῖν: τὸ ἀργεῖν. ἢ κατατρυφᾶν. ἢ τοῖς ἀφροδισίοις σχολάζειν.

Ῥαπίσαι: τὸ πατάξαι τὴν γνάθον ἁπλείστῳ χειρί, οἷον τὸ ἐπὶ κόρρης.

Ῥόθιον: ἡ συντόνως γινομένη εἰρεσία.

Ῥαστώνη: ἄδεια, ἀνάπαυσις.

Σ.

Συνοίσειν: τὸ εἰς ταὐτὸ συμφέρειν. Ταραντῖνοι.

Σύνταξις: φόρος φερόμενος ἀπὸ τῶν ὑπηκόων.

Σιτοφύλακες: ἄρχοντες Ἀθήνησι κληρωτοί. οὗτοι δ' ἐπεμελοῦντο, ὅπως ὁ σῖτος δικαίως πραθήσεται, καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι κατὰ τὰς ὡρισμένας τιμὰς καὶ τὸν σταθμόν.

Σκειραφεῖα: σκειραφεῖά ἐστι τὰ κυβεῖα, ἤτοι ἐπεὶ σκείραφός τίς ἐστιν ὄργανον κυβευτικόν, ἢ ἀπὸ Σκειράφου τινὸς κυβευτοῦ, ἢ ὅτι ἐν τῷ τῆς Σκειράδος Ἀθηνᾶς ἱερῷ οἱ κυβευταὶ ἔπαιζον, ἔξω τῆς πόλεως ὄντι.

Συμμορία τί ἐστι: τὰ συντάγματα τῶν πλουσίων τῶν ἐπιτηδείων πρὸς τριηραρχίας. εἰσὶ δὲ χίλιοι διακόσιοι.

Συμμορίτης:

Σύμβολον: σημαίνει μὲν τὰ σημεῖα, σημαίνει δὲ καὶ τὰ συμβόλαια καὶ τὰ γραμματεῖα. εἰδικῶς δὲ τὸ

σύμβολον δηλοῖ γραμματεῖόν τι, ὃ ἐλάμβανε τῶν δικαστῶν ἕκαστος εἰς ἰὼν εἰς τὸ δικαστήριον, ὅ ἐστι πινάκιον.

Συνήγοροι: ἄρχοντες ἦσαν κληρωτοί, οἳ τοῖς λογισταῖς ἐβοήθουν πρὸς τὰς εὐθύνας τῶν ἀρξάντων τινὰ ἀρχήν. ἢ οἱ τοῖς ἰδιώταις συναγορεύοντες. 5

Σωφρονισταί: ἄρχοντές τινες χειροτονητοί, δέκα τὸν ἀριθμόν, ἑκάστης φυλῆς εἷς. ἐπεμελοῦντο δὲ τῆς σωφροσύνης τῶν ἐφήβων, μισθὸν παρὰ τῆς πόλεως λαμβάνοντες ἕκαστος καθ' ἡμέραν δραχμήν. 10

Σμήνη: ὁ τόπος, ὅπου αἱ μέλιτται καὶ κηρία καὶ τὸ μέλι ποιοῦσιν.

Συγγραφεῖς: οἱ ἠρημένοι παρὰ τῆς πόλεως ἄνδρες, ἵνα συγγράφωσι τοὺς μεθέξοντας τῆς τῶν τετρακοσίων ἀρχῆς. οἱ δ' αὐτοὶ ἐκαλοῦντο καὶ καταλογεῖς. 15

Σηράγγιον: τόπος οὕτω καλούμενος Ἀθήνησιν ἐν τῷ Πειραιεῖ, κτισθεὶς ὑπὸ Σηράγγου. ἔστι δὲ αὐτοῦ καὶ ἡρῷον.

Στεφανηφόρος ἥρως: ἤτοι ὅτι οὕτω καλεῖται ὁ ἥρως, ἢ ἐξ ἐπωνυμίας, διότι περὶ αὐτὸν εἶχε πολλοὺς στεφάνους, ἢ ὅτι πλησίον αὐτοῦ οἱ στέφανοι ἐπιπράσκοντο. 20

Σαργάναι: πλέγμα τι ἀπὸ σχοινίου γινόμενον εἰς ὑποδοχὴν ἰχθύων.

Σκαφεῖον: ἡ λεγομένη ἄμη, ἐν ᾗ σκάπτουσιν. 25

Σιταρχία: τὸ σῖτον διδόναι τοῖς ἐπιβάταις.

Σπογγοκολυμβηταί: οἱ τὰ σπογγία ἀπὸ τῆς θαλάσσης ἀναφέροντες.

Στεφάνη: εἶδος κόσμου περὶ τὴν κεφαλήν.

Σκαφεῖον: ὁ καδίσκος, ᾧ καταχέονται αἱ γυναῖκες. ἐκλήθη δὲ οὕτως, ἐπεὶ καὶ σκάφη εἶδός τι πλοίου, καὶ ὁμοιότροπός ἐστι τῷ πλοίῳ ὁ καδίσκος. ἔστι καὶ κουρᾶς εἶδος τὸ σκαφεῖον, καὶ εἶδος ἄμης γεωργικῆς. 30

Σκαλμοὶ τίνες εἰσί: τὰ ξύλα, ὧν ἐκδέονται αἱ κῶπαι πρὸς τὴν εἰρεσίαν.

Σωλῆνες: οἱ ἀπὸ τῆς λεγομένης ἄντλίας ἐξάγοντες εἰς θάλασσαν τὸ ὕδωρ.

Στρωτήρ: στρωτῆρές εἰσι τὰ μικρὰ δοκίδια, εἰς ὀροφὰς πεποιημένα. οἱ δέ φασι πλέγματά τινα ἀπὸ ῥάβδων εἰς ὀρόφωσιν πεποιημένα. οἱ δὲ σανίδας πάλιν εἰς ὀροφὴν ἐπιτηδείους. ἢ τὸ πλέγμα τὸ ἀπὸ τῶν παπύρων εἰς τὰς σκηνὰς καὶ καλύβας πεποιημένον.

Στρόβιλοι: αἱ στροφαὶ τῶν ἀνέμων αἱ ποιοῦσαι τὸν κονιορτὸν στροβεῖν, καὶ οὐχ οἱ ἐπιθυόμενοι θεοῖς.

Στροβῶν: περιερχόμενος κύκλῳ.

Στρέμμα: ἡ στρογγύλου ἕλκους οὐλή.

Σύνεδροι: οἱ ἀπὸ τῶν συμμάχων μετὰ τῶν Ἀθηναίων βουλευόμενοι περὶ τῶν πραγμάτων.

Στυππεῖον: τὸ στυππεῖον λεγόμενον, ἀφ᾽ οὗ οἱ λινοῖ χιτῶνες γίνονται.

Σίσυφος: ὁ πονηρὸς καὶ κακοῦργος ἄνθρωπος.

Στόμωμα: ὁ κάλλιστος σίδηρος.

Σᾶ: σῶα.

Σκύτος: τὸ δέρμα, ἀφ᾽ οὗ καὶ σκυτοδέψης καὶ σπυτεύς.

Σακχυφάνται: οἱ πλέκοντες τοὺς γυργάθους. ἢ τῶν λινοῦφων οἱ τοὺς σάκκους ὑφαίνοντες.

Στρεπτοί: πλακοῦντες· τὸ πλάσμα στρεπτόν.

Σχοινιοσυμβολεύς: οἱ τὰ σχοινία καὶ τοὺς κλάδους πλέκοντες.

Στεγανόμιον: ὁ φόρος ὁ διδόμενος τοῖς στεγανόμοις.

Σιτοδοτούμενοι: σῖτον ἀπομετρούμενοι.

Σκηνή: οἱ μὲν τὸ κωνωπίσαι. οἱ δὲ δέρματα καὶ στρωτῆρας καὶ δοκούς, οἷς καταπήγνυται πᾶσα σκηνή. οἱ

δὲ εἶδος κόσμου γυναικείου. οἱ δὲ σκεῦός τι οὕτω καλούμενον. οἱ δὲ τὴν νῦν Δελφικὴν καλουμένην.

Σεμναὶ θεαί: αἱ Ἐρινύες.

Σπερμολόγος: ἀναλέκτης.

Στλεγγιδοποιός: ὁ χαλκεύων καὶ ποιῶν τὰς στλεγγίδας. στλεγγίδες δ' εἰσὶν αἱ νῦν λεγόμεναι ξύστραι. 5

Στυράκιον: ἐπιδορατίς, τὸ ἄκρον τῆς αἰχμῆς τοῦ ἑτέρου μέρους, ὅπερ ἐπὶ γῆς εἴωθε πήγνυσθαι, ὅταν ὀρθία οὖν ἡ αἰχμή.

Στυρβάσαι: ταράξαι, ἀφ' οὗ καὶ τύρβη ἡ ταραχή. 10

Σταθμοί: τὰ καταπήγματα.

Στρωματοδεσμός: δέρματα ἐκτὸς τῶν στρωμάτων περιδεσμευόμενα.

Σταφυλοβόλιον: γεωργικὸν σκεῦος, ἐν ᾧ ἀνασκάπτουσι τοὺς ἐν τῇ ληνῷ βότρυας, ἀπὸ τοῦ βάλλειν τὴν σταφυλήν. εἰσὶ δὲ οἱ κόφινοι, ἐν οἷς ἀπὸ τῶν ἀγρῶν φέροντες τὴν σταφυλὴν βάλλουσιν εἰς τὴν ληνόν. ἔνιοι δέ φασιν ἄγγος χωρητικὸν οἴνου. 15

Σπονδοφόροι: οἱ τὰς σπονδὰς φέροντες τοῖς πολεμοῦσιν. 20

Συσσίτια: δεῖπνα, ἃ κοινῇ ποιοῦσιν οἱ Λακεδαιμόνιοι, ὡς ἂν οἱ στρατευόμενοι σύσσιτοι γίγνοιντο.

Σανίς: σανίδες, ἐν αἷς ἀνεγράφοντο οἱ τῇ πόλει ὀφείλοντες καὶ οἱ ἄλλο τι ἠδικηκότες.

Συλλήβδην: συνειλημμένως, ἑκατέρωθεν, συνηθροισμένως, ὅ πέρ ἐστι συλλαβόντα καὶ συναγαγόντα. 25

Σῦλα δοῦναι κατὰ τῆς Χαλκηδονέων πόλεως: ἐπιγράψαι τὴν πόλιν ληστεῦσαι.

Σκευοθῆκαι: τόπος ὅπου τὰ σκεύη ἀπετίθετο τῶν δημοσίων τριήρων, ὧν ἐπεμελοῦντο οἱ τῶν δημοσίων ἄρχοντες. 30

Σιπύα: κιβωτίου εἶδος χωρητικοῦ βιβλίων καὶ τοιαύτης ὕλης. ἄλλοι δὲ σιπύαν φασὶ τὴν ὑδρίαν.

Συνέσκληκεν: συμπέπηγεν.

Σκειρά: ἑορτὴ ἀγομένη Ἀθηνᾶς, ὅθεν σκειραδίων ἐφρόντιζον, ἐπεὶ ἀρχὴ ἦν τοῦ καύματος.

Συλλογεῖς: ἄρχοντες ὑπὸ τοῦ δήμου χειροτονηθοί, οἵ τινες ἀπεγράφοντο τὰς οὐσίας τῶν ὀλιγαρχικῶν. 5

Σκηνευτής: ἤτοι ἐπωνύμιον, ἢ σκηνήν τινα οἰκῶν καὶ οὐκ οἰκίαν, ἢ τὰς σκηνὰς ποιῶν.

Σκειρὰς Ἀθηνᾶ: εἶδος ἀγάλματος Ἀθηνᾶς ὀνομασθέντος οὕτως ἤτοι ἀπὸ τόπου τινὸς οὕτως ὠνομασμένου, ἐν ᾧ γῇ ὑπάρχει λευκή, ἢ ἀπὸ τοῦ σκιαδίου· 10 πρώτη γὰρ Ἀθηνᾶ σκιάδιον ἐπενόησε πρὸς ἀποστροφὴν τοῦ ἡλιακοῦ καύματος.

Σκορακίζονται: ὑβρίζονται, ἐκριπτοῦνται.

Σπαργανώματα: αἱ πρῶται φασκίαι, σύνδεσμοι ἐν οἷς συνδεῖται τῶν ἄρτι τεχθέντων παιδίων τὸ σῶμα, 15 ῥυθμιζόμενον ἐπὶ τὸ ὀρθότερον καὶ εὐμορφότερον.

Σφακελίσαι: κατασαπῆναι καὶ ἀπονεκρωθῆναι.

Σηκός: ὁ σηκὸς σημαίνει ποτὲ μὲν περίφραγμα, ποτὲ δὲ τὴν ἔπαυλιν καὶ τὴν καταγωγὴν τῶν προβάτων, ἄλλοτε δὲ τὸ ἡρῷον τῶν σωμάτων, ἄλλοτε δὲ τὴν ἐλαίαν 20 τὴν πολύκλαδον.

Σκιροφοριών: μὴν Ἀθηναίων δωδέκατος.

Συνέφηβος: ὁ μετά τινος τῶν ἡλικιωτῶν ἐφηβεύσας.

Στάμνους οἴνου ἑξεστηκότος: στάμνος μὲν μέτρον τι οἴνου, ἑξεστηκότος δὲ ἤτοι εἰς ὄξος μεταβα- 25 λόντος ἢ τοῦ τραπέντος εἰς τὸ ὀξίσαι.

Σκαφηφορεῖν: τὸ τοῖς μετοίκους ἐν ταῖς πομπαῖς σκάφας φέρειν πλήρεις θυσιῶν· αὕτη γὰρ ἦν ἡ τῶν μετοίκων λειτουργία.

Συκοφαντεῖν: τὸ φιλαπεχθῶς κατηγορεῖν. κατηγόρουν γὰρ ἀλλήλων ἐπὶ σύκων ἐκφορᾷ. καὶ κυρίως μὲν ἐπὶ τούτου λέγεται, καταχρηστικώτερον δὲ καὶ ἐφ᾽ ἡδήποτε αἰτίᾳ συκοφαντεῖν ἔλεγον. 30

Ἡ ἀπὸ

Ἡ ἀπὸ Σκυθῶν ῥῆσις τί ἐστιν: Ἰδάθυρσος, Σκυθῶν βασιλεύς, Δαρείου πέμψαντος ὡς αὐτὸν πρέσβεις, καὶ κελεύσαντος ἢ ὑπακούειν ἢ ὑπομεῖναι τὸ κινδυνεύειν, ἀπεκρίνατο οἰμώζειν Δαρείῳ.

Σφάκελος: οἱ μὲν τὸν σπασμόν, οἱ δὲ τὸ ἀπόστημα, οἱ δὲ τὴν σῆψιν. 5

Σταθερόν: τὸ σφόδρα θερμὸν σημαίνει, καὶ τὸ ἠρεμοῦν, καὶ τὸ ἑστός.

Σαμοθράκη διὰ τί καλεῖται: κεῖται ἡ νῆσος αὕτη καταντικρὺ τῆς Θράκης, φασὶ δὲ Σαμίους οἰκίσαντας αὐτὴν τὸ ὄνομα θέσθαι. 10

Συνετιμήθη: τὸ πολλῆς τιμῆς γενέσθαι τὰ ὤνια.

Σοβαρός: ὁ σοβῶν, ὁ μετὰ σεμνότητος προϊών.

Συσσημαίνεσθαι: κατασφραγίσασθαι.

Σύνδικος: βοηθός, συνήγορος. 15

Συγγενής: συγγενὴς λέγεται καὶ ἐπὶ ἀνδρὸς καὶ ἐπὶ γυναικός.

Σαπροί: οἱ παλαιοὶ καὶ φθαρέντες.

Σκάνδιξ: λάχανον ἄγριον τὸ αὐτομάτως φυόμενον.

Στατῶν: ἄρχοντές εἰσι, παραπλησίαν ἔχοντες τοῖς ἀγαθοεργοῖς ἀρχήν. 20

Σκιρίτης τί ἐστι: λόχος ἀνδρῶν ἑξακοσίων, οἳ αὐτοὶ καθ' αὑτοὺς ἐστρατεύοντο, καὶ οὐχ ἅμα τοῖς ἄλλοις Λακεδαιμονίοις.

Σταφυλοδρόμοι: κατὰ τὴν τῶν Καρνείων ἑορτὴν στέμματά τις περιθέμενος τρέχει, ἐπευχόμενός τι τῇ πόλει χρηστόν, ἐπιδιώκουσι δὲ αὐτὸν νέοι, σταφυλοδρόμοι καλούμενοι. καὶ ἐὰν μὲν καταλάβωσιν αὐτόν, ἀγαθόν τι προσδοκῶσι κατὰ τὰ ἐπιχώρια τῇ πόλει· εἰ δὲ μή, τοὐναντίον. 25 30

Στεμματιαῖον: μίμημα τῶν σχεδίων, αἷς ἔπλευσαν οἱ Ἡρακλεῖδαι τὸν μεταξὺ τῶν Ῥίων τόπον.

Τ.

Τάλαντα: ζυγὰ οἱ παλαιοί. τάσσεται καὶ ἐπὶ ὡρισμένου νομίσματος παρὰ Ἀττικοῖς. δύναται δὲ τρεῖς χρυσοῦς ὁ Θυατειρηνός. ἄλλα δὲ παρ' ἄλλοις κατὰ τὴν ὁλκὴν τάλαντα.

Ταμίαι τίνες εἰσὶ καὶ πόσοι: ἄρχοντές εἰσιν Ἀθήνησι, δέκα, ἀπὸ πεντακοσιομεδίμνων, κληρωτοί, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια, καὶ αὐτὸ τὸ ἄγαλμα τῆς θεοῦ καὶ τὸν κόσμον φυλάττουσιν.

Ταξίαρχοι τίνες εἰσὶ καὶ πόσοι: ἄρχοντες ἡγούμενοι τῶν πολιτῶν κατὰ φυλήν, χειροτονητοί, δέκα τὸν ἀριθμόν, οἷς ὑπετέτακτο τὸ πλῆθος κατὰ φυλήν.

Τεσσαράκοντα τίνες εἰσίν: ἀρχή τίς ἐστι κληρωτή, τεσσαράκοντα τὸν ἀριθμόν, πρὸς οὓς αἱ ἴδιαι δίκαι ἐλαγχάνοντο καὶ τὰ μέχρι δέκα δραχμῶν· τὰ δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς δικασταῖς παραδιδόασιν.

Τρίτον ἡμίδραχμον: δύο δραχμαὶ καὶ τῆς τρίτης τὸ ἥμισυ, ὡς εἶναι δύο δραχμὰς καὶ τριώβολον. ὅμοιον τὸ ἕβδομον ἡμιτάλαντον παρ' Ἡροδότῳ.

Τριακόσιοι τίνες εἰσίν: οἱ πλούσιοι καὶ πρὸς τὰς λειτουργίας ἐπιτήδειοι.

Τριττύς: τρίτον μέρος τῆς φυλῆς.

Τριττύαρχοι: οἱ τῶν τριττύων ἄρχοντες.

Τριτημόριον: τριτημόριόν ἐστιν οἱ ἐξ χαλκοῖ.

Τρικέφαλος: ὄνομα ἀγάλματος τοῦ Ἑρμοῦ.

Τροχισθεῖσα: βασανισθεῖσα, ἀπὸ τροχοῦ, ὅ πέρ ἐστιν ὄργανον βασανιστικόν, διατεῖνον τὰ σώματα τῶν βασανιζομένων.

Τελεσιαζόμενα: θυόμενα καὶ τελούμενα.

Τριτόμηνις: ἑορτὴ ἀγομένη Ἀθηνᾶς τῇ τρίτῃ.

Τραπεζοφόρος: ἱέρεια ἡ τὴν τράπεζαν παραθεῖσα τῇ Ἀθηνᾷ.

Τρίβαλλος: ἔθνος Θρᾳκῶν. ἢ ἐπώνυμον τῶν συκοφαντούντων.

Ταλασία: τὸ ἔριον. ἀφ᾽ οὗ καὶ ταλασιουργοὶ οἱ ἱστουργοί. 5

Τρίγλυφοι: ἤτοι οἱ διαγεγλυμμένοι τρίς, ἢ οἱ τοιαύτην ἐργασίαν ἔχοντες, ὥςτε οὕτω καλεῖσθαι.

Τρόπεις τίνες εἰσί: τὰ ξύλα τὰ διήκοντα ἀπὸ πρώρας εἰς πρύμναν, ἐξ ὧν οἱ γόμφοι καὶ τὰ ἄλλα ἤρτηνται. 10

Τρίγωνον: ὄνομα δικαστηρίου, ἀπὸ τοῦ σχήματος.

Τετράδραχμον: ὁ στατήρ, ἐπεὶ ἔχει τέσσαρας δραχμάς.

Τέλματα: τὰ κάθυγρα χωρία καὶ ποώδη. 15

Τριπάτορες: οἱ μὲν τοὺς πρώτους ἀρχηγέτας, οἱ δὲ τρίτους ἀπὸ τοῦ πατρός, ὅ πέρ ἐστι προπάππους.

Τέτρυπημένη ψῆφος: τῶν ψήφων οὐσῶν χαλκῶν καὶ αὐλίσκον ἐχουσῶν, αἱ μὲν ἦσαν ὅλαι τετρημέναι, ὅσαι κατεψηφίζοντο, αἱ δὲ πλήρεις ἀτρύπητοι, ὅσαι ἠφίεσαν τοὺς κρινομένους. τετρυπημένη ψῆφος τοίνυν ἐστὶν ἡ τῶν καταψηφισθέντων δίκη. 20

Τραγικὸς Θεοκρίνης ὁ Αἰσχίνης ὠνόμασται ὑπὸ Δημοσθένους, διὰ τὸ ὑποκριτὴν εἶναι τὸν Αἰσχίνην καὶ συκοφάντην. ὁ γὰρ Θεοκρίνης ἐπὶ συκοφαντίᾳ ἐκωμῳδεῖτο. 25

Τιμαγόρας: ὄνομα κύριον, ὃς πρεσβευτὴς ὑπὸ Ἀθηναίων πεμφθεὶς πρὸς βασιλέα, χρυσὸν καὶ ἄργυρον ἔλαβεν ἐπὶ προδοσίᾳ· ὃν καὶ ἀνεῖλον οἱ Ἀθηναῖοι.

Τοὖψον τί ἐστιν: ὅπου τὰ ὄψα πιπράσκεται. 30

Τηλία: ἤτοι ξύλινόν τι, ἐφ᾽ οὗ ἔπαιζον οἱ κυβεύοντες, ἢ πλέγμα τι ψιαθῶδες στρογγύλον, ἐφ᾽ οὗ συνέβαλλον τοὺς ἀλεκτρυόνας.

νίαν: Πρὸς τὸν ἄρχοντα κακώσεως ἐλαγχάνοντο γραφαὶ καὶ τῶν γονέων, εἰ τούτους τις αἰτίαν ἔχοι κακοῦν, καὶ τῶν ὀρφανῶν· ἔτι δὲ παρανοίας καὶ ἀργίας ἐπιδικασίαι καὶ ἐπικλήρων γυναικῶν. ἁπάσας ταύτας ἦγεν ὁ ἄρχων εἰς τὸ δικαστήριον, ἡγεμονίαν αὐτῶν ἔχων. Οἱ λογισταὶ τὰς εὐθύνας ἁπάσας εἰσῆγον. Ὁ βασιλεὺς εἰσάγει τὰς φονικὰς ἁπάσας, ἐπεὶ καὶ προαγορεύει τὸν ἀνδροφόνον εἴργεσθαι τῶν νόμων, καὶ περὶ τῶν ἱερῶν καὶ τοῖς γένεσι δικάζει. Ὁ πολέμαρχος ἀποστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις· καὶ τἆλλα, ὅσα τοῖς ἀστοῖς ὁ ἄρχων, οὗτος τοῖς μετοίκοις παρέχεται. Οἱ θεσμοθέται εἰσῆγον ξενίας καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως. Οἱ ἕνδεκα τοὺς κλέπτας καὶ τοὺς λωποδύτας καὶ ἀνδραποδιστὰς ὁμολογοῦντας μὲν ἀποκτιννύουσιν, ἀντιλέγοντας δὲ εἰσάγουσιν εἰς τὸ δικαστήριον. Οἱ διαιτηταὶ πᾶσαν δίκην δικάζουσι πλὴν τῶν ξενικῶν, οἷον πρόκλησιν νεμήσεως ἐπί τινων ἢ κληρονομίας ἢ κοινὸν ἀγορασμόν. κυρίως μέντοι οἱ διανέμοντες τὰ κοινά τισιν. Οἱ τεσσαράκοντα, οὓς ἐχειροτόνουν μάλιστα φυλάττειν τὸν δῆμον, οὗτοι, ἕως ἦσαν οἱ τριάκοντα, ἕως δέκα δραχμῶν ἐδίκαζον κατὰ δήμους. Οἱ πεντακόσιοι τοὺς ἐπὶ ἑταιρήσει δικαζομένους ἔκρινον. ἐδοκιμάζοντο δὲ ἐπὶ τῷ ἑταιρηκέναι δοκεῖν ἢ μὴ οὐχ ἅπαντες Ἀθηναῖοι, ἀλλ' οἱ ῥήτορες οἱ πολιτευόμενοι καὶ τὰ ψηφίσματα γράφοντες.

Ἐν ποίοις δικαστηρίοις τίνες λαγχάνονται δίκαι; Ἡλιαία. καλεῖται δὲ μέγα δικαστήριον καὶ οἱ χίλιοι δικασταί. ἐν τούτοις ἀρχαιρεσίαι γίνονται καὶ αἱ μέγισται κρίσεις καὶ αἱ διοικήσεις. ἐκαλεῖτο δὲ καὶ μεγάλη ἐκκλησία. Ἡλιαία δὲ ἐκλήθη ἤτοι παρὰ

τὸ ἐν αὐτῇ ἁλιάζεσθαι, τουτέστιν ἀθροίζεσθαι, ἢ διὰ τὸ ὕπαιθρον εἶναι τὸν τόπον καὶ ἡλιοῦσθαι.

Ἐπὶ Παλλαδίῳ. οἱ ἀκούσιοι φόνοι ἐν τούτῳ ἐκρίνοντο. φασὶ γὰρ Δημοφῶντα, ἁρπάσαντα Διομήδους τὸ Παλλάδιον, φεύγειν ἐφ' ἅρματος, πολλοὺς δὲ ἐν τῇ φυγῇ ἀνελεῖν, συμπατήσαντα τοῖς ἵπποις. ὅθεν πρῶτον γενέσθαι ταύτην δίκην ἀκουσίων φόνων ἐπὶ Παλλαδίῳ. δικάζουσι δὲ ἐν τούτῳ οἱ ἐφέται.

Περὶ Ἀρείου πάγου. αὕτη κρίνει τὰς φονικὰς δίκας καὶ φαρμάκων καὶ πυρκαϊᾶς. εἰς ταύτην ἀναβαίνουσιν οἱ καλῶς ἄρξαντες θεσμοθέται, ἀνυπεύθυνοι γενόμενοι.

Ἐπὶ Δελφινίῳ ὁμολογούμενος φόνος ἔννομος δικάζεται.

Ἐπὶ πρυτανείῳ. ἐὰν λίθος ἢ σίδηρος ἢ ξύλον φανῇ, τὸν δὲ δράσαντα ἀγνοῇ.

Ἐν Ζέᾳ. τόπος ἐστὶ παράλιος. ἐνταῦθα κρίνεται ὁ ἐπ' ἀκουσίῳ μὲν φόνῳ φεύγων, αἰτίαν δὲ ἔχων ἐπὶ ἑκουσίῳ φόνῳ.

Ἐν Φρεαττοῖ. οἱ ἐπ' ἀκουσίῳ φόνῳ φεύγοντες, ἐπ' ἄλλῳ δέ τινι κρινόμενοι· οἱ ἐπὶ πλοίῳ ἑστῶτες ἀπολογοῦνται.

Τί ἐστιν ἀμφιορκία: ὤμνυον οὐ μόνον οἱ δικάζοντες, ἀλλὰ καὶ αὐτοὶ οἱ κρινόμενοι. καὶ ὁ μὲν διώκων προώμνυεν, ὁ δὲ φεύγων ἐπώμνυεν.

Υ.

Ὑπερήμεροι καὶ ὑπερημερία τί ἐστιν: ἐγκλήματος εἶδος. οἱ δίκην ὀφλόντες ὁποιανοῦν, καὶ τὰ ἐπιτίμια μὴ ἀποδιδόντες τοῖς ἑλοῦσιν ἐν ταῖς αὐταῖς προθεσμίαις, ὑπερήμεροι ἐκαλοῦντο, καὶ τὸ πρᾶγμα ὑπερημερία.

Ὑποβολῆς γραφὴ τί ἐστιν: εἶδος ἐγκλήματος. εἴ

τις ἐγκαλοίη τινὶ ὡς ὑποβολιμαῖος εἴη, ἐγράφετο ὑποβολῆς, καὶ ἁλόντα αὐτὸν ἔδει πεπρᾶσθαι.

Ὑποστείλασθαι τί ἐστιν: οὐ μόνον κλέψαι, ἀλλὰ καὶ φοβηθῆναι.

Ὑποκυδεῖς τίνες εἰσί: κοῖλοι τόποι.

Ὑπογενειάζων: τοῦ γενείου λαμβανόμενος καὶ ἀσπαζόμενος.

Ὑπόλογον: συγγνώμη, παραίτημα. καὶ ἐμπόδιον, καὶ ὑπόλυμα.

Ὑφορμισάμενος: λάθρᾳ καὶ κακούργως ὁρμισάμενος.

Ὑπομνήστριαι τίνες εἰσίν: αἱ ὑμνοῦσαι τὴν θεὸν ἱέρειαι.

Ὕπερα: τὸ τοῦ κέρως σχοινίον, ᾧ ἀνίεται καὶ διατείνεται τὸ ἱστίον, ἀφ᾽ οὗ καὶ παροιμία ἐπὶ τῶν ἃ δεῖ ἔχειν ἀφιέντων, ἃ δὲ μὴ δεῖ κρατούντων.

Ὑδροῤῥόη: ὁ νῦν ὕδρωψ καλούμενος.

Ὑμέναιος: ὁ ἐν τοῖς γάμοις ᾀδόμενος ὕμνος. Ὑμέναιος γάρ ἐστι πρόπολος Ἀφροδίτης καὶ Ἐρώτων.

Ὑποτροπιαζούσης: ὑποστρεφούσης, ἀνατροπιαζούσης.

Ὑπωπιάζων: ὑπτίως καὶ οὐκ ὀρθῶς περιπατῶν.

Ὑπόθεσις: σημαίνει μὲν καὶ ἄλλα, σημαίνει δὲ καὶ ὑποθήκην.

Ὑποτείνουσιν: ὑποβάλλουσι, προτείνουσιν.

Ὑπεκήρυξε: τὸ ὑπὸ τῷ κήρυκι τῷ δημοσίῳ στῆναι καὶ ποιῆσαί τι διὰ τοῦ κήρυκος φανερῶς.

Ὑπηρέσιον: μισθὸς τοῖς ὑπηρετοῦσι τοῖς στρατευομένοις καὶ ἐρέσσουσι καὶ δουλεύουσιν.

Ὑπερίστορα: ὑπερεπιστήμονα.

Ὕβρις: ὄνομα δίκης ἀγῶνος δημοσίου.

Ὑφήγησις: δίκη ἐστὶν εἰσαγομένη κατὰ τῶν ὑποδεξαμένων τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς

χώρας, οἷον φυγάδα ἢ ἀνδροφόνον· ἢ ὅταν τῶν δημοσίων τι κατέχειν δοκῇ τις κρύφα.

Ὑπὸ μάλης: ἑνικῶς μὲν λεγόμενον μετὰ τῆς προθέσεως ὑπὸ μάλης, πληθυντικῶς δὲ μασχάλης.

Ὑποφόνια: τὰ διδόμενα τοῖς οἰκείοις τοῦ βιαίως τελευτήσαντος ὑπὸ τοῦ φονέως ἐπὶ τῷ μὴ ἐξέρχεσθαι τὴν τοῦ φόνου δίκην. 5

Ὑπωμοσία: ὁπόταν τις νόμον ὑπ' ἄλλου εἰσηγηθέντα γράψηται παράνομων, ἢ αὐτὸς ὁ εἰσηγησάμενος καταγνοὺς αὐτοῦ ἐξομόσηται παραλελογίσθαι. ὑπωμοσία δὲ ἐκλήθη, ὅτι ὀμνύντες οἱ εἰσηγησάμενοι, μήτε ἐπ' ἀργυρίῳ τὸν νόμον θέσθαι μήτε κατὰ χάριν, ἀπελύοντο. 10

Ὑγεία τί ἐστι: μαζίον τι ψαιστῶδες, ὅπερ ἐδίδοτο τοῖς θυομένοις.

Ὑπόγυον: τὸ παραυτίκα μέλλον γίνεσθαι. 15

Φ.

Φενακίζειν: ἐξαπατᾶν.

Φαίνειν: εἶδος ἐγκλήματος δημοσίου καὶ ἰδιωτικοῦ. ὅταν γάρ τις ἀποφήνῃ ἔχοντά τινα τῶν δημοσίων τι, μὴ πριάμενον, ἢ ἔμπορον ἀλλαχόθι ἐργαζόμενον, καὶ οὐχὶ εἰς τὸ Ἀθηναίων ἐμπόριον, δημόσιόν ἐστιν ἀδίκημα· ὅταν δὲ μὴ ἐκμισθώσωσι τὸν τῶν ὀρφανῶν οἶκον οἱ ἐπίτροποι, ἰδιωτικόν ἐστι τὸ ἀδίκημα. 20 25

Φθόη τίς ἐστιν: ἡ λεγομένη φθίσις.

Φράτορες καὶ φρατορία καὶ φρατοριάρχος: φρατορία μὲν τὸ τρίτον μέρος τῆς φυλῆς, φρατοριάρχος δὲ ὁ ἡγούμενος τούτου τοῦ μέρους, φράτορες δὲ οἱ ἐγγραφόμενοι εἰς τὸ ληξιαρχικὸν γραμματεῖον τῇ τῶν Ἀπατουρίων ἑορτῇ. 30

Φύλαρχος: ὁ κατὰ φυλὴν ἑκάστην τῆς ἵππου ἄρχων

φύλαρχος καλεῖται. ἦσαν δὲ δέκα τὸν ἀριθμόν, ὑποτεταγμένοι τῷ ἱππάρχῳ.

Φιμοί: κυβευτικὰ ὄργανα.

Φασκώλιον: ἄγγος δεκτικὸν βιβλίων καὶ ἱματίων καὶ ἀργυρίου. τάχα δέ ἐστι τὸ ποτήριον ἢ τὸ βιβλιοφόριον. 5

Φυλλίδαι τί ἐστιν: γένος ἱερὸν ἀπὸ Φυλλίδος ἢ Φυλλέως.

Φορβαντεῖον: ἡρῷον Φόρβαντος, ὃς ἦν ἡνίοχος Θησέως. 10

Φαιδρυντής: ὁ φαιδρύνων τὰ ἀγάλματα καὶ τοὺς νεώς.

Φροῦδος: ὁ ἀφανής.

Φραγμός: τὸ περίφραγμα καὶ τεῖχωμα ἐντελές, ὅ πέρ ἐστι καὶ αἱμασιά. 15

Φαρμακοτρίπται: οἱ βαφεῖς οἱ τὰ φάρμακα τρίβοντες, ἢ οἱ τὰ φάρμακα πωλοῦντες.

Φαλάγγιον: γένος ὄφεως.

Φώκη: εἶδος θαλασσίου θηρίου.

Φαρμακοπῶλαι: οἱ τοὺς ὄφεις τρέφοντες. 20

Φιλοσόφημα: ἐπινόημα, τεχνίτευμα.

Φερεφαττεῖον: τὸ ἱερὸν τῆς Περσεφόνης.

Φαρμακῶντα: φάρμακον πεπωκότα.

Φιλάμμων: ὄνομα κύριον πύκτου Ἀθηναίου, ὃς ἐνίκα Ὀλυμπιάδα ἑκατοστὴν πέμπτην. 25

Φρυνώνδας: ὄνομα κύριον. ἔστι δὲ καὶ οὗτος τῶν ἐπὶ πονηρίᾳ κωμῳδουμένων.

Φιλοτησία: κύλιξ τις οὕτω καλουμένη φιλοτησία, ἣν καὶ κατὰ φιλίαν ἀλλήλοις προὔτεινον.

Φωρᾶν: τὸ τὰ κλοπιμαῖα ζητεῖν. 30

Φόρεινα: σημαίνει τῶν κρεῶν τὰ ἐσθιόμενα.

Φοίνικες: ποικίλον τι, ἐπιβούλαιον.

Φαῦλον: τὸ φαῦλον σημαίνει δέκα. ἐπί τε προσώπου καὶ πράγματος τὸ κακόν, τὸ μικρὸν καὶ τὸ εὐκαταφρόνητον, καὶ τὸ ἀσθενές, καὶ τὸ ἄδοξον, καὶ τὸ ἀνόητον, καὶ τὸ ἁπλοῦν, καὶ τὸ ταπεινόν· καὶ ἐπὶ τοῦ πένητος, καὶ ἐπὶ τοῦ ἐναντίου τῷ σπουδαίῳ, καὶ ἐπὶ τοῦ εὐτελοῦς. 5

Φορμός: φορμός ἐστι πλέγματός τινος μεγάλου εἶδος, ἐν ᾧ ἐκοιμῶντο οἱ πένητες ἢ κατετίθεντο τὰ ὄσπρια. τάχα δὲ ἡ λεγομένη ἀποκαλά.

Φέλλερα: τὰ πετρώδη καὶ αἰγίβοτα χωρία. 10

Φηλώματα: αἱ ἀπάται, παρὰ τὸν φήληκα. φήληξ δ' ἐστὶν ὁ ὄλυνθος ὁ φαινόμενος μὲν ὥσπερ πέπειρος, οὐκ ὢν δέ.

Φωρῶν λιμένα: ὁ φωρῶν λιμὴν ἐστιν ἐν μεθορίῳ τῆς Ἀττικῆς, ἔνθα οἱ λῃσταὶ καὶ κακοῦργοι ὁρμίζονται. 15

Φάσις: μήνυσις πρὸς τοὺς ἄρχοντας κατὰ τῶν ὑπορυττόντων τὸ μέταλλον, ἢ κατὰ τῶν ἀδικούντων χωρίον ἢ οἰκίαν ἤ τι τῶν δημοσίων, ἢ κατὰ τῶν ἐπιτρόπων τῶν μὴ μεμισθωκότων τὰς οἰκίας τῶν ὀρφανῶν.

Φιλουργός: ὄνομα κύριον Ἀθηναίου ἱεροσύλου. 20

Φράτορες: συγγενεῖς, οἰκεῖοι.

Φαρμακός: ἀνὴρ πονηρός.

Φιλόνεικος: ὁ παρὰ τὸ βέλτιστον νικᾶν θέλων.

Φιλότιμος: ὁ τοιαῦτα ποιῶν, ἐξ ὧν τινὰ δόξαν παρὰ τῶν ἄλλων τεύξεται. 25

Φρυκτός: ἡ κεκαυμένη δᾴς.

Χ.

Χιλιωθέντα: χιλίας δραχμὰς ὀφλόντα. 30

Χλίδος τί ἐστιν: ὁ κλῆρος τῶν ἀποκαθαρμάτων, ὁ ἔχων ἱλύν τινα καὶ βοτανώδη καὶ φρυγανώδη.

Χρήστης: καὶ ὁ δανειστὴς καὶ ὁ δανεισάμενος χρήστης παρὰ τοῖς ῥήτορσιν ἐλέγετο.

Χρυσοχοεῖν ἐμάνθανε τί ἐστι: παροιμία ἐν ἤθει λεγομένη ἀντὶ τοῦ ἐπόρνευσεν.

Χύτροι τίνες εἰσίν: ἑορτή τις Ἀθήνησιν οὕτω καλουμένη, ἐν ᾗ ἑξῆν σκώπτειν καὶ τοὺς ἄλλους, μάλιστα δὲ τοὺς πολιτευομένους. 5

Χοίνικες: τὸ μέτρον τῶν ὀσπρίων. σημαίνει δὲ καὶ τὰς πέδας, τουτέστι τὰ δεσμά.

Χόες: ἑορτὴ Ἀθήνησιν αὐτογενής. 10

Χωρὶς οἰκοῦντες: οἱ ἀπελεύθεροι, ἐπεὶ χωρὶς οἰκοῦσι τῶν ἀπελευθερωσάντων. ἢ δοῦλοι χωρὶς οἰκοῦντες τῶν δεσποτῶν.

Χρυσίδες τίνες λέγονται: φιάλαι χρυσαῖ.

Χῶμα τί ἐστιν: ὄνομα τόπου ἐν Πειραιεῖ. 15

Χειμάδια: τόπος ἐφ᾽ ὃν ἄν τις δύναιτο χειμῶνος ἐγκαθορμίσασθαι.

Χωράρχαι: οἱ ἄρχοντες τῆς χώρας.

Χόρειον: ἄγγος ἢ ἀσκός.

Χάρακες: οἱ καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀγόμενοι χοροί. 20

Χαρακτήρ: ἡ σφραγίς, ὁ τοῦ νομίσματος τύπος.

Χρηματίζεσθαι: χρήματα πράττεσθαι.

Χαλκῶ: ὄνομα τόπου, ὅπου ὁ χαλκὸς πιπράσκεται δὲ ὅπου τὸ Ἡφαιστεῖον.

Χάλαζα: ὄμβρος παχύς, ψήφους ἔχων καὶ ὕδωρ πε- 25 πηγός.

Χρημάτων: σημαίνει καὶ τὸ ἀργύριον καὶ τὰ χρήματα καὶ τὴν ὅλην οὐσίαν. κεῖται δὲ καὶ ἐπὶ πράγματος ἢ προσώπου ἢ λόγου, καὶ ἐπὶ τῶν ἐμπορικῶν φορτίων, καὶ ἐπὶ χρυσοῦ τρίποδος. 30

Χέρνιψ: ἄγγος ἔλαιου, εἰς ὃ ἐνέβαπτον τὰς δᾷδας καὶ περιέῤῥαινον τὸν βωμόν.

Χρηματισάμενοι: ἀντὶ τοῦ διαπραξάμενοι.

Ψ.

Ψευδοκλησίας: ὄνομα δίκης ἐστίν, ἣν εἰςίασιν οἱ ἐγγραφόμενοι ὀφείλειν τῷ δημοσίῳ, ἐπειδὰν αἰτιῶνται ψευδῶς κατεσκευάσθαι κλητῆρα κατ' αὐτῶν πρὸς τὴν δίκην, ἐφ' ἣν ὤφλον.

Ψευδεγγραφή: ὄνομα δίκης ἐστίν, ἣν εἰςίασιν οἱ ἐγγεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ. οἱ δ' ἁλόντες τῆς ψευδεγγραφῆς αὐτοὶ ἀντενεγράφοντο ὀφείλειν τῷ δημοσίῳ.

Ψιθυριστὴς Ἑρμῆς: ἀγάλματά εἰσιν Ἀθήνησιν ψιθυριστοῦ καὶ Ἔρωτος καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ, ἅπερ πρῶτος ἐποίησε Θησεύς, ἐπειδὴ Φαῖδρα ἐψιθύρισε Θησεῖ κατὰ Ἱππολύτου, διαβάλλουσα αὐτόν. ἢ ὅτι παρὰ τὸ τοῦ Ἑρμοῦ ἄγαλμα πορευομένους τὰ ἀπόρρητα συντίθεσθαι καὶ ψιθυρίζειν ἀλλήλοις περὶ ὧν βούλονται.

Ψωφίς: ὄνομα τόπου οὕτω καλουμένου.

Ψυχάζουσιν: πρὸς τὸ πνεῦμα καὶ τὸ ψύχος διατρίβουσιν, ἵνα ἀναψυχήν τινα λάβωσιν.

Ψυχαγώγιον: ὅπου τὸ ὕδωρ ἀνιμηθὲν ταμιεύεται πρὸς τὴν ἔνδειαν τῶν χωρίων. ἢ αἱ θυρίδες τῶν μετάλλων αἱ πρὸς τὸ ἀναψύχειν γινόμεναι. ἢ ὄνομα τόπου, ἐφ' οὗ οἱ μάντεις, ἀπὸ τῶν ψυχῶν μαντευόμενοι, ἀναφέρουσι τὰς ψυχὰς τῶν νεκρῶν.

Ψαιστά: πόπανα, πλατύμματά τινα στρογγύλα στέατος, εἰς θυσίαν γινόμενα.

Ψύχουσιν οἶνον: ἤτοι τὸν οἶνον ἐκεῖ ψύχουσι, τοῦ τόπου ὄντος ψυχροῦ, ἢ ὡς τῶν πολὺν οἶνον πινόντων ἐκεῖ ἐρχομένων καὶ ἀναψυχόντων.

Ω.

Ὠιδεῖον: θέατρον Ἀθήνησιν, ὃ πεποίηκε Περικλῆς εἰς

τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς· ἐν ᾧ καὶ δικαστήριον ἦν σίτου. καὶ ἅλφιτα διεμετρεῖτο ἐκεῖ.

Ὤκιμον: ὄνομά ἐστιν ἑταίρας ἤτοι κύριον ἢ ἐπώνυμον.

Ὦ τάν: ὦ οὗτος.

Ὠγάνον: κνημὶς ἁμάξης.

Ὠδησα: ἐφορτισάμην καὶ ὁδαῖον φορτίον.

Ὤκλαζε: συνέκαμπτε τὰ γόνατα.

Ὠλένιον: κακὸν δεινόν.

Ὠλεσίοικοι: οἱ ἄσωτοι ὑπὸ Ἀττικῶν.

Ὠλίγγην: ἀκαριαῖον, ἐλάχιστον. τάσσειν δὲ Ἀθηναίους καὶ ἐπὶ τοῦ νυστάξαι. καὶ τὰς ἐπὶ τῶν βλεφάρων οἷον ῥυτίδας ὠλίγγας. τὴν δὲ ὠλίγγην δηλοῦν καὶ πνοὴν καὶ σκιὰν καὶ ἀκαρὲς πνεῦμα. τὸ δὲ ὠλίγγιον ὀλίγον σημαίνει.

Ὠμοργές: σκληρόν. καὶ ὠμοργὸς σκληρὸς καὶ χαλεπός.

Ὠμήλυσις: τὸ κρίθινον ἄλευρον καὶ τὸ ἐξ αὐτοῦ κατάπλασμα. εἰρῆσθαι δέ, ὅτι οὐ φρυγόμενον ἀλήθεται.

Ὠμοκυδιᾷ: ἐπὶ τῇ τῶν ὤμων εὐεξίᾳ μέγα φρονεῖ.

Ὡς σέλινος ἀναβάλλει τὸν τόκον: παροιμία ἐπὶ τῶν πρὸς τὸ χεῖρον χρονιζόντων.

Ὠσχοί: τὰ μεγάλα κλήματα σὺν αὐτοῖς τοῖς βότρυσι. καὶ ὠσχοφόροι οἱ ταῦτα τῇ Σκειράδι Ἀθηνᾷ προσφέροντες ἐν γυναικείαις στολαῖς δύο νεανίαι παρὰ τοῦ Διονύσου. καὶ ἡ τῆς θεοῦ ταύτης ἑορτὴ ὠσχοφόρια λέγεται.

Ὠσχοφορίον: τόπος Ἀθήνησιν, ἔνθα καὶ τὸ ἱερὸν τῆς Ἀρτέμιδος.

ΣΥΝΑΓΩΓΗ

ΛΕΞΕΩΝ ΧΡΗΣΙΜΩΝ

ΕΚ ΔΙΑΦΟΡΩΝ ΣΟΦΩΝ ΤΕ
ΚΑΙ ΡΗΤΟΡΩΝ ΠΟΛΛΩΝ.

Ἄαατον: ἀναμάρτητον, ἀβλαβές, ἀγνόν, ἄπονον, ἀπαθές, ἄνευ ἄτης.

Ἀάασθαι: λωβᾶσθαι, κακοῦν.

Ἀάατον: ἀπλήρωτον. Ἀθηναῖοι ἀκόρεστον.

Ἀάασαι: βέβλαψαι. ἀφ᾽ οὗ τὸ τρίτον πρόςωπον ἀᾶται ἤγουν βέβλαπται. σημαίνει δὲ καὶ τὸ κορέσαι καὶ καθυπνῶσαι καὶ λυπῆσαι. 5

Ἀασάμην: ἥμαρτον, ἐσφάλην.

Ἄατος: ἀπλήρωτος, ἀβλαβής. οἱ δὲ ἐπιβλαβής.

Ἀβάλε: εἴθε. 10

Ἄβαλεν: ἔβαλεν ἢ μᾶλλον ἔλαβεν.

Ἄβαπτος: ἀστόμωτος.

Ἄβατον: ἱερόν, ἀπρόςιτον, ἔρημον.

Ἀβασάνιστος: ἀγύμναστος. ἢ ἀνεξέταστος, ἀδοκίμαστος. εἴρηται δὲ ἀπὸ τῆς βασάνου, τῆς χρυσοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸ χρυσίον. ἐχρήσατο δὲ Αἰλιανὸς ἐν τῷ περὶ προνοίας τρίτῳ τῷ ἀβασανίστως ἀντὶ τοῦ ἄνευ ὀδύνης. 15

Ἀβδέλυκτα: ἀμύσακτα, ἀμίαντα, τὰ μὴ μιαίνοντα, ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυςχεράνειε. τραγικωτέρα δὲ ἡ λέξις. Αἰσχύλος· 20

καὶ μὴν φιλῶ γε, κἀβδέλυκτά μοι τάδε.

Ἀβέβηλος: καθαρός.

Ἀβελτερία: ἀνοησία.

Ἀβέλτερος: ἀνόητος, μωρός. 25

Ἀβλεπτήματι: ἁμαρτήματι.

Ἀβληχρήν: ἀσθενῆ. βληχρὸν γὰρ τὸ ἰσχυρόν.
Ἄβολος: οὐδέπω ἔχων τι ἐπὶ τῶν ὀδόντων γνώρισμα.
Ἀβούλητον κακόν: ἀθέλητον, ὃ οὐ θέλει τις.
Ἀβουλία: ἀπαιδευσία, ἄγνοια.
Ἀβούλως: ἀφρόνως, ἀμαθῶς.
Ἀβουλεῖν: μὴ βούλεσθαι ἢ μὴ βουλεύεσθαι. Πλάτων.
Ἀβόλως: ποταμὸς ἐπὶ Ταυρομενίων.
Ἀβολήσας: συντυχών.
Ἀβολητύς: ἔντευξις, ἀπάντησις.
Ἄβου: βάλλει, θορυβεῖ.
Ἁβρὰ βαίνων: θρυπτόμενος, βλακευόμενος.
Ἄβρα: ἡ σύντροφος καὶ παρὰ χεῖρα θεράπαινα.
Ἄβραι: νέαι δοῦλαι. οἱ δέ φασιν, οὔτε ἁπλῶς ἡ θεράπαινα λέγεται, οὔτε ἡ εὔμορφος, ἀλλ' ἡ οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος, εἴτε οἰκογενὴς εἴτε μή.
Ἀβραμιαῖος: γιγαντιαῖος, ἱεροπρεπής.
Ἁβροδιαίτη: τρυφερᾷ ζωῇ καὶ ἁπαλῇ.
Ἁβροδίαιτος: τρυφητής, τρυφερόβιος.
Ἁβρὸς λειμών: καινότερος καὶ εὐθαλής.
Ἁβρός: τρυφερός, λαμπρός, ἁπαλός.
Ἁβροσύνη: φαιδρότης.
Ἀβροκόμης: ὄνομα κύριον.
Ἀβροτήμων: ἁμαρτωλός.
Ἁβρότητι: τρυφερότητι.
Ἄβροτον: ἄψυχον, ἀσθενές.
Ἁβροχίτων: τρυφερὰ φορῶν.
Ἀβρύνεται: κοσμεῖται, θρύπτεται, καυχᾶται.
Ἀβύρβηλον: πολύ, ἀναίσχυντον, ἀπεχθές, μάταιον.
Ἄβυδον: φλυαρίαν τὴν πολλήν.
Ἄβυδος: ἐπὶ ταραχῇ καὶ εὐχερείᾳ λόγου.
Ἀβυδοκόμης: ὁ ἐπὶ τῷ συκοφαντεῖν κομῶν. τοιοῦτοι γὰρ οἱ Ἀβυδηνοί. καὶ ἡ παροιμία· μὴ εἰκῇ τὸν Ἄβυδον· ἢ ἐχρῶντο ἐπὶ τῶν εἰκαίων καὶ οὐδαμινῶν.

Ἄβαρις: ὄνομα κύριον.

Ἄβρωτος: ὁ νῆστις.

Ἀβακέως: ἀσυνέτως.

Ἀβακηνούς: τοὺς γυναικὶ μὴ ὁμιλήσαντας.

Ἀβακήμων: ἀσύνετος, ἄλαλος. 5

Ἀβακῆσαι: ἁμαρτῆσαι, δυσκωφῆσαι.

Ἀβάκητον: ἀνεπίφθονον.

Ἀβάκιον: ἐφ᾽ οὗ ἐκύβευον καὶ ἐφ᾽ οὗ τοὺς λογισμοὺς ἐποιοῦντο.

Ἄβακτον καὶ ἄβυκτον: τὸ μὴ μακαριστόν. Δωριεῖς 10 δὲ τὸν ἀνεπίπληκτον καὶ ἀμέμφῃ.

Ἄβατος ὁδός: ἣν οὐχ οἷόν τε βαίνειν οὐδὲ ὁδοιπορεῖν.

Ἀβέβηλος: καθαρός. καὶ ἀβέβηλα τὰ ἄβατα χωρία καὶ ἱερὰ καὶ μὴ τοῖς τυχοῦσι βάσιμα, μόνοις δὲ τοῖς θεραπεύουσι τοὺς θεούς. βέβηλα δὲ ἔλεγετο τὰ μὴ ὅσια 15 μηδὲ ἱερά. οὕτω Σοφοκλῆς.

Ἄβιος: ὁ ἀβλαβής, παρὰ τὴν βίαν, οἷον ὁ κρείσσων βίας. καὶ ἄβιοι οἱ νεμάδες παρ᾽ Ὁμήρῳ, οἷον οἱ τὸν πολιτικὸν καὶ κοινωνικὸν οὐκ ἔχοντες βίον. ὁ μέντοι Εὐριπίδης ἐπὶ τοῦ δυσβίου ἐχρήσατο τῇ λέξει. κέχρην- 20 ται δὲ αὐτῇ καὶ ἐπὶ τοῦ ἐστερημένου τῆς ζωῆς. ἀλλὰ καὶ ὁ πολύβιος κατ᾽ ἐπίτασιν τοῦ ᾱ ἄβιος λεγεται παρὰ τοῖς παλαιοῖς.

Ἀβίωτον: κακόν, ἀηδές, ὀδυνηρόν, οὐκ ἄξιον ζωῆς.

Ἀβούλητον κακόν: ἀθέλητον, ὃ οὐκ ἄν τις ἕλοιτο. 25

Ἀβυρτάκη: ὑπότριμμα βαρβαρικὸν ἐκ δριμέων σκευαζόμενον, φημὶ ἐκ καρδάμων καὶ σκορόδων καὶ σινάπεως καὶ σταφίδων, ᾧ πρὸς κοιλιολυσίαν ἐχρῶντο. Θεόπομπος Θησεῖ·

ἵξη δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων 30
πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη.

ἔστι καὶ ἐν Κεκρυφάλῳ Μενάνδρου τοὔνομα.

Ἀγάθαρχος: κύριόν ὄνομα. ἦν δὲ ζωγράφος ἐπιφανής, Εὐδήμου υἱός.

Ἀγαθά: ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐωχίαν σιτίων καὶ ποτῶν ἐχρήσατο Ξενοφῶν τῇ λέξει.

Ἄγαλμα: πᾶν ἐφ᾽ ᾧ τις ἀγάλλεται. ἀγάλματα δὲ καὶ τὰς γραφὰς καὶ τοὺς ἀνδριάντας λέγουσιν. 5

Ἀγαθικά: τὰ σπουδαῖα.

Ἀγάλλει: ποιεῖ, σκευάζει, κοσμεῖ.

Ἀγάλλων: ἑαυτὸν σεμνοποιῶν.

Ἀγαλματοφορούμενος: ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτω Φίλων. 10

Ἀγάννιφον: λίαν χιονιζόμενον.

Ἀγανοφροσύνη: προσήνεια, πραότης.

Ἀγανώπιδος: πραέα βλεπούσης.

Ἄγνον: λύγον. 15

Ἄγνοια: τὴν τελευταίαν ἐκτείνουσιν.

Ἀγνῶτα: τὴν ἀγνοουμένην.

Ἀγωνιᾷν: ὀρέγεσθαι, οὐ μόνον τὸ ἀγωνίζεσθαι.

Ἄγμα: σύντριμμα. καὶ τὸ κατειργασμένον ἔριον.

Ἄγος: τὸ μύσος, κατὰ ἀντίφρασιν. κυρίως δὲ τὸ ἁγνόν. 20

Ἀγαπητὰ ἤθη: τὰ καλὰ καὶ ἀγαθά.

Ἀγαπητόν: τὸ ἠγαπημένον καὶ μονογενές.

Ἀγαπᾷν: ἀποδέχεσθαι. ἢ τὸ ἀρκεῖσθαί τινι καὶ μηδὲν πλέον ἐπιζητεῖν.

Ἀγάσαιτο: θαυμάσειεν. 25

Ἀγαστοῦ: θαυμαστοῦ.

Ἀγαπησμός: λέγουσι καὶ ἀγάπησιν τὴν φιλοφρόνησιν. Συναριστώσαις Μένανδρος·

καὶ τὸν ἐπὶ κακῷ
γινόμενον ἀλλήλων ἀγαπησμόν, οἷος ἦν. 30

Ἀγάστονος: πολυστένακτος.

Ἀγασθῶ τινί: ἀντὶ τοῦ θαυμάσω τινά. Ξενοφῶν· ὅταν τινὶ ἀγασθῶ τῶν στρατιωτῶν.

Ἀγαπῷην ἄν: ἀγαπητόν μοι ἦν ἄν.

Ἄγγαρος: ἐργάτης, ὑπηρέτης, ἀχθοφόρος· ὅθεν ἀγγαρεῖαν λέγομεν ἀνάγκην ἀκούσιον καὶ τὴν ἐκ βίας γινομένην ὑπηρεσίαν. καὶ ἄλλως ἄγγαρος λέγεται ὁ νωθρός. παρὰ τοῖς βαρβάροις δὲ ὁ δημόσιος γραμματηφόρος· ὅθεν ἀγγαρεύεσθαι τὸ εἰς δημοσίαν χρείαν ὑπηρετεῖν. 5

Ἀγαυρίαμα: ἔπαρμα.

Ἀγγελιαφόρος: πρεσβευτής.

Ἀγγαροφορεῖν: τὸ κατὰ διαδοχὴν πεμπόμενόν τι φορτίον. τίθεται δὲ καὶ ἐπὶ τῶν φορτηγῶν καὶ ἐπὶ τῶν ξοῦ λιμένος παραφυλακῶν. ὁ δὲ ἄγγαρος Περσικόν. 10

Ἄγγαροι: οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ ἀστάνδαι. τὰ δὲ ὀνόματα Περσικά. Αἰσχύλος Ἀγαμέμνονι· 15

φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
ἔπεμπεν.

Ἄγε δῆτα: φέρε, κόμιζε, δεῦρο.

Ἄγειν καὶ φέρειν: τὸ ληστεύειν καὶ ἁρπάζειν. ἄγειν δὲ καὶ ἀπάγειν χρήματα καὶ ἐπὶ ἀψύχων καὶ κομίζειν ἀδιαφόρως. 20

Ἀγάσματα: σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.

Ἀγηοχώς: ἐνέγκας.

Ἀγείρει: συναγείρει. 25

Ἀγελαίων: ἰδιωτικῶν, ἀγροίκων.

Ἀγελαῖος: ἰδιώτης. ἢ ὁ ἐν ἀγέλῃ διάγων. καὶ ἀγελαίων τῶν πολλῶν καὶ τυχόντων. εἴη δ' ἂν ἐκ μεταφορᾶς τῶν ἀγελαίων ζώων, ἢ ἀπὸ τῶν ἰχθύων, οὓς βόσκεσθαι ῥίβδην καὶ ἀγεληδόν φασιν. 30

Ἀγελαῖος δὲ ἀντὶ τοῦ ἰδιώτης, ῥεμβώδης καὶ εὐτελής. ἢ ὁ ἐν ἀγέλῃ διάγων. τὸ μὲν ὄνομα ἴσως ἀπὸ

τῶν ζώων συναγελαζομένων, ἐφ' οὗ σημαινομένου καὶ Πλάτων κέχρηται ἐν τῷ Πολιτικῷ, μετῆκται δὲ ἐπὶ τοὺς ἀνθρώπους τοὺς ἀδοξοτέρους. οὕτως Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ αὐτοῦ λόγῳ. καὶ ἀγελαῖον ἄρτον τὸν χυδαῖον. 5

Ἀγεννῶς: ἀνάνδρως.

Ἀγέραστος: ἄτιμος.

Ἀγερωχία: ὑπερηφανία.

Ἀγέρωχος: ἔντιμος, ἀνδρεῖος.

Ἄγεται: τὸ ἡγεῖσθαι καὶ οἴεσθαι. 10

Ἀγεύστου φοίνης: ἀστείως βίου ἔχων.

Ἄγευτοι: ἄπειροι.

Ἀγητός: θαυμαστός.

Ἄγη: θαῦμα, χαρά, ἀπιστία, ζῆλος, παρ' Ἡροδότῳ βασκανία, παρ' Ὁμήρῳ ἴκπληξις. πληγή, θραῦσις, 15 κλάσις, ἀπώλεια, ἔνιοι δὲ ἱερεῖα.

Ἄγραυλος: μία τῶν Κέκροπος θυγατέρων.

Ἄγασθαι: ἀποδέχεσθαι, θαυμάζειν ἄγαν.

Ἀγόρασιν: τὴν ὠνὴν σημαίνει.

Ἀγών: ὁ τόπος, τὸ πλῆθος, τὸ ἐνέργημα. 20

Ἀγερμός: πᾶν τὸ ἀγειρόμενον.

Ἀγοράσω: οὐκ ἀγορῶ.

Ἄγυνον: ἀγύναιον.

Ἄγραι: χωρίον ἔξω τῆς πόλεως Ἀθηνῶν, οὗ τὰ μικρὰ τῆς Δήμητρος ἄγεται μυστήρια, ἃ λέγεται τὰ ἐν 25 Ἄγρας, ὡς ἐν Ἀσκληπιοῦ, Φερεκράτης Γραυσίν·

εὐθὺς γὰρ ὡς ἐβαδίζομεν ἐν Ἄγρας.

καὶ Ἀρτέμιδος καὶ Ἀγραίας αὐτόθι τὸ ἱερόν. Πλάτων Φαίδρῳ· ἢ πρὸς τὸ τῆς Ἄγρης διαβαίνομεν. Κλείδημος ἐν πρώτῳ Ἀτθίδος· τὰ μὲν οὖν ἄνω 30 τὰ τοῦ Ἰλισοῦ πρὸς ἀγορὰν Εἰληθυῖα, τῷ δ' ὄχθῳ πάλαι ὄνομα τούτῳ, ὃς νῦν Ἄγρα κα-

λεῖται, Ἑλικών. καὶ ἡ ἐσχάρα τοῦ Ποσειδῶνος τοῦ Ἑλικωνίου ἐπ' ἄκρου. καὶ ἐν τῷ τετάρτῳ· εἰς τὸ ἱερὸν τὸ μητρῷον τὸ ἐν Ἄγραις.

Ἀγλευκής: ἀηδής, εἰδεχθής.

Ἀγκωλιάδειν: ἄλλεσθαι. Κρῆτες. 5

Ἀγαθὸν δαίμονα: ὃν μετὰ τὴν ἄρσιν τῶν τραπεζῶν ἔπινον.

Ἀγκαλίδας ἕλκειν: αἴρειν ξύλα.

Ἀγοραῖος Ζεὺς Ἀθήνησι καὶ Ἑρμῆς.

Ἀγκυρίσας: κάμψας τὸν πόδα· σχῆμα δέ ἐστι παλαιστρικόν. Εὔπολις Ταξιάρχοις. 10

Ἀγίζειν: ἐναγίζειν, ἅγια ποιεῖν.

Ἀγάλματα Ἑκάτης: αἱ κύνες· θύονται γὰρ αὐτῇ.

Ἀγκαλίζει: ἄγχει.

Ἀγλιθες: ἐξ ὧν ἡ κεφαλὴ τοῦ σκορόδου σύγκειται. τὸ δ' αὐτὸ καὶ γέλγιθες. 15

Ἀγυιεύς: κίων εἰς ὀξὺ ἀπολήγων, ὃν πρὸ τῶν θυρῶν ἵστασαν.

Ἀγκύλη: ἡ δεξιὰ χεὶρ ἀπηγκυλωμένη εἰς ἀποκοτταβισμόν. 20

Ἄγις: εἶδος ποτηρίου.

Ἀγαθῶς: σφοδρῶς.

Ἀγορά: συνέδριον φυλετῶν ἢ δημοτῶν, οἱονεὶ σύλλογος.

Ἄγυρμα: πᾶν τὸ ἀγειρόμενον.

Ἀγοράν: τὴν ὠνήν. Νικόχαρις Κενταύρῳ. 25

Ἄγημα: τὸ προϊὸν τοῦ βασιλέως τάγμα ἐλεφάντων καὶ ἵππων καὶ πεζῶν. οἱ δὲ τὸ ἄριστον τῆς Μακεδονικῆς συντάξεως.

Ἀγήνωρ: ὁ ἄγαν ἀνδρεῖος, ἢ ὁ ἀγαστὸς ἐν ἀνδρείᾳ. σημαίνει δὲ καὶ τὸν ὑπερήφανον. ἔστι δὲ καὶ κύριον ὄνομα. 30

Ἀγήρω: τὰ μὴ γηρῶντα. μετὰ δὲ τοῦ ν̄ ἐστὶν αἰτιατικῆς πτώσεως.

Ἁγιάσαι: καρπῶσαι, καῦσαι ἁγίως.

Ἀγενής: Ἰσαῖος ἀντὶ τοῦ ἄπαις.

Ἁγιάσατε: προευτρεπίσατε, κηρύξατε.

Ἁγιστείας: ἁγιωσύνης, καθαρότητος, λατρείας.

Ἁγιστεύειν: ἁγιάζειν. καὶ ἁγιασθέντων ἀφιερω- 5
θέντων.

Ἁγιστεύσαντες: τὰ τῆς θυσίας ἐπιτελέσαντες.

Ἀγκαλίδα: μερίδα.

Ἀγῆλαι: τιμῆσαι θεόν, ἀγλαΐσαι. ἔστι δὲ ἡ λέξις τῶν
πάνυ Ἀττικῶν. καὶ ἀγήλω καὶ ἀγαλοῦμεν ἐρεῖς, 10
καὶ ἄγαλλε καὶ προσαγαλεῖ τὸν θεόν, ἀντὶ τοῦ
εὔξεται καὶ τιμήσει. καὶ ἄγω ἀντὶ τοῦ τιμῶ. τό τε
οὖν ἄγειν καὶ τὸ ἀγῆλαι Ἀττικά, ἀλλὰ τὸ μὲν ἄγειν
πολιτικόν, τὸ δὲ ἀγῆλαι κωμῳδικὸν καὶ ἐγγὺς γλώτ-
της. φεύγειν μὲν οὖν χρὴ τὸ τῶν γλωττῶν, εἰδέναι δὲ 15
εἴη ἀρχαία φωνὴ καὶ σπουδῇ σεμνότητος λόγων χρή-
σαιο τῷ τοιούτῳ χαρακτῆρι τῶν ὀνομάτων, φησὶν ὁ
Φρύνιχος. Εὔπολις δὲ τῷ ἀγῆλαι ἐχρήσατο ἐν Δήμοις·

ἀναθῶμεν νῦν ἡμεῖς τούτοις τὰς διττὰς εἰρε-
σιώνας, 20

καὶ προσαγήλωμεν ἐπελθόντες.

Ἀριστοφάνης·

καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαισι διὰ
παντὸς ὦ πότνι' ἀγαλοῦμεν ἡμεῖς ἀεί.

Ἕρμιππος Ἀρτοπώλισι· 25

φέρε νῦν ἀγήλω τοὺς θεούς, ἰοῦσ' ἔσω,
καὶ θυμιάσω, τοῦ τέκνου σεσωσμένου.

Θεόπομπος Πηνελόπῃ·

καί σε τῇ νουμηνίᾳ
ἀγαλματίοις ἀγαλοῦμεν ἀεὶ καὶ δάφνῃ. 30

Ἀγλαΐσαι: οὕτως Εὔπολις.

Ἀγηλατεῖν: ἄγος καὶ ἐναγεῖς τινὰς ἐλαύνειν.

Ἀγκιστρεύει: δελεάζει.
Ἀγκύλια: οἱ κρίκοι τῶν ἁλύσεων.
Ἀγκυλομῆται: σκολιόβουλοι.
Ἀγκύλον: καμπύλον, ἐπικαμπές.
Ἀγκυλόχειλος: σκολιόχειλος. 5
Ἀγασικλῆς: ὄνομα κύριον, ὃς λέγεται Ἁλιμουσίους δεκάσαι, καὶ διὰ τοῦτο, ξένος ὤν, ἐγγραφῆναι τῇ πολιτείᾳ.
Ἀγησίλαος: ὄνομα κύριον. ἦν δὲ Λακεδαιμονίων ἐπιφανὴς καὶ γενναῖος βασιλεύς, καὶ ᾄδεται παρὰ πολ- 10 λοῖς τῶν ῥητόρων.
Ἀγίσαι: τὸ καρπῶσαι.
Ἀγνούσιος: Ἀγνοῦς δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος, ἧς ὁ φυλέτης Ἀγνούσιος.
Ἀκρατῶς ἐλαύνοντα: Ξενοφῶν, ἀντὶ τοῦ πάνυ 15 ἐλαύνοντα.
Ἀγλαΐα: λαμπρότης.
Ἀγλαόκοιτος: πάνυ τίμιος.
Ἀγλαότιμον: λαμπρόν.
Ἀγλευκές: ἀηδές. 20
Ἀγλευκέστερον: ἀηδέστερον. Ξενοφῶν Ἱέρωνι.
Ἀγλωττία: ἡσυχία, σιωπή.
Ἄγμασι: κλάσμασι, τροπαῖς.
Ἄγλαυρος: ἡ θυγάτηρ Κέκροπος. ἔστι δὲ ἐπώνυμον Ἀθηνᾶς. 25
Ἁγνίας: ὄνομα κύριον.
Ἁγνεία: καθαρότης.
Ἀγνῶτας: μὴ ἐπιγινωσκομένους.
Ἄγνυται: κλᾶται.
Ἀγνωμόνως: ἀνοήτως ἢ ἀχαρίστως. λέγονται δὲ πα- 30 ρὰ Πλάτωνι ἀγνώμονες οἱ ἀμαθεῖς.
Ἄγοι: πολλὰ σημαίνει. Ἰσαῖος δὲ ἀντὶ τοῦ φέρειν καὶ ἐνάγειν καὶ ἕλκειν ἔλαβεν· ἔβλαψε γάρ μέ φησι

Ξενοκλῆς, ἀφελόμενος Εὐμάθην εἰς ἐλευθερίαν, ἄγοντος ἐμοῦ εἰς δουλείαν. Ἀντιφῶν δὲ τὸ ἄγοι ἀντὶ τοῦ ἡγοῖτο παρείληφε· φησὶ γὰρ ἐν τῷ περὶ ἀληθείας τοὺς νόμους μεγάλους ἄγοι.

Ἀγομένων τῶν ἡμετέρων: ἀντὶ τοῦ ληστευομένων καὶ ἁρπαζομένων. 5

Ἀγοράζει: τὸ ὠνεῖσθαί τι καὶ τὸ ἐν ἀγορᾷ διατρίβειν.

Ἀγοραίαν: τὴν δίκην, τὴν δικαιολογίαν.

Ἀγοράς: Ὑπερίδης ἀντὶ τοῦ συνόδους. λέγει γὰρ ἐν τῷ περὶ Πολυεύκτου· οἷον οὗτοι πολλάκις ἀγορὰς ποιοῦνται. 10

Ἀγορανόμοι: οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες.

Ἀγοραῖοι: οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι. 15

Ἀγορήν: ἐκκλησίαν, συνέδριον.

Ἀγορανομίας: λογιστείας. εἴρηται δὲ ἐπὶ τῶν ἐπισκοπούντων τὰ τῶν πόλεων ὤνια.

Ἀγορᾶς ὥρα: οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ᾽ ἀγορὰν ἔωθεν ἢ καὶ πρὶν ἀγορὰν πεπληθέναι. Φερεκράτης καὶ ἐν Αὐτομόλοις· 20

πίνειν ἀεὶ
καὶ μεθύειν, πρὶν ἀγορὰν πεπληθέναι.

Ἀγορηταί: σύμβουλοι, φρόνιμοι.

Ἀγός: ἡγεμών. 25

Ἄγος: κατ᾽ ἀντίφρασιν τὸ μύσος. καὶ ἐναγής ὁ ἐνεχόμενος τῷ μύσει. καὶ ἁγηλατεῖν τὸ τοὺς ἐναγεῖς ἐλαύνειν. ὁ δὲ παναγής τὸν ἁγνὸν καὶ καθαρὸν σημαίνει. καὶ παρωνόμασται ὁ μὲν ἐναγὴς ἀπὸ τοῦ ἄγους, ὁ δὲ παναγὴς ἀπὸ τοῦ ἁγνοῦ καὶ καθαροῦ. σημαίνει δὲ καὶ ἅγισμα καὶ θυσίαν. σημαίνει δὲ καὶ τὸν ἀγκῶνα. λέγεται δὲ ἄγος καὶ τὸ τίμιον καὶ ἄξιον 30

σεβάσματος· ἐξ οὗ καὶ ἱέρειαι παναγεῖς, καὶ ἄλλα τινά.

Ἄγραυλοι: οἱ ἐν ἀγρῷ διαννυκτερεύοντες ἢ αὐλιζόμενοι.

Ἀγροῖκος: ἄφρων, δύσκολος.

Ἄγραφα: ἀδικήματα, ὑπὲρ ὧν νόμος οὐ γέγραπται. 5

Ἀγροῖκος: σκληρὸς καὶ ἀπαίδευτος. ἢ ὁ ἐν ἀγρῷ κατοικῶν.

Ἀγρόμενοι: συναθροίζοντες.

Ἀγριόθυμος: ἄγριος τῇ ψυχῇ.

Ἀγυρμός: ἐκκλησία, συναγωγή. 10

Ἄγουσιν ἑορτὴν οἱ κλέπται: χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαισμένη κατὰ τὴν κωμῳδίαν· σημαίνει δὲ τοὺς ἀδεῶς κλέπτοντας.

Ἀγύρτης: ἐπαίτης, φιλοκερδής. ἢ ὁ ἀλαζὼν καὶ ἀπατεών, τὸ δὲ ἀγείρειν καὶ περιαγείρειν τὸ περιιέναι καὶ 15 περινοστεῖν ἐπὶ νίκῃ ἤ τινι ἑτέρῳ σεμνύνειν.

Ἄγριον ὑποβλέπει με: μᾶλλον χρηστέον ἢ ὑποβλέπεται.

Ἀγρονόμοι: οἱ ἐν ἀγροῖς διατρίβοντες.

Ἀγρότας: ἀγροίκους. 20

Ἀγραφίου: εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ διὰ τοῦτο ἐγγραφέντων, πρὶν ἢ δὲ ἐκτῖσαι ἐξαλειφθέντων· οὕτω Δημοσθένης καὶ Δεινάρχος.

Ἀγοράσω: ἀγοράσω λέγουσι, τὸ δ' ἀγορῶ βάρβαρον. Ἀριστοφάνης· 25

ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν· ὡς ἀγοράσω
ἁπαξάπανθ' ὅσ' ἂν κελεύῃς, ὦ γυναί.

καὶ ἀγοράσματα αὐτὰ τὰ ἠγορασμένα.

Ἀγύῤῥιος: δημαγωγὸς Ἀθηναίων οὐκ ἀφανής.

Ἀγυιᾶς: ἔνιοι μὲν ὀξύνουσι θηλυκῶς χρώμενοι, οἷον τὰς ὁδούς· βέλτιον δὲ περισπᾶν, ὡς ἀπὸ τοῦ ἀγυιέας· ἀγυιεὺς δ' ἐστὶ κίων εἷς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν, ἰδίους δὲ αὐτούς φασιν εἶναι Ἡλίου, οἱ 30

δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν. ἔστιν οὖν· τὸ ὁλόκληρον ἀγυιεύς, καὶ κατὰ τὴν αἰτιατικὴν ἀγυιέας, καὶ κατὰ συναίρεσιν ἀγυιᾶς. σημαίνει δὲ τοὺς πρὸ τῶν οἰκιῶν βωμούς, ὡς Σοφοκλῆς, μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησί·

λάμπει δ' ἀγυιεὺς βωμός, ἀτμίζων πυρὶ
σμύρνης σταλαγμούς, βαρβάρους εὐοσμίας.

Ἀγρῶσται: οἱ κυνηγέται, ἀπὸ τοῦ ἀγρώσσω ῥήματος. Ὅμηρος·

ἰχθύσιν ἀγρώσσων.

Ἀγυρτικά: χυδαῖα ψεύσματα.

Ἀγυρτώδη: συρφετώδη.

Ἀγυιαί: ἄμφοδα, ῥύμαι. καὶ Ὅμηρος εὐρυάγυιαν λέγει τὴν πλατυάμφοδον, οἷον

νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν.

ἢ ἐπιμήκεις ὁδοί, παρὰ τὸ μὴ ἔχειν πως γυῖα καὶ μέλη καὶ κάμψεις· τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους, καὶ ταύτῃ διαφέρει. ἢ παρὰ τὸ ἄγω τὸ πορεύομαι, οἷον

Λαοδίκην ἐσάγουσα, θυγατρῶν εἶδος ἄριστην.

οὕτως Ὠρίων.

Ἀγχίμαχος: ἐγγύθεν μαχόμενος.

Ἄγχι: ἐγγύς.

Ἀγχίθυρος: γείτων.

Ἀγχίσποροι: ἐγγὺς γένους ὄντες.

Ἀγρίους: Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ οὕτως ὠνόμασε. καὶ Μένανδρος δὲ ἄγριον εἶπε κυβευτὴν τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα.

Ἀγρυλῆθεν: Ἀγρύλη δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθηΐδος. ὁ δὲ δημότης πάλαι ἐλέγετο Ἀγρυλεύς.

Ἀγχίμολον: ἐγγὺς ἐλθών.

Ἀγχίνοια: σύνεσις.

Ἀγχίνους: συνετός, ὀξὺς τὸν νοῦν.

Ἄγχιστα: ἔγγιστα.

Ἀγχιστεία: συγγένεια. καὶ ἀγχιστεῖς οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος. οἱ δὲ ἔξω τούτων συγγενεῖς μόνον. οἱ δὲ κατ' ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται.

Ἀγχιστίνδην: τὸ κατὰ ἀγχιστείαν, ὥσπερ ἀριστίνδην καὶ πλουτίνδην, ἐπιρρηματικῶς.

Ἀγχίστροφοι: συστραφέντες ἢ ταχὺ ἐπιστρεφόμενοι.

Ἀγχοῦ: ἐγγύς.

Ἀγχωμάλου: ἴσης, τῆς ἐγγὺς τοῦ ὁμαλοῦ. ἢ ἰσόπεδον.

Ἀγώγιον: τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. οὕτω Ξενοφῶν.

Ἀγχιτέρμων: ὁ γείτων, ὁ ὅμορος.

Ἀγώγιμος: ἄγων, ἀγόμενος.

Ἀγωγεῖ: τῷ ἱμάντι, ᾧ ἄγεται ὁ ἵππος, ὃς καὶ ῥυτὴρ καλεῖται.

Ἀγωνία: Ξενοφῶν ἀντὶ τοῦ ἀγῶνι.

Ἀγωγή: ἀναστροφή, τρόπος. ἢ κομιδή. καὶ τὸ ἀγόμενον βάρος.

Ἀγωγίμων: φορτίων ἐμπορικῶν.

Ἀγωγόν: ἐπακτικόν.

Ἀγωγούς: προπομπούς.

Ἀγωνεῶ: κινδυνεύω.

Ἀγωνιᾷν: Ἰσοκράτης ἀντὶ τοῦ ἀγωνίζεσθαι.

Ἀγωνιῶντες: ἀντὶ τοῦ ἀγωνιζόμενοι. ὁ αὐτός.

Ἀγωνοθέτης: ἀγωνοθέτης μὲν κυρίως ὁ ἐν τοῖς σκηνικοῖς, ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς.

Ἀγαθοεργοί: Ἀττικοὶ τοὺς ἀγαθὸν ἐργασαμένους τι. ἔστι δὲ καὶ ἀρχή τις ἐν Λακεδαίμονι οἱ ἀγαθοεργοί· ἄρχουσι δὲ καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω τῆς πόλεως

παρανομησάντων, ὥς φησι Δίδυμος ἐν τῇ τροπικῇ λέξει.

Ἀγαθὸς φαγεῖν: σημαίνει τὸν ἐσθίοντα πολλά.

Ἀγαθοῦ πόματος: τὸ μετὰ τὸ δεῖπνον ἄκρατον πινόμενον παρὰ Ἀθηναίοις. τὴν δευτέραν γὰρ πόσιν οὕτως ἐκάλουν. 5

Ἄγαιον: ἐπίφθονον. οἱ δὲ θαυμαστόν. οἱ δὲ φθονερόν.

Ἀγνώμονες: οἱ κακογνωμονοῦντες. Πλάτων δὲ ἐν Πολιτείᾳ ἀγνώμονας ἔφη τοὺς γνῶσιν μὴ ἔχοντας, ἀλλ' ἀνεπιστήμονας. 10

Ἄγραι: χωρίον ἔξω τῆς πόλεως, ἱερὸν Δήμητρος, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἄγεται. ὀνομασθῆναι δὲ αὐτὸ οἱ μὲν ἀπὸ τῆς Ἀρτέμιδος, πρότερον Ἑλικῶνα καλουμένον, οἱ δὲ ἀπὸ τοῦ ἔνθηρον εἶναι καὶ πλήρες ἀγρεύματος. 15

Ἀγαλμός: λοιδορία.

Ἀγάλλιος: λοίδορος.

Ἄγαλμα: πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. ἀγάλματα δὲ τὰς γράφας καὶ τοὺς ἀνδριάντας λέγουσιν. οἱ δὲ ἁπλῶς ἄγαλμα πᾶν ἀνάθημα καὶ καθιέρωμα, ἢ ξόανον ἤ τι ἄλλο τοιοῦτον εἴη. 20

Ἀγανακτῶν: τίθεται παρὰ Πλάτωνι καὶ ἐπὶ τῶν λυπουμένων.

Ἀγανακτῶ σου: καινὸν τὸ σχῆμα. τὸ μὲν γὰρ θαυμάζω σου καὶ ἄγαμαί σου καθωμίληται, τὸ δὲ ἀγανακτῶ σου καινὸν καὶ σπάνιον. χρηστέον δὲ τῷ σχήματι διὰ τὴν καινότητα, φησὶν ὁ Φρύνιχος. 25

Ἀγανακτικόν καὶ ἀγανακτητέον: τὸ μὲν ἐν Πολιτείᾳ, τὸ δὲ ἐν Ἐπιστολαῖς Πλάτων ἔφη.

Ἀγανάκτησις: ἐπὶ τύχης. Θουκυδίδης· οὔτε τῷ πολέμῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει. 30

Ἄγαν ἐγκεῖσθαι τῷδε: οἷον ἐναντιοῦσθαι καὶ ἀποτείνεσθαι. Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν.

οἷδ' ἐγὼ καὶ τοὺς Λάκωνας, οἷς ἄγαν ἐγκείμεθα,
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.

Ἀγαλματοποιία: ἀγαλματοποιία καὶ ἀγαλματουργία ἐρεῖς καὶ ἀγαλματοποιός. ἀγαλματοποιὸν δέ φασι καλεῖσθαι τὸν εἰκόνας θεῶν μᾶλλον ἐργαζόμενον, ἀνδριαντοποιὸν δὲ τὸν ἀνθρώπων. Πλάτων δὲ ὁ φιλόσοφος ἐν τῷ Πρωταγόρᾳ ἀγαλματοποιοὺς καλεῖ Φειδίαν τε καὶ Πολύκλητον. σὺ δὲ πάντας δημιουργοὺς ὁμοίως καλῶν οὐκ ἂν σφαλείης.

Ἄγανον: τὸ κατεαγός. ἡ πρώτη ὀξεῖᾳ. καὶ τοῦτο τραγικώτερον τὸ ὄνομα.

Ἀγανόν: καλόν, ἡδύ. Ἀριστοφάνης Λυσιστράτῃ·

ἐμοὶ γὰρ αὐτῇ καὶ νεωτέρα δοκεῖ
πολλῷ γεγενῆσθαι κἀγανώτερον βλέπειν.

Κρατῖνος Χείρωσι·

μακάριος ἦν ὁ πρὸ τοῦ βίος βροτοῖσιν
πρὸς τὰ νῦν, ὃν εἶχον ἄνδρες
ἀγανόφρονες ἡδυλόγῳ σοφίᾳ,
βροτῶν περισσοκαλλεῖς.

Ἀγγέλη: δῆμος Πανδιονίδος.

Ἄγκιστρον: τὸ ἐπὶ τοῖς ἀτράκτοις. οὕτω Πλάτων.

Ἄγειν: μεγαλύνειν. Ὅμηρος·

καί μευ κλέος ἦγον Ἀχαιοί.

καὶ ἄγειν ἀντὶ τοῦ ἔχειν, Ὑπερίδης. καὶ ἄγειν ἀντὶ τοῦ ὑποκρίνασθαι. καὶ ἄγειν ἀντὶ τοῦ τιμᾶν. καὶ ἄγειν ἀντὶ τοῦ πίνειν, ὅπερ ἐπάγειν ἔλεγον οἱ Ἀττικοί. Δημοσθένης δὲ τὸ ἄγειν ἐν τῷ κατὰ Τιμοκράτους τὸ τίμημα λέγει ἢ τὴν ποσότητα τῆς ὁλκῆς, φάσκων· καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, ὃς ἦγε τριακοσίους δαρεικούς. κατὰ Δημάδου· ἦγε δὲ πέντε μνᾶς.

Ἄγαμαι: ἄγαμαι τούτου, ἄγαμαι κεραμεῖ, Εὔπολις καὶ Ἀριστοφάνης.

Ἄγαν τείνειν: ἀντιτείνειν καὶ ἀντιπράττειν καὶ μὴ εἴκειν κατὰ μηδένα τρόπον, αὐθαδιζόμενον. συγγραφικὴ ἡ φωνή.

Ἀγαστά: ἀγαστά καὶ ἀγαστός ἐρεῖς, καὶ ἐπιῤῥηματικῶς ἀγαστῶς, ὡς Ξενοφῶν.

Ἀγάζεις: ἀντὶ τοῦ θρασύνεις. Σοφοκλῆς.

Ἄγαμετος: ἀντὶ τοῦ ἄγαμος. Σοφοκλῆς.

Ἀγάσσει: ἄγαν τύπτει. ἀπὸ τοῦ ἄγαν ἀγάσσει, ὡς λίαν λιάζει.

Ἀγαί: οἱ τραγικοὶ τὰς τρώσεις οὕτως ἐκάλουν καὶ τὰ τραύματα. καὶ γὰρ τὸ τραῦμα οἷον κάταγμα γίνεται.

Ἀγαπητός: ἀγαπητὸς παῖς ἐρεῖς καὶ ἀγαπητὸς πατήρ. καὶ ἀγαπητὸν δὲ τέκνον ἀντὶ τοῦ μόνον, καὶ ἐπὶ κόρης ἀγαπητή.

Ἀγερσικύβηλιν Κρατῖνος Λάμπωνα τὸν μάντιν, ὡς ἀγύρτην καὶ θύτην· κύβηλις γὰρ ὁ πέλεκυς. οἱ δὲ ἐγερσικύβηλιν ἐν τῷ δράματι γράφουσι, τὸν ἐφ᾽ ἑαυτὸν ἐγείροντα τὸν πέλεκυν.

Ἀγενὲς καὶ στενὸν φθέγμα: ἐπὶ τῶν ἀφώνων καὶ μικρὰν καὶ ἀηδῆ φωνὴν ἐχόντων.

Ἀγέρωχος ταῦρος: σεμνός, ὑπερόπτης, θρασύς.

Ἀγεωργίου δικάζεσθαι: εἴρηται μὲν ὡς λειποταξίου, ἀγαμίου, ἀλογίου· σημαίνει δέ, ἐπειδάν τις χωρίον παραλαβὼν ἀγεώργητον καὶ ἀνέργαστον ἐάσῃ, ἔπειτα ὁ δεσπότης δικάζῃται τῷ παραλαβόντι.

Ἀγαλακτία: Αὐτοκράτης·

ἀμνοὶ δὲ βληχάζουσιν ὑπ᾽ ἀγαλαξίας.

Ἀγελαιοκομική: Πλάτων ἐχρήσατο.

Ἀγέλας πόνων Εὐριπίδης εἶπεν, ἀνδρῶν δὲ ἀγέλας Πλάτων. ἀγέλαστα δὲ πρόσωπα Αἰσχύλος.

Ἄγαλμα Ἑκάτης: τὴν κύνα οὕτως εἴρηκεν Ἀριστοφάνης διὰ τὸ ἐκφέρεσθαι τῇ Ἑκάτῃ κύνας, ἢ ὅτι καὶ αὐτὴν κυνοκέφαλον πλάττουσιν. εἰσὶ δὲ οἱ καὶ γενέσθαι

σθαι αὐτὴν κύνα ἐκ γυναικὸς κατ' ὀργὴν Ἀρτέμιδος, εἶτα ἐλεηθεῖσαν πάλιν ὑπ' αὐτῆς ἀποκαταστῆναι, ἔπειτα ἐπὶ τοῖς πραχθεῖσιν αἰσχυνθεῖσαν. ἐκ τῆς ζώνης ἀπάγξασθαι, τὴν δὲ Ἄρτεμιν περιελομένην τὸν ἑαυτῆς κόσμον περιθεῖναι αὐτῇ, καὶ Ἑκάτην προσαγορεῦσαι. 5

Ἀγέλαστος: ὁ μὴ πρὸς γέλωτα ἐπιτηδείος, καὶ ὁ στυγνός. ἔστι δὲ καὶ πέτρα Ἀθήνησιν οὕτω λεγομένη. Αἰσχύλος δέ φησι καὶ φρὴν ἀγέλαστος. οὐκοῦν οὐκ ἐκώλυσε λέγειν καὶ νοῦς ἀγέλαστος καὶ διάνοια ἀγέλαστος καὶ τὰ ὅμοια. 10

Ἀγηλατῶν: ἀντὶ τοῦ διώκων, φυγαδεύων. οὕτω Νικόμαχος.

Ἀγής: τοῦτο ἀπὸ συνθέτου καταλείπεται τοῦ εὐαγής ἢ παναγής. Ἐμπεδοκλῆς·

ἄθρει μὲν γὰρ ἄνακτος ἐναντίον ἀγέα κύκλον. 15

Ἅγιος: ὁ σεβάσμιος· καὶ ἅγιον τὸ σεβάσμιον καὶ τίμιον. λέγοιτο δ' ἂν καὶ ἅγιος ὁ μιαρός, ἀπὸ τοῦ ἄγους, ὡς Κρατῖνος.

Ἀγκαλιδαγωγοί: οἱ ἀγκαλίδας ἄγοντες ἐν πλοίοις ἢ ἐπὶ θρεμμάτων. ἀγκαλιδοφόροι δὲ οἱ αὐτοὶ φέροντες, ἢ οἱ παῖδες οἱ ἀκολουθοῦντες τοῖς ἀγκαλιδαγωγοῖς ὄνοις. λέγονται δὲ οἱ πιπράσκοντες τὰς ἀγκαλίδας ἀγκαλιδοπῶλαι. εἰσὶ δὲ ἀγκαλίδες αἱ τῶν φρυγάνων δέσμαι, οἷον ὃ ἔστιν ἀγκαλίσασθαι. 20

Ἄγκαθεν: κατὰ ἀποκοπὴν ἀντὶ τοῦ ἀνέκαθεν. οὕτως Αἰσχύλος. 25

Ἀγκράτος ἐλαύνω: εἶπε Ξενοφῶν κατὰ συγκοπήν, ἀντὶ τοῦ ἀνὰ κράτος. σὺ δ' ἄμεινον ποιήσεις μὴ χρώμενος τῇ λέξει.

Ἀγκύλη: ἀκόντιον, καὶ τοῦ ἀγκῶνος ἡ καμπή. λέγεται δὲ καὶ ἡ δεξιὰ χεὶρ ἀγκύλη, ὅθεν καὶ τὰ δόρατα ἀγκύλητά τε καὶ μεσάγκυλα ἐκάλουν. λέγεται καὶ ἀγκύ- 30

λη εἶδος ποτηρίου, ᾧ ἐχρῶντο πρὸς τὴν τῶν κοττάβων παιδιάν. ἀγκύλη οὖν καὶ ἡ δεξιὰ χείρ. ἀλλὰ καὶ ἡ πρὸς κότταβον ἐπιτηδεία κύλιξ, διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τῇ προέσει. ἦν γὰρ τοῖς παλαιοῖς πεφροντισμένον καλῶς καὶ εὐσχημόνως κότταβον προΐεσθαι. ὠνομάσθη οὖν ἀπὸ τοῦ τῆς χειρὸς σχηματισμοῦ, ὃν ποιούμενοι προθύμως ἔῤῥιπτον εἰς τὸ κοττάβιον. ἔστι δὲ ἀγκύλη καὶ εἶδός τι ἄμματος, ὡς Ἄλεξις Ἀχαιΐδι·

ἀγκύλην τῆς ἐμβάδος
οὐ καλῶς ἔσφιγξας . . λυθεῖσαν.

ἐχρήσαντο δὲ καὶ ἄλλοι τῇ λέξει.

Ἀγκύλη καὶ Ἀραφήν: δημος Αἰγηΐδος.

Ἄγλαι: ὄμμα. Εὐριπίδης.

Ἀγκῦραι: ἐκ μεταφορᾶς αἱ ἀσφάλειαι. Σοφοκλῆς·

ἀλλ' εἰσὶ μητρὶ παῖδες ἀγκῦραι βίου.

Ἀγνεύεται τὴν πόλιν: ἀντὶ τοῦ ἐκ κατηγορίας παρασήμου ἀντὶ τοῦ ἁγνίζεται.

Ἁγίτης: ἱκέτης καὶ καθάρσιος. καὶ γὰρ ὁ μύσους ἁγνισθεὶς καὶ ὁ καθήρας οὕτως ἐλέγοντο.

Ἀγνόδικος: ἀγνοοῦσα το δίκαιον.

Ἀγνοδικεῖς: οἱ θεοί.

Ἀγνοίη: λύπη. καὶ τὸ ἀγνοεῖν λυπεῖσθαι.

Ἄγνοια: ὀλιγωρία.

Ἁγνοποιεῖσθαι: τὸ σφαγίοις καθαίρεσθαι.

Ἄγος: ὁ Ζεὺς παρὰ Κυζικηνοῖς.

Ἄγναπτος: καὶ διὰ τοῦ γ καὶ διὰ τοῦ κ ἔλεγον τοὔνομα· σημαίνει δὲ τὸ μὴ ἐγναμμένον. λέγεται δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως, ἀρσενικῶς μὲν ἄγναπτος χιτών, θηλυκῶς δὲ ἄγναπτος χλαῖνα, οὐδετέρως δὲ ἄγναπτον ἱμάτιον.

Ἀγοραῖος Ζεύς: βωμὸς Ἀθήνησιν, ὃς ἐκαλεῖτο ἀγοραίου Διός.

Ἀγοραῖος Ἑρμῆς ἐν Ἀθήνησιν ἵδρυτο κατὰ τὴν ἀγοράν.

Ἀγοράσματα τὰ ὤνια λέγουσι. καὶ ἀγορασμάτων. καὶ ἀγοράσεως τῆς ὠνήσεως.

Ἄγορος καὶ ἄγοροι: Εὐριπίδης Ἀνδρομέδᾳ· 5

οἱ κατ' οἶκον ἀμφὶ δαῖτα καὶ τράπεζαν.

Αἰθίοπες σημαίνει.

Ἁγνίσαι: τὸ θῦσαι. διαφθεῖραι, κατ' ἀντίφρασιν. οὕτω Σοφοκλῆς.

Ἀγοραῖος νοῦς: ὁ πάνυ εὐτελὴς καὶ συρφετώδης οὐδὲ 10 πεφροντισμένος· οἱ γὰρ ἀγοραῖοι ἄνθρωποι ἀμαθεῖς καὶ ἀπαίδευτοι. οὕτως Εὐριπίδης.

Ἀγοραστήν: τὸν τὰ ὄψα ὠνούμενον, ὃν Ῥωμαῖοι ὀψωνιάτορα καλοῦσιν.

Ἀγόμφιος αἰών: οὕτως ἔλεγον τὸν χρόνον, ἐν ᾧ τις 15 ὡρᾶτο γεγηρακώς, παρὰ τὸ μὴ ἐνεῖναι τοῖς γέρουσι τοὺς γομφίους. Διοκλῆς·

μηδείς ποθ' ὑμῶν, ἄνδρες, ἐπιθυμησάτω
γέρων γενέσθαι . . . προνοησάτω δ' ὅπως
νέος ὢν . . . . ἀγαθόν τι τῇ ψυχῇ παθών, 20
ὥρᾳ καταλύσει, μηδ' ἀγόμφιόν ποτε
αἰῶνα τρίψει.

Ἄγριοι: τοὺς παιδεραστὰς οὕτως ἐκάλουν, ἤτοι ὅτι ἄγριον τὸ πάθος, ἢ ὅτι ὁ Πὰν ἔνοχός ἐστι τοῖς τοιούτοις. καλοῦσι δὲ αὐτοὺς καὶ Κενταύρους. δῆλον ὅτι 25 καὶ τὰ ἀνήμερα τῶν ζώων ἄγρια καλεῖται. καὶ ἄγριος ὁ τὸ ἦθος δύσκολος, ὀργίλος.

Ἄγριος ἔλαιος: ἣν οἱ πολλοὶ ἀγριέλαιον καλοῦσιν. ἔστι παρὰ Πινδάρῳ ἐν Ὕμνοις.

Ἀγροβόας ἀνήρ: ὁ ἀγροίκως φθεγγόμενος καὶ οὐκ 30 ἀστείως οὐδὲ ἐμμελῶς. οὕτω Κρατῖνος.

Ἀγρευτικὴ στολή: ἡδεῖα ἡ λέξις καὶ ἀστεία.

Ἄγρυκτα καὶ ἄλεκτα πέπονθα: τὸ μὲν ἄγρυκτα

ἐστὶν ὥστε μηδὲ γρύξαι διὰ τὴν ὑπερβολὴν τῶν κακῶν· γρύξαι δέ ἐστι τὸ βραχύτατον φθέγξασθαι, ὃ καὶ ἄναρθρόν ἐστι, μυγμῷ ἢ στεναγμῷ παραπλήσιον. κέχρηται δὲ αὐτῷ καινότατα Φερεκράτης·

τί δ' ἔπαθες; 5
ἄγρυκτα κἄλεκτ' · ἀλλὰ βούλομαι μόνῃ
αὐτῇ φράσαι σοι.

Ἀγροῖκος ὀπώρα: ἀπ' ἐναντίου τῇ γενναίᾳ, ὡς ἐν διαφορᾷ τῆς μὲν πρὸς τὸ ὀπωρίσαι, τῆς δὲ πρὸς ἀπόθεσιν καὶ οἰνοποιίαν καὶ τὰ τοιαῦτα. λέγει δὲ ὁ 10 Πλάτων σαφῶς ἐν Νόμοις· ὠνούμενος τὴν γενναίαν ὀπώραν ὀπωριζέτω, ἐὰν βούληται, καὶ πάλιν· τῆς μὲν γενναίας ἁπτέσθω, ἐὰν βούληται· τῆς δὲ ἀγροίκου λεγομένης καὶ τὸν τοιοῦτον ὁ νόμος εἰργέτω. 15

Ἀγρεύματα τὰ ἐπὶ τῆς ἀγροικίας κτήματα Σόλων εἶπε. σημαίνει δὲ καὶ σκύλα.

Ἀγροικεῖν καὶ ἀγροίκων: τῶν σωφρόνων. παρὰ δὲ τὸ ἀγροίκως γέγονε τὸ ῥῆμα ἀγροικεῖν.

Ἀγυιάτιδες: παρ' Εὐριπίδῃ οἱ πρὸ τῶν θυρῶν βωμοί. 20

Ἄγχασκε: ἀντὶ τοῦ ἀνάχασκε. οὕτω Φερεκράτης.

Ἄγχαζε: ἀντὶ τοῦ ἀναχώρει. οὕτω Σοφοκλῆς. χάζω γὰρ καὶ ἀναχάζω.

Ἄγχιμος: ἀντὶ τοῦ πλησία. Εὐριπίδης·

ἀλλ' ἄγχιμος γὰρ ἥδε φοιβία γυνή. 25

Ἀγωγεύς: ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. οὕτω Σοφοκλῆς.

Ἀδαξῆσαι: τὸ κνῆσαι, οὐκ ἐν τῷ ō ὀδαξῆσαι. καὶ ἀδαχεῖν τὸ κνήθειν·

ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἀχῶρα ἐκλέγει τ' ἀεί, 30
Ἀριστοφάνης ἐν ταῖς Ὀλκάσιν.

Ἀδαήμονες: ἄπειροι.

Ἀδαμάντινα: στερρά.

Ἀδείμαντα: ἄφοβα.
Ἀδελφά: ὅμοια, παραπλήσια.
Ἀδέη τος: Ἀντιφῶν ἀντὶ τοῦ ἀνενδεής.
Ἀδεκάστως: ἀμερίστως, δικαίως, ἀδωροδοκήτως, ὀρθῶς.
Ἀδημονῶν: ἀγωνιῶν. ἀδημονεῖν γὰρ κυρίως ἐστὶ τὸ ἀπορεῖν καὶ ἀμηχανεῖν. 5
Ἀδήωτον: ἀπόρθητον, ἀπραίδευτον.
Ἀδήριτος: ἄμαχος.
Ἀδηφάγος: πολυφάγος, ἀθρόως ἐσθίων, γαστρίμαργος. ἄδην γὰρ τὸ κεκορωμένον. 10
Ἀδιάκριτος: ἀδιαχώριστος. λαμβάνεται δὲ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δέοντα. ἢ ἀφρόνως φλυαροῦντα.
Ἀδιαίτητος: ἀλλότριος, ἀηθής.
Ἀδιαλώβητον: ἀβλαβές.
Ἄδην: ἅλις ἢ εἰς κόρον, ἱκανῶς, ἀρκοῦντως. ἐν Χαρμίδῃ· ἐπεὶ δὲ τῶν τοιούτων ἄδην εἴχομεν. 15
Ἀδιάρθρωτον: ἄσημον, ἀτράνωτον.
Ἀδιαφορία: ἀμέλεια, χωρὶς παρατηρήσεως.
Ἀδολεσχία: ἀκαιρία, φλυαρία, συνέχεια.
Ἀδιεξίτητον: ἀδιεξέλευστον. 20
Ἀδηνέως: ἁπλῶς καὶ ἀταλαιπώρως, κατὰ στέρησιν τῶν δηνέων καὶ μεριμνῶν.
Ἀδελφίζειν: ἀντὶ τοῦ ἀδελφὸν καλεῖν. οὕτως Ἰσοκράτης καὶ ὁ Μιλήσιος ἐχρήσατο.
Ἀδημονούσης: ἀπορούσης. 25
Ἀδόνητον: ἀσάλευτον.
Ἀδιάστατον τὸ μήπω διεστηκὸς μηδὲ διακεκριμένον Ἀντιφῶν εἶπεν.
Ἀδικίου: οἷον ἀδικήματος. ἔστι δὲ ὄνομα δίκης. ἀποτίννυται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς ἐνάτης πρυτανείας ἀποδοθῇ· εἰ δὲ μή, διπλοῦν καταβάλλεται. 30
Ἀδοκίμαστος: δοκιμασθῆναι λέγεται τὸ εἰς ἄνδρας ἐγγραφῆναι. ἀδοκίμαστος δὲ ὁ μήπω ἐγγεγραμμένος.

Ἀδόλως: ἁπλῶς, ἀληθῶς.

Ἀδρανές: ἀσθενές.

Ἀδρύνοιτο: αὐξάνοιτο.

Ἀδρόν: μέγα, δαψιλές, πλούσιον. καὶ ἀδρότης ἡ ὑψηλότης.

Ἀδράστεια: οἱ μὲν τὴν αὐτὴν τῇ Νεμέσει λέγουσι, λαβεῖν δὲ τοὔνομα παρ᾽ Ἀδράστου τινὸς βασιλέως, ἢ ἀπὸ Ἀδράστου τοῦ παλαιοῦ, νεμεσηθέντος ἐφ᾽ οἷς τῶν Θηβαίων κατηλαζονεύσατο, ἱδρυσαμένων ἱερὸν Νεμέσεως, ὃ μετὰ ταῦτα προσηγορεύθη Ἀδραστείας. Δημήτριος δὲ ὁ Σκήψιος Ἄρτεμίν φησιν εἶναι τὴν Ἀδράστειαν, ὑπὸ Ἀδράστου τινὸς ἱδρυμένην. ὁ δὲ Ἀντίμαχος λέγει·

ἔστι δέ τις Νέμεσις, μεγάλη θεός, ἣ τάδε πάντα
πρὸς μακάρων ἔλαχεν· βωμὸν δέ οἱ εἵσατο πρῶτος
Ἄδρηστος, ποταμοῖο παρὰ ῥόῳ.

ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτὴν τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος.

Ἀδύνατα εἶναι: ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα δ᾽ ἐπὶ ταύτης τῆς λέξεως.

Ἀδαγμός: ὀδαξησμός, ὅ πέρ ἐστι κνησμός. οὕτω Σοφοκλῆς.

Ἄδασμος: οὐδένα δασμὸν ἐκτίνουσα, οὐδὲ μερίζουσα δασμὸν τῆς οἰκήσεως.

Ἄδδιξ: μέτρον τετραχοίνικον. οὕτως Ἀριστοφάνης.

Ἀδεκατεύτους: ὧν οὐκ ἀνατέθειται ἡ δεκάτη τοῖς θεοῖς.

Ἀδήν: τῶν ἐν τῷ σώματι γεγενημένων ἐστὶ τοῦτο. γίνεται δὲ περὶ βουβῶνας καὶ μασχάλας, καὶ ἔτι ὑπὸ τὰς σιαγόνας. ὀξύνεται δὲ ἡ λέξις καὶ δασύνεται παραλόγως, ὡς φησιν Ἡρωδιανός.

Ἄδιαντον: ξηρόν, ἄβροχον. ἢ φυτὸν παρ' ὕδασι φυόμενον, τὸ λεγόμενον πολύτριχον.

Ἀδιάφθορον: ἄμωμον. λέγεται δὲ ἀδιάφθορον καὶ τὸ μηδεμιᾷ ὑποκείμενον φθορᾷ, ὡς Πλάτων ἐν τῷ περὶ ψυχῆς. λέγεται δὲ ἀδιάφθορον καὶ τὸ μὴ παρακεκινημένον τῆς ὀρθῆς γνώμης, ὡς ὁ αὐτὸς ἐν Νόμων ἕκτῳ· ἀδιαφθόρους ταῖς δεήσεσι δικάζειν. παράγεται δὲ ἡ λέξις καὶ ἐπιρρηματικῶς, ὡς Αἰσχίνης φησὶν ἀδιαφθόρως. 5

Ἀδικότροπος ἐρεῖς καὶ ἀδικοχρήματος, ὡς Κράτης, καὶ ἀδικόχειρας, ὡς Σοφοκλῆς. 10

Ἀδικοπήμονας: τοὺς ἄνευ τοῦ δικαίου πράττοντάς τι καὶ βλάπτοντας.

Ἄδικος: ὁ μὴ ἔχων δίκην διὰ τὸ μὴ δικάζεσθαί τινι. Ἄρχιππος·

ἀμαθὴς σοφός, δίκαιος ἄδικος.

καὶ τὸ ἀμαθὴς δὲ ἐνταῦθα ἀντὶ τοῦ μηδὲν φύσει εἰδώς. σημαίνει δὲ τὸ ἄδικος, ὡς καὶ ἡ συνήθεια, τὸν καταφρονοῦντα καὶ διαφθείροντα τὸ δίκαιον. καὶ τὸ ἀμαθὴς τὸν μὴ ἐπιστάμενόν τι. 15 20

Ἀδικομήχανος; Ἀριστοφάνης·

τί γὰρ ἐπὶ κακότροπον ἐμόλετον βίον
ἀδικομηχάνῳ τέχνῃ.

Ἀδιάβατος; ὁ μὴ ῥάστως ἢ ὁ μὴ δυνάμενος εὐκόλως διαβῆναι. 25

Ἀδηφάγον ἅρμα: τὸ τέλειον.

Ἀδηφάγοι τριήρεις: αἱ μεγάλαι οὕτως ἐλέγοντο. ἢ ἔχουσαι τὰ πληρώματα ἐντελῆ. καὶ ἀδηφάγα ἅρματα τὰ μεγάλα καὶ τέλεια. καὶ ἔστι πεποιημένον ἀπὸ τοῦ ἄδην ἐσθίειν ἤτοι δαψιλῶς. 30

Ἀδίαυλος τόπος: ὅθεν μὴ ἔστιν ἐπανελθεῖν. οὕτως Εὐριπίδης·

θεοὶ χθόνιοι,

ζοφερὰν ἀδίαυλον ἔχοντες ἕδραν
τὴν φθειρομένων, Ἀχερόντειαν
λίμνην.

Ἀδιάλλακτον ἐχθρόν: Δημοσθένης. ἀδιάπαυστον Ξενοφῶν. 5

Ἀδικομάχους ἵππους Ξενοφῶν τοὺς δυςπειθεῖς λέγει, καὶ δίκαιον ἅρμα τὸ εὐπειθές.

Ἀδίοπον: ἄναρχον καὶ ἀφύλακτον. δίοπον γὰρ οἱ τῆς νεὼς φύλακες.

Ἀδιούνιος ταῦρος: ὁ ἥλιος ὑπὸ τῶν Κρητῶν οὕτω 10 λέγεται. φασὶ γὰρ τὴν πόλιν μετοικίζοντα ταύρῳ προεικασθέντα προηγεῖσθαι.

Ἀδολεσχεῖν: σημαίνει μὲν τὸ φιλοσοφεῖν περί τε φύσεως καὶ τοῦ παντὸς διαλεσχαίνοντα· λεσχαίνειν δέ ἐστι τὸ διαλέγεσθαι, καὶ λέσχαι οἱ τόποι, εἰς οὓς συ- 15 νιόντες λόγοις διημέρευον.

Ἀδιάγλυπτον: ἣν οὐκ ἔστι διαγλύψαι καὶ διελθεῖν. λαβεῖν γάρ φησιν ἄφυκτον ἀδιάγλυπτον.

Ἀδιάλυτον: τὸ μὴ διαφθειρόμενον, ὡς Πλάτων ἐν τῷ περὶ ψυχῆς. 20

Ἀδίδακτος: ὁ αὐτὸς ἐν τῷ κατὰ Μειδίου· ἀδίδακτος ἂν εἰςῆλθεν ὁ χορός.

Ἀδινοῖο γόοιο: τοῦ ἀθρόως ἐκχεομένου. Σειρήνων δὲ ἀδινάων τῶν συνεχῶς ᾀδουσῶν, ὁ Ἡλιόδωρος ἔφη.

Ἄδοξον: τὸ ἄτιμον, ὡς Ἰσοκράτης καὶ Δημοσθένης 25 ἐν Φιλιππικοῖς.

Ἄδοξα: τὰ παράδοξα, ἃ οὐκ ἄν τις δοξάσειεν.

Ἀδόξαστον: ἀνέλπιστον. Σοφοκλῆς.

Ἄδουλος βίος ἐρεῖς, τουτέστιν ὁ μὴ δοῦλον ἔχων. ἐρεῖς δὲ καὶ ἀδιάλεκτος βίος καὶ ἀγέλαστος 30 βίος καὶ ἄγαμος βίος. Φρύνιχος ἐν Μονοτρόπῳ:

ὄνομα δέ μοῦστι μονότροπος . . . .
. . . . . ζῶ δὲ Τίμωνος βίον,

ἄγαμον, ἄζυγον . . ὀξύθυμον, ἀπρόςοδον,
ἀγέλαστον, ἀδιαλεκτον, ἰδιογνώμονα.

Ἄδορπος: ὁ δόρπου καὶ δείπνου μὴ μετασχών.

Ἄδορον: τὸ μὴ ἐκδεδαρμένον θύμα.

Ἀδοξοῦνται πρὸς τῶν πόλεων: ἀντὶ τοῦ ἐν ἀδοξίᾳ εἰσὶ παρὰ ταῖς πόλεσι. Ξενοφῶν ἐσχημάτισεν ἐν τῷ Οἰκονομικῷ· καὶ γὰρ οἵ γε βάναυσοι καλούμενοι ἐπίῤῥητοί τέ εἰσι καὶ εἰκότως ἀδοξοῦνται πρὸς τῶν πόλεων. 5

Ἀδράφαξυς: τὸ λάχανον, ὅπερ οἱ πολλοὶ ἀνδράφαξυν καλοῦσι. Κοριάννοις Φερεκράτης·

ἀδράφαξυν ἕψοῦσ', εἶτ' ὀκλὰξ καθημένη. 10

Ἀδρῦναι: ἁδρὸν καὶ μέγα ποιῆσαι. Σοφοκλῆς.

Ἀδρύφακτον: ἄπονον καὶ ἀταλαίπωρον.

Ἀδύνατοι: οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος, ὡς μηδὲ ἐργάζεσθαι, οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτοῖς τῶν ἐν τοῖς τριῶν μνῶν περιουσίαν κεκτημένων. ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν πεντακοσίων βουλῆς, καὶ ἔλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας λέγει, ὀβολὸν ἕνα, ὡς δὲ Φιλόχορος, πέντε· Ἀριστοτέλης δὲ δύο ἔφη. 15 20

Ἀδυςώπητον: ἀπροςωπόληπτον. ἢ τὸ πρὸς τὰς δεήσεις ἀμείλικτον καὶ ἀνεπίστροφον καὶ σκληρόν.

Ἄδυτον: σπήλαιον. ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ. 25

Ἀδυναμία ἐρεῖς, ὡς Δημοσθένης, καὶ ἀδυνασία, ὡς Ἀντιφῶν καὶ Θουκυδίδης, καὶ ἀδυνατία, ὡς Δεινόλοχος.

Ἀδώνια: βραχεῖαν ἔχει τὴν παραλήγουσαν, ὡς Ἀριστοφάνης καὶ Φερεκράτης διὰ τῶν μέτρων μαρτυρεῖ. ἔστι δὲ τὰ Ἀδώνια ἑορτή, οἱ μὲν φασιν εἰς τιμὴν Ἀδώνιδος ἀγομένη, οἱ δὲ τῇ Ἀφροδίτῃ. ἔστι δὲ Φοινίκων καὶ Κυπρίων. 30

Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀριστοφάνης καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.

Ἀδρηστία: πόλις περὶ τὸν Ἑλλήσποντον.

Ἀδρίας: ὃ καὶ Ἰωνικὸν πέλαγος λέγεται. λέγεται δὲ καὶ Ἀδριατικὸν πέλαγος τὸ αὐτό. τὸ δὲ ἐθνικὸν Ἀδριανός, ὡς ἀπὸ τοῦ Φάσιδος Φασιανός.

Ἀδριαναὶ γυναῖκες: Αἰσχύλος Ἰλιάσιν·

Ἀδριαναί τε γυναῖκες τρόπον ἕξουσι γόων.

Ἀδώρητος ἐρεῖς, ὡς Εὐριπίδης·

οὐδ' ἀδώρητος φίλων
ἔσται πρὸς ἀνδρῶν.

καὶ Θουκυδίδης· χρημάτων τε ἀφανῶς ἀδώρητος γενόμενος. Πλάτων μέν τοί γε ἐν Συμποσίῳ ἄδωρος εἶπε· καὶ γάρ φησιν ἄδωρος δυσμενείας ἀντὶ τοῦ μὴ διδοὺς δυσμένειαν. ἐρεῖς δὲ καὶ ἀδωροδόκητος. ἀλλὰ καὶ ἀδωροδοκήτους, ὡς ὁ αὐτός.

Ἄδωρος χάρις: ἡ ἐπὶ τέλους ἐλθοῦσα δωρεά. οὕτως Εὐριπίδης.

Ἀεί: κοινότερον μὲν ἐπὶ τοῦ κατὰ πάντα χρόνον καὶ ἐν παντὶ καιρῷ, ἔστι δὲ ὅπου καὶ ἀντὶ τοῦ ἕως καὶ μέχρι. Πλάτων ἐν Συμποσίῳ· ἐπειδὴ δεδειπνήκαμεν, διελεγόμην ἀεὶ πόῤῥω τῶν νυκτῶν· καὶ ἐν ἄλλοις πολλοῖς. καὶ Εὐριπίδης ἐν Μηδείᾳ·

ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον.

πολλοὶ ἄλλοι.

Ἀελλάδες ἵπποι: αἱ ταχεῖαι. καὶ τοῦτο τραγικόν.

Ἀειθαλής: ἀεὶ θάλλων.

Ἀειφυγία: ἡ εἰς ἀεὶ φυγή.

Ἀειλογία: πολυλογία ἢ ταυτολογία.

Ἀελλόπους: ταχύπους.

Ἄελλα: ἀνέμων συστροφή.

Ἀεθλεύων: ἀγωνιζόμενος.

Ἀέθλευον: ἐμόχθουν, ἠγωνίζοντο.

Ἀεθλοφόρους: ἀγωνιστάς.

Ἄερκτον: ἀντὶ τοῦ ἄφρακτον καὶ πανταχόθεν ὁρώμενον. 5

Ἀεροβατεῖν: εἰς τὸν ἀέρα περιπατεῖν.

Ἀείνως γλῶττα καὶ ἀείνως φωνὴ καὶ ὀργὴ καὶ ἐπιθυμία, καὶ ἐπὶ τῶν ὁμαίων, χρῶ·

γλῶττάν τέ σοι δίδωσιν ἐν δήμῳ φορεῖν
καλῶν λόγων ἀείνων, 10
ἢ πάντα κινήσεις λέγων.

ἐρεῖς δὲ καὶ ἀείνως ποταμὸς καὶ ἀείνως κρήνη, διὰ τὸ ἐγκεῖσθαι τῇ λέξει τὸ νάειν, ὅ πέρ ἐστι ῥεῖν· ἴδιον δὲ ὕδατος τὸ ῥεῖν. τὸ δὲ γλῶττα ἀείνως πάνυ καινὸν καὶ ἐναργῶς εἴρηται ἐπὶ τῆς δεινῆς εἰπεῖν. 15

Ἀείζων: ἀείζων ἐρεῖς τρισυλλάβως, ὡς οἱ Ἀττικοί, καὶ ἀείζωον τετρασυλλάβως. ἔστι δὲ ὅμοιον τῷ ἀείνων, ὃ σημαίνει τὸ ἀένναον. ὥςπερ οὖν ἀπὸ τῆς σῶος εὐθείας δισυλλάβου γίνεται σῶς εὐθεῖα μονοσύλλαβος, καὶ ἡ αἰτιατικὴ σῶν, οὕτω καὶ ἀπὸ τῆς ζῶς εὐθείας μονοσυλλάβου, ᾗ κέχρηται καὶ Ὅμηρος, γίνεται ἡ αἰτιατικὴ ζῶν, καὶ κατὰ σύνθεσιν ἀείζων, ὡς Αἰσχύλος Γλαύκῳ Ποντίῳ· 20

ὁ τὴν ἀείζων ἄφθιτον πόαν φαγών.

Σοφοκλῆς δὲ τὴν εὐθεῖαν εἶπεν ἀείζως γενεά. ἀπὸ δὲ τῆς ζωός δισυλλάβου εὐθείας φιλόζωος εἶπεν. ἧς ἡ γενικὴ ζωοῦ, ἣν Αἰσχύλος κατὰ σύνθεσιν προάγει, εἰπών· 25

καὶ γεύομαί πως τῆς ἀειζώου πόας.

Ἀείζων πένθος ἐρεῖς, ὡς Σοφοκλῆς ἀείζωον ἕλκος. 30

Ἄειλα: τὰ πολύσκια χωρία, κατὰ στέρησιν τῆς ἕλης. οὕτως Αἰσχύλος.

Ἀείνων: τὸ ἀένναον.

Ἀείταν: τὸν ἑταῖρον. Ἀριστοφάνης δὲ τὸν ἐρώμενον.

Ἀετός: τό τε πτηνὸν ζῶον, καὶ τὸ ἐπὶ τῷ προπυλαίῳ, ὃ νῦν ἀέτωμα λέγουσιν. ἡ γὰρ ἐπὶ τοῖς προπυλαίοις κατασκευὴ ἀετοῦ μιμεῖται σχῆμα, ἀποτετακότος τὰ πτερά. ἔστι δὲ καὶ βοτάνη ἐν Λιβύῃ. 5

Ἀελλησιθύμοις: ἀνυποστάτοις μετὰ παῤῥησίας.

Ἀέσαι: ἐπὶ πολὺ κοιμηθῆναι, κατὰ στέρησιν τοῦ ἔσαι, ὅ ἐστιν ὁρμῆσαι. ἢ ὡς ὁ Ἀπίων, ἐπὶ πολὺ ἡσθῆναι.

Ἄζυξ: ὁ μὴ συνεζευγμένος γάμῳ. 10

Ἀζήτητον: τὸ ζητούμενον οὐδ' ὅλως.

Ἀζηνιεύς: Ἀζηνία δῆμός ἐστι φυλῆς τῆς Ἱπποθοωντίδος, ἀφ' ἧς ὁ φυλέτης Ἀζηνιεύς.

Ἄζα: ξηρασία. σημαίνει δὲ καὶ τὸ ἐν ἀγγείῳ ὀλίγον ὑγρόν. οὕτω Ἡραξιφάνης. 15

Ἀζάλιον: ξηρόν, ἢ ἄγαν ζέον.

Ἄζειν: τὸ στένειν. Σοφοκλῆς.

Ἄζειν: τὸ διὰ τοῦ στόματος ἀθρόως ἐκπνεῖν ἄζειν λέγουσιν Ἀττικοί, μιμούμενοι τὸν ἦχον τοῦ πνεύματος. οὕτω Νικόχαρις. 20

Ἀζήν ὁ πώγων κατὰ Φρύγας λέγεται. ἡ λέξις Ἡρωδιανοῦ.

Ἀζηνία καὶ Ἀμαξάντεια καὶ Ἀνακαία, ἔτι δὲ Ἀχερδοῦς καὶ Ἀγριάδαι, δῆμοι. ταῦτα πάντα Ἱπποθοωντίδος. 25

Ἀζησία: οὕτως ἡ Δημήτηρ παρὰ Σοφοκλεῖ καλεῖται. οἱ δὲ τὴν εὐτραφῆ.

Ἀζύμου κράσεως: ἀντὶ τοῦ τῆς γλίσχρας. καὶ τὸ ἄζυμον. ἐν Τιμαίῳ· τὴν δὲ δὴ τῶν νεύρων φύσιν ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κράσεως μίαν ἐξ ἀμφοῖν. λέγεται γὰρ κρέα γλίσχρα τὰ ἄσαρκα καὶ δερματώδη. τινὲς δὲ γλίσχρον τὸ ἐπίπονον καὶ ταλαίπωρον. 30

Ἀηδές: λυπηρὸν καὶ ἀηδές.

Ἄησιν: ἀναπνεῖ.

Ἀηδόνα: ἔστι μὲν ἡ ὄρνις, ἐκ μεταφορᾶς δὲ οἱ τραγικοὶ τὴν γλωσσίδα τῶν βοῶν, ἔστι δὲ ὅπου καὶ τον αὐλόν. ἡ λέξις Διδύμου. 5

Ἀηδόνειος θρῆνος: Αἰσχύλος·

θρηνεῖ δὲ γόον τὸν ἀηδόνειον.

Ἀηδόνειος ὕπνος: Νικόχαρις· εἰ πεύσομαι τὸν ἀηδόνειον ὕπνον ἀποδαρθέντα σαυτὸν αἰτιῶ.

Ἀηδόνειος κλαγγή: Νικόμαχος· 10

μέλπουσιν ἀηδόνειον κλαγγήν.

Ἀήσυρον: ἀσθενὲς καὶ κενόν.

Ἀθαμβής: ἄφοβος.

Ἀθέμιστα: ἄδικα.

Ἀθέμιστος: ἄνομος. 15

Ἀθήλυντον: ἀδάμαστον, σκληρόν.

Ἀθησαύριστον; ἀνεπιτήδειον εἰς ἀπόθεσιν.

Ἄθλον: συνάγει.

Ἆθλον: ἀγώνισμα. ἢ τιμή; ὁ μισθός, τὸ τοῦ ἀγῶνος βραβεῖον. 20

Ἆθλος: ἀρσενικῶς τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον. διαφέρει δὲ τοῦτο τοῦ οὐδετέρου, ὅτι τὸ μὲν οὐδέτερον δηλοῖ κυρίως τὸ ἔπαθλον, τοῦτο δὲ τὸν ἀγῶνα.

Ἀθλεύων: κοπιῶν. 25

Ἄθραυστον: ἰσχυρόν, ἄκλαστον.

Ἄθρει: ὅρα, βλέπε.

Ἀθεώρητος: ἀντὶ τοῦ ἀθέατος.

Ἀθηνόδωρος: ὄνομα κύριον, στρατιώτης Ἀθηναῖος.

Ἀθμονεύς: Ἀθμονία δῆμός ἐστι φυλῆς τῆς Κεκροπίδος, ἀφ᾽ οὗ ὁ δημότης Ἀθμονεύς. 30

Ἄθρεῖν: τὸ περισκοπεῖν καὶ μετὰ ἐπιτάσεως ὁρᾶν. παραδειγμάτων δὲ πάντα μεστά.

Ἄθρους: ἢ ἀφ' ὧν συνηγμένους ὁμοῦ ἢ ἀθρόως. λέγεται δὲ καὶ ἄθρους καὶ ἀθρόους.

Ἀθροίζει: συνάγει. 5

Ἄθυρμα: παίγνιον. καὶ ἀθύρειν τὸ παίζειν. Πλάτων Νόμοις· ἡ δ' αὖ παρ' ἡμῖν κόρη καὶ δέσποινα, εὐφρανθεῖσα τῇ τῆς χορείας παιδιᾷ, κεναῖς χερσὶν οὐκ ᾠήθη δεῖν ἀθῦραι. ἀθρήματά τινα ὄντα, παρὰ τὸ ἀθρεῖν, θεάματα. 10

Ἀθύρων: παίζων.

Ἄθυμος: ὅ τε ἀόργητος παρὰ Πλάτωνι, καὶ ὁ περίλυπος παρ' Αἰσχίνῃ.

Ἀθέλδεται: διηθεῖται. Διοκλῆς Μελίσσαις·

καὶ διὰ τετρημένων ἀθέλδεται τύπων. 15

Ἄθεσμος βλάβη: ἧσάν τινες ἄθεσμοι καλούμεναι βλάβαι, περὶ ὧν νόμος οὐκ ἦν κείμενος. τὸ δὲ αὐτὸ ἐκαλεῖτο καὶ ἄθεσμος δίκη.

Ἀθετεῖν: ἐπὶ τοῦ μὴ ἁρμόζειν.

Ἀθεσίαν: παραβασίαν. 20

Ἄθετος: ὁ ἀποίητος. οὕτω Ποσείδιππος.

Ἄθηλον: τὸ μὴ τεθηλός. ἢ ἀδάμαστον, σκληρόν.

Ἄθηλον παιδίον: τὸ τροφῆς μὴ μετειληφός, τὸ ἄτροφον. οὕτως Ἀριστοφάνης.

Ἀθηνᾶ ἱππία: ἢ ὅτι ἐκ τῆς τοῦ Διὸς κεφαλῆς, ὡς ὁ μῦθος, μεθ' ἵππου ἀνήλατο· ἢ ὅτι, ὡς Μνασέας, ἡ Ποσειδῶνος καὶ Κόρης τῆς Ὠκεανοῦ θυγάτηρ Ἀθηνᾶ τὸ ἅρμα τῶν ἵππων ἐξεῦρεν. ἄλλοι δέ φασιν, ὡς Ἄδραστον φεύγοντα καὶ ἐπὶ κολωνοῦ στήσαντα τοὺς ἵππους Ποσειδῶνα καὶ Ἀθηνᾶν ἱππίους προσαγορευθῆναι. 25 30

Ἀθήρη: ἀντὶ τοῦ ἠκονημένου σιδήρου, κατὰ μεταφο-

ρὰν ἀπὸ τοῦ ἀθέρος, ὅ ἐστι τοῦ ἀστάχυος τὸ ἄκρον καὶ λεπτότατον, ἀφ᾽ οὗ τὸ ἀθηρηλοιγόν καὶ ἀθέριζον πεποίηται.

Ἄθηρος ἡμέρα: σεμνὴ πάνυ ἡ συμπλοκὴ καὶ ἀξίωμα οὐ μικρὸν ἔχουσα. καὶ γὰρ ὁ χρησάμενος τῇ φωνῇ καὶ τῇ φράσει Αἰσχύλος ἐστὶν ἐν Τοξότησι. πρόσεστι δὲ τὸ σεμνὸν τῆς λέξεως καὶ τὸ πολιτικόν. λέγεται δὲ ἐπὶ Ἀκταίωνος· 5

οὔ πώ τις Ἀκταίων᾽ ἄθηρος ἡμέρα
κενόν, πόνου πλουτοῦντ᾽, ἔπεμψεν ἐς δόμους. 10

ἐγγράφων χρῶ, φησὶν ὁ Φρύνιχος.

Ἀθάρη καὶ ἀθέρα καὶ ἀθήρα καὶ ἀθάρα τὸ αὐτό φασιν. ἔστι δὲ ἀθάρη ἡ ἐκ πυρῶν ἡψημένων καὶ διακεχυμένων ὥςπερ ἔτνος τροφή. διαφέρει δὲ τοῦ ἔτνους, ὅτι τὸ μὲν ἔτνος ἐκ κυάμων ἢ πισῶν ἢ ἁπλῶς κατεριπτῶν ὠντινωνοῦν σκευάζεται, ἡ δὲ ἀθάρη, ὥςπερ εἴρηται, πυρῶν ἡψημένων καὶ διακεχυμένων. ἔστι δὲ ἡ χρῆσις τῆς λέξεως πολλὴ παρὰ τοῖς Ἀττικοῖς, κατὰ μὲν τὸ τέλος διὰ τοῦ η προαγομένη, κατὰ δὲ τὴν μέσην διὰ τοῦ α. κατὰ δὲ πολλοὺς ἄλλους κατὰ μὲν τὸ τέλος διὰ τοῦ α, κατὰ δὲ τὴν μέσην διὰ τοῦ η. οὕτω δὲ καὶ Ἑλλάνικος καὶ Σώφρων ἐχρήσατο. ἐκτείνουσι δὲ καὶ τὸ α, ὡς ἀπὸ τοῦ ἀθήρα τῆς λέξεως μεταληφθείσης. ἴσως δέ φασιν ἀθέρα ἦν ἡ λέξις διὰ τοῦ ε, ἡ ἐκ τῶν ἀθέρων κεκαθαρμένη τροφὴ καὶ ἡψημένη ἐκ τῶν πυρῶν, ὕστερον δὲ τὸ ε εἰς τὸ η ἐξετάθη, ὥςπερ καὶ τὸ ἔθος εἰς ἦθος. τὸ μέντοι ἀθέρα εἰς τὸ ἀθάρα Δωρικῶς γέγονεν. οἱ δὲ ἀθάρην λέγοντες Ἰακῶς φασί· καὶ γὰρ καὶ ἄλλοις ἐχρήσαντο Ἰακοῖς διὰ τὴν ἄνωθεν συγγένειαν. ὥςτε τὸ ἀθάρη παρὰ τοῖς Ἀττικοῖς λεγόμενον τὴν μὲν παραλήγουσαν κατὰ τὴν Δώριον, τὴν δὲ κατάληξιν κατὰ τὴν Ἰωνικὴν ἔσχε διάλεκτον. Ἀριστοφάνης Πλούτῳ·

ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη.

Κράτης Ἥρωσιν·

οὐκοῦν ἔτνους χρὴ δεῦρο τρυβλίον φέρειν
καὶ τῆς ἀθάρης.

Ἀθυρόγλωσσος: Εὐριπίδης Ὀρέστῃ· 5

ἀνήρ τις ἀθυρόγλωσσος.

εἴρηται δὲ ἢ παρὰ τὸ θύραν μὴ ἐπικεῖσθαι τῇ γλώττῃ, ἢ παρὰ τὸ ἀθύρειν, ὅ περ ἐστιν ἀδιακρίτως ὁμιλεῖν. σημαίνει δὲ τὸν ἀθυρόστομον, τὸν μὴ κατέχοντα τὸ στόμα. 10

Ἀθύρωτος: ἄκλειστος. Ἀριστοφάνης.

Ἀθώπευτον: ἀκολάκευτον, ἄγριον.

Ἄθων: τὸ ὄρος, θηλυκῶς.

Ἀθῷος: ὁ ἀζήμιος, ὁ ἔξω τῆς θωῆς ἤγουν τῆς ζημίας.

Ἀθράνευτον: ἄστρωτον. 15

Ἀθρακτος: ἀτάραχος. καὶ τὸ συνεχύθη ἐθράχθη Σοφοκλῆς λέγει.

Ἀθυμεῖν: ἐπὶ τοῦ τῇ ψυχῇ καταπεπτωκέναι. πολύ ἐστιν ἐν τῇ τραγῳδίᾳ. οὕτως Αἰσχύλος.

Ἀθυμία: Ἡρόδοτος ἐν τῷ πρώτῳ αὐτοῦ λόγῳ τὴν ἀτυ- 20 χίαν λέγει.

Ἄθριξ: ὁ ἐψιλωμένος τριχῶν.

Ἀθήναζε: Πλάτων ἐν Ὀδυσσείᾳ. Παρμενίδῃ. τὸ μέν τοι ἐν τῷ περὶ ψυχῆς ἐπίστασιν ἔχει ὡς ἡμαρτημένον. φησὶ δὲ τούτῳ· καὶ γὰρ οὔτε τῶν πολιτῶν 25 Φλιασίων οὐδ' εἷς πάνυ τι ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε. καὶ τὸ παρὰ Ἀντιφῶντι δὲ ἐν τῷ περὶ ἀνδραποδισμοῦ λόγῳ ἐπίστασιν ἔχει ὡς ἡμαρτημένον τὴν σύνταξιν. γράφει δὲ οὕτως· ἐπειδὴ γὰρ ἀπῴκεις τὴν Ἀθήναζε, καὶ ἀπηλλάγην τῆς 30 κληρουχίας.

Ἀθάριοι: αἱ μὴ διαπεπαρθενευμέναι. τινὲς δὲ μὴ δεδεμένοι ἄρθρον.

Ἀθα-

Ἀθερίζει: ἀδικεῖ, προπηλακίζει.

Ἀθέλβεται: διηθεῖται.

Ἄθαπτος: ὁ μὴ τεθαμμένος, παρὰ Μενάνδρῳ.

Ἀθαύμαστως Σοφοκλῆς εἶπεν.

Ἀθέμιστα καὶ ἀνόσια δρᾶν Δείναρχος εἶπε καὶ Σοφοκλῆς. καὶ ἀθεμιστότεροι Ξενοφῶν. καὶ ἀθέμιτοι μοῦσαι εἶπεν Ἀγάθων ἐν Ἀλκμαίωνι. 5

Ἄθετος Ἐρινύς: σκληρά, ἣν οὐχ οἷόν τε ἐξιάσασθαι.

Ἀθηρής: ἴσως μὲν ὁ ἀτηρής, ἢ ὁ ἀντερειστικός. Αἰσχύλος Ἀγαμέμνονι· 10

χαλκὸν ἀθέριτον ἀσπίδος ὑπερτενῆ.

ἢ ὁ λαμπρός, ὁ διὰ λαμπρότητα ἀθρούμενος. ἢ ὁ ἀθερίζων καὶ οὐδενὸς ἔχων λόγον διὰ σκληρότητα. ἢ ὁ ὀξύς, παρὰ τοὺς ἀθέρας.

Ἀθήρ: ἀκμὴ τοῦ ἠκονημένου σιδήρου, κατὰ μεταφορὰν ἀπὸ τοῦ ἀθέρος, ὅς ἐστι τοῦ ἀστάχυος. λέγεται δὲ καὶ ἡ ἐπιδορατὶς ἀθήρ. 15

Αἶ: ψιλούμενον καὶ περισπώμενον τὸ ὄφελον σημαίνει, κατ' ἀποκοπὴν τοῦ αἴθε. δασυνόμενον δὲ ἄρθρον θηλυκὸν ἀναφορικόν. σημαίνει δὲ καὶ ἐπίρρημα θρηνητικὸν περισπώμενον καὶ ψιλούμενον, ὃ καὶ διπλασιάζεται· 20

αἶ αἶ τάλαινα.

Αἰάζειν: τὸ κατοικτείρειν.

Αἶ γάρ: εἴθε γάρ. 25

Αἰγιάζειν:

σὺ δ' αἰγιάζεις ἐνθαδὶ καθήμενος,

ἀντὶ τοῦ περὶ αἰγῶν λαλεῖς.

Αἰγίβοτος: ἐπιτηδεία αἶγας βόσκειν.

Αἰδέσιμον: ἀξιοτίμητον, καλόν. 30

Αἰξωνεύεσθαι: ἀπὸ δήμου τινὸς ἡ κατηγορία τοῦ Αἰξωνέως, ὡς ἀπὸ Ἀβδήρων ὁ Ἀβδηρίτης. ὡς ἐπὶ

βλασφημίᾳ δὲ διάβέβληται. βλάσφημοι γὰρ οἱ Αἰξωνεῖς κατηγοροῦνται. φησὶ γὰρ ὁ κωμικός·

γραῦς τις κακολόγος, ἐκ δυοῖν Αἰξωνέοιν.

Αἰγίς: τὸ ἐκ τῶν στεμμάτων πλέγμα. καὶ τὸ διάστεμμα τῶν πεπλεγμένων δικτύων. καὶ τὸ τοῦ Διὸς ὅπλον. καὶ ἀνέμου συστροφή, ἣν καὶ καταιγίδα καλοῦσι. καὶ θώραξ. καὶ ἡ ἐν ταῖς πεύκαις οὐλότης.

Αἰγεῖον: Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. Αἰγεῖόν ἐστιν Αἰγέως ἡρῷον ἐν Ἀθήναις.

Αἰγεῖδαι: Δημοσθένης ἐν τῷ Ἐπιταφίῳ, εἰ γνήσιος. ἔστι δὲ Αἰγηὶς φυλή, ἀπὸ Αἰγέως τοῦ Πανδίονος, ἧς οἱ φυλέται Αἰγεῖδαι.

Αἰγυπτιάζειν: τὸ πανουργεῖν καὶ κακοτροπεύεσθαι.

Αἰγλήεντος: λαμπροῦ.

Αἴγλη: λαμπηδών, αὐγή, φέγγος, φῶς. καὶ ἡ θυσία δὲ ἡ ὑπὲρ τοῦ κατακλυσμοῦ εἰς Δελφοὺς ἀπαγομένη αἴγλη ἐκαλεῖτο. καὶ ποπάνου τι εἶδος, ἐν ᾧ διεπλάσσετο εἴδωλα. καὶ βόλος φαῦλος κυβευτικὸς αἴγλη ἐκαλεῖτο. ἀλλὰ καὶ ἡ σελήνη. καὶ τοῦ ζυγοῦ τὸ περίμεσον. καὶ παιδιά τις ἐκαλεῖτο αἴγλη. καὶ ὁ Ἀσκληπιός. καὶ χλιδὼν δέ τις οὕτως ἐκαλεῖτο. ἔνιοι δέ φασι σημαίνει καὶ τὸν περιπόδιον κόσμον ἢ τὸν ἀμφιδέα, ἢ ἁπλῶς ψελλίον. σημαίνει δὲ καὶ τὴν πέδην ἡ αἴγλη, ὡς παρ' Ἐπιχάρμῳ.

Αἰγείρου θέα καὶ ἡ παρ' αἴγειρον θέα: Ἀθήνησιν αἴγειρος ἦν, ἧς πλησίον τὰ ἴκρια ἐπήγνυντο εἰς τὴν θέαν πρὸ τοῦ θέατρον γενέσθαι. οὕτω Κρατῖνος.

Αἰγυπιόν οἱ παλαιοί, οὐ γῦπα.

Αἰδήμων: αἰδέσιμος.

Αἰδοῖ εἴκων: αἰδούμενος.

Αἰδοσύνη: ἐπὶ τῶν ἐγκεκρυμμένων καὶ ἀφανῶν καὶ λανθάνειν βουλομένων.

Αἰδεσασθαι: ἀντὶ τοῦ μεταπεισθῆναι. οὕτω Λυσίας

καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. ἀντὶ τοῦ ἐξιλάσεται καὶ πείσειν.

Αἰθάλη: σποδός, τέφρα, τὸ ἐκ καμίνου μέλαν.

Αἰθαλόεν: κεκαυμένον.

Αἰθαλώδης: σκοτώδης. 5

Αἰθαλείδης: δῆμός ἐστιν Αἰθαλεῖδαι τῆς Λεοντίδος φυλῆς, ἧς ὁ φυλέτης Αἰθαλείδης.

Αἴθ' ὄφελον: παραλλήλως τὰ εὐκτικὰ μόρια κείμενα κατὰ τοῦτο διαφέρουσιν, ὅτι τὸ μέν ἐστιν ἀπαρέμφατον προσώπων, τὸ δὲ ὄφελον τὰ πρόσωπα ἐμφαίνει. 10

Αἴγλης Χάριτες: πιθανῶς ἐγενεαλόγησαν τὰς Χάριτας Αἴγλης δὲ ἥλιος, ἐπεὶ τὰς χάριτας λαμπρὰς εἶναι δεῖ.

Αἰδώ: τὸ αἰδοῖον. καὶ ἡ σελήνη παρὰ Χαλδαίοις. καὶ ἡ ῥιπὴ παρὰ Λάκωσι. καὶ ἡ τροφὸς τῆς Ἀθηνᾶς. καὶ 15 ὁ βωμὸς ὁ ἐν τῇ ἀκροπόλει.

Αἴθεσιν: λαμπροῖς.

Αἰθήρ: ὁ ἐν ὕψει ἀήρ, ὁ ἐπάνω τοῦ ἀέρος καιόμενος ὑπὸ τοῦ ἡλίου.

Αἰθόμενος: καιόμενος. 20

Αἰθρία: εὐδία.

Αἴθριος: ὑπὸ τὸν ἀέρα.

Αἰκία: ὕβρις ἔμπληγος. διαφέρει δὲ ὕβρεως, ὅτι αἰκία μὲν ἡ διὰ πληγῶν, ὕβρις δὲ καὶ ἄνευ πληγῶν μετὰ προπηλακισμοῦ καὶ ἐπιβουλῆς. διὸ καὶ εὐθὺναι ἐλάτ- 25 τονες τῆς αἰκίας, καὶ τὰ δικαστήρια διάφορα.

Αἰκίζει: κακοῖ, τύπτει.

Αἱματόεντα: αἱματώδη.

Αἴθρια στέφη: τὰ αἰθέρια. ἢ μεγάλα. οἱ δὲ τὰ ἀπὸ τῶν δένδρων. ἢ τὰ ἐξ Ὑπερβορέων κομιζόμενα, ὡς ἀεὶ 30 ἐν ὑπαίθρῳ τιθέμενα.

Αἰθιόπιον: τῆς Εὐβοίας ἐστὶ χωρίον.

Αἰκίας: εἶδός ἐστι δίκης ἰδιωτικῆς, ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον, ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται, ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δικασταὶ ἐπικρίνουσιν. 5

Αἱμασιά: τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον. κυρίως δὲ τοῖς ἠκανθωμένοις λέγεται φραγμοῖς ἤ τινες ἅρπ. ον. καὶ οἱ Ἴωνες οὕτω χρῶνται. δηλοῖ δὲ Ἡρόδοτος ἐν τῇ πρώτῃ. φαύλως δὲ οἱ πολλοὶ τὸ χωρίον αὐτὸ τὸ ὑπὸ αἱμασιῶν περιεχόμενον αἱμασιὰν καλοῦσιν. 10

Αἶνος: λόγος παροιμιώδης. ἢ ἔπαινος καὶ ἐγκώμιον.

αἶνός τις ἔστιν, ὡς ἀνήρ τε κοὐκ ἀνήρ.

Αἵματι κλαίειν: ἐφ' ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες, οὕτως ἔλεγον οἱ ἀρχαῖοι, οὐδ' ἂν πείσειας αὐτὸν οὐδ' αἵμασι κλαίων. 15

Αἱμηρόν: αἵματος πλήρη.

Αἷμα: τὸ γένος·

ταύτης τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι.

καὶ τῶν ἐν ἡμῖν τεσσάρων χυμῶν τὸ κυριώτατον. Σοφοκλῆς δὲ ἐν Ἠλέκτρᾳ τὴν μάχαιραν αἷμά φησιν. 20

Αἰόλος: εὐκίνητος, ποικίλος.

Αἰμύλος: κόλαξ, ἀπατεών.

Αἰναρέτης: ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένος. αἰνὸν γὰρ τὸ κακόν.

Αἰνίγματα: ζητήματα. 25

Αἰνίττεται: ἀσήμως λέγει.

Αἰπόλια: αἰγονόμια.

Αἱρεθέν: θεληθέν.

Αἱρετόν: ἐπιθυμητόν.

Αἱρησαμένων: βουλευσαμένων. 30

Αἷρε μασχάλην: ἐπὶ τοῦ ὀρχήσασθαι.

Αἱρετιεῖ με: προτιμοτέραν ἡγήσεται.

Αἰρήσειν: συλλαβεῖν, ἑλκύσαι, χειρώσασθαι, πορθῆσαι.
Αἱρεῖ: καταλαμβάνει.
Αἱρήσεσθαι: λαβεῖν.
Αἰρόμενος: φερόμενος.
Αἱρήσομαι: λήψομαι, σκέψομαι, βουλεύσομαι, ἐκλέξομαι. 5
Αἴσιμα: καθήκοντα.
Αἴσιος: ὁ καθήκων, ἀληθής.
Αἰσυητῆρι: χοιροβοσκῷ.
Αἰσχίω: χείρω. 10
Αἶσχος: ἀτιμία.
Αἰχμάσσουσι: δορατομαχήσουσιν.
Αἰτναῖον πῦρ: τὸ Σικελικὸν πῦρ, ἐκ τοῦ ὄρους τοῦ λεγομένου Αἴτνη. καὶ αἰτνίζοντος.
Αἰχμή: ἡ ἐπιδορατίς. 15
Αἰχμητής: πολεμικός.
Αἱ ψελλίζουσαι: αἱ ἀσήμως λέγουσαι.
Αἰών: μυελός. ἢ χρόνος ἀΐδιος.
Αἰωνίζει: διὰ παντός.
Αἰώρα: ἀγχόνη, ὕψος, ἔπαρσις. 20
Αἰωρήσεις: κρεμάσεις.
Αἰωροῦνται: κρέμανται.
Ἀκάθεκτος: ἀκατάσχετος.
Ἀκαθοσίωτον: ἄνομον, ἄκοσμον, ἀπόβλητον.
Ἄκαινα: ἔστι μέτρον δεκάπουν. ἔστι δὲ καὶ ῥάβδος, ἐν ᾗ κεντοῦσι τοὺς βόας, τῶν Πελασγῶν τοῦτο εὑρόντων. 25
Ἀκαπήλευτον: ἄδολον, καθαρόν, ἀραδιούργητον.
Αἰγίζειν: διασπᾶν.
Αἶρε δάκτυλον: τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ ἀγωνίᾳ. ἐπαίρεσθαι γὰρ τὴν χεῖρα σύμβολον τοῦ νενικῆσθαι. 30

Αἰρεῖσθαι: ἐργάζεσθαι.

Ἄρασθαι: προσενέγκασθαι. Κρατῖνος Τροφωνίῳ·

οὐ σῖτον ἄρασθ', οὐχ ὕπνου λαχεῖν μέρος.

Αἶρε: πρόσφερε. αἴρειν γὰρ καὶ τὸ προσφέρειν δηλοῖ, οἷον

αἶρ', αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ,

Ἀριστοφάνης Εἰρήνῃ. καὶ μετὰ τῆς προθέσεως Φερεκράτης Πετάλῃ·

πρόσαιρε τὸ κανοῦν· εἰ δὲ βούλει, πρόσφερε.

ἐτίθεσαν δὲ τὴν λέξιν καὶ ὡς ἡμεῖς, ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδρος Κεκρυφάλῳ·

εἶτ' εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε·
μύρα, στεφάνους ἑτοίμασον· σπονδὰς . .
ποίησον.

καὶ Συναριστώσαις·

ἂν ἔτι πιεῖν μοι δῷ τις. ἀλλ' ἡ βάρβαρος
ἅμα τῇ τράπεζῃ καὶ τὸν οἶνον ᾤχετο
ἄρασ' ἀφ' ἡμῶν.

Αἰρούμενος: βουλόμενος.

Αἰνίους: Αἶνος πόλις ἐστὶ τῆς Θράκης, ἣν Ἕλληνες τὰ πρῶτα καὶ Ἀλωπεκοννήσιοι κατῴκισαν· ὕστερον δὲ ἐκ Μιτυλήνης καὶ Κύμης ἐπηγάγοντο ἐποίκους.

Αἰξωνῆσιν: Αἰξωνὶς δῆμός ἐστι φυλῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι, ἀφ' οὗ καὶ τὸ κακῶς λέγεσθαι αἰξωνεύεσθαι ἔλεγον.

Αἰκάλλει: σαίνει, θωπεύει.

Αἰθρεῖ: χειμάζει.

Αἰνῶ: παραιτοῦμαι. Σοφοκλῆς. καὶ ἐπαινῶ.

Αἴλινον: κοινῶς καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου ἐστίν, ἀπὸ Αἰλίνου τοῦ Καλλιόπης.

Αἵματος ἆσαι Ἄρηα: αἵματος κορέσαι τὸ δόρυ. ἢ αἵματι μολῦναι καὶ χρῶσαι· ἄση γὰρ ἡ ῥυπαρία, ὅθεν

καὶ ἀσάμινθος, ἐν ᾗ τὴν ἄσην μινύθοντες ἔλουοντο, ὅ ἐστι τὴν ὑπαρίαν μειοῦντες.

Αἰόλη νύξ: ἤτοι μέλαινα ἢ ποικίλη διὰ τὰ ἄστρα.

Αἰσχυνόμενος περιπλέκει τὴν συμφοράν: ἐν συνουσίᾳ. 5

Αἴσθεσθαι καὶ αἰσθάνεσθαι: ἔνιοι διαφορὰν ὑπέλαβον εἶναι τοῦ αἴσθεσθαι καὶ αἰσθάνεσθαι, καὶ διαπεφήναντο τοὺς ῥήτορας κεχρῆσθαι τῷ αἴσθεσθαί μου ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι, τῷ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑπονοεῖν. ἡμεῖς δὲ περὶ ἀμφοτέρων ἐροῦμεν. τὸ 10 αἰσθάνεσθαι κατὰ ἀλήθειαν οἱ παλαιοὶ ἐπὶ τοῦ εἰδέναι τι ἔταξαν· οὕτως Ἀντιφῶν· καὶ ἐπὶ τοῦ ὑποπτεύειν, ὡς Λυσίας.

Αἰτούμενος: κιχράμενος. Μένανδρος Ὕμνιδι·

οὐ πῦρ γὰρ αἰτῶν, ἀλλὰ λοπάδ' αἰτούμενος. 15

Αἰνίζομαι μαζῷ: ἐπαινῶ ἢ καταπλήσσομαι, παρὰ τὸ αἰνόν, ὅ ἐστι δεινόν. τινὲς δὲ τὸ εἰς αἶνον καὶ παραβολὴν ἄγω, οἷον αἰνιγματοῦμαί σε.

Αἶρα: σφύρα, ἀξίνη.

Αἴρειν: λαμβάνειν καὶ καταλαμβάνειν. 20

Αἴρειν: αὔξειν,

Αἰρεῖς: δοξάζεις, ἡγῇ.

Αἴρειν: τράπεζαν παρατιθέναι.

Αἰρόπινον: σκοτεινόν. καὶ κόσκινον ἐν ᾧ πυροὶ σήθονται ὑπὲρ τοῦ τὰς ἄρας διελθεῖν. 25

Αἴσακος: ὁ τῆς δάφνης κλάδος, ὃν κατέχοντες ὕμνουν τὸν θεόν.

Αἴσθων: αἰσθανόμενος. καὶ βασανιζόμενος. ἢ ἐκπνέων.

Αἴσιμα: τὰ προσήκοντα, παρὰ τὴν αἶσαν. ἐνίοτε δὲ τὰ καθήκοντα ἢ τὰ ἀγαθά. ἔσθ' ὅτε δὲ τὰ εἱμαρ- 30 μένα.

Αἴσιον: μέτριον, δίκαιον. καὶ ὑπεραίσιον.

Αἰσυμνῆται: οἱ τοῦ ἀγῶνος προεστῶτες. ἢ οἱ νεανίαι.

ἢ οἱ νεμηταί, ὅ ἐστι βραβευταὶ καὶ ἡ δύοι τοῦ αἰσίου βραβευταὶ ἑκάστῳ.

Αἰσχύνει: αἰκίζεται, λυμαίνεται, αἶσχος περιτίθησιν.

Αἰτήσασθαι: τὸ χρήσασθαι. Μένανδρος.

Αἰόλλει: ποικίλλει, στρέφει, πλανᾷ. 5

Αἴ αἴ. ἠθικὸν τοῦτο. Πλάτων Γρυψίν·

αἴ αἴ, γελῶν δ' ἐπηκροώμην . . πάλαι.

ἔστι δὲ πολὺ παρὰ τοῖς τῆς μέσης κωμῳδίας καὶ νέας ποιηταῖς.

Αἰαί: ἀκόντιον Ἀθήνησι. καὶ τοῦ Αἰακοῦ τέμενος. 10

Αἰβοῖ: σχετλιασμοῦ δηλωτικὸν ἐπίφθεγμα παρὰ Δωριεῦσιν.

Αἰγάλεως: ὄρος ἐν τῇ Ἀττικῇ, ἀπάντικρυ Σαλαμῖνος.

Αἰγίθαλλος: ὄρνεον κωλυτικὸν πράξεως. Ἀλκαῖος Γανυμήδει· 15

ἔοικεν αἰγίθαλλος διακωλύειν τὸ πρᾶγμα.

τῷ δὲ τόνῳ ὡς ἀρύβαλλος.

Αἱματῶσαι: ἀντὶ τοῦ φονεῦσαι. Σοφοκλῆς.

Αἰγίπυρος: πόα πυῤῥά, ἣν αἶγες νέμονται.

Αἴθυγμα: οἷον σκίασμα, σημεῖον. 20

Αἰθύσσειν: ἀνασείειν, ἀνακαίειν.

Αἴθων: ἀνδρεῖος, πολεμικός.

Αἰκία: εἶδος δίκης ἐπὶ πληγαῖς. εἰσήγετο δὲ ἐντὸς ἡμερῶν τεσσάρων, πρὶν ἢ τὰ ἴχνη τῶν πληγῶν ἀφανισθῆναι. 25

Αἰκῶς: χαλεπῶς, δισυλλάβως, ἀπὸ τῆς αἰκίας. οὕτω Πλάτων.

Αἷμα νίψαι: οὕτως ἔλεγον οἱ Ἀττικοὶ ἐπὶ τοῦ ἐκνίψαι φόνον, ὡς καὶ Δημοσθένης.

Αἱμούς: τοὺς δρυμοὺς Αἰσχύλος, ἴσως ἀπὸ τοῦ αὐτοῦ ἀφ' οὗ καὶ ἡ αἱμασιὰ κέκληται. 30

Αἴνειν: τὸ ἀναδεύειν καὶ ἀνακινεῖν τὰς κριθὰς ὕδατι φυρῶντα.

Αἰόλη: ἡ ταχεῖα. οὕτως Ἀχαιός.

Αἰολίζειν: τὸ ποικίλλειν. οὕτω Σοφοκλῆς.

Αἰολίδας: οὕτω τοὺς ποικίλους ἔλεγον.

Αἰειγενετάων: διὰ παντὸς ὄντων. ἢ διὰ παντὸς ἐνεργούντων καὶ γενεσιουργούντων. 5

Αἰεί: δι' αἰῶνος·

θεῶν αἰειγενετάων.

καὶ τὸ κατὰ χρόνον. καὶ τὸ συνεχῶς καὶ πυκνῶς. καὶ τὸ δι' ὅλου·

αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἄπο νόσφιν ἐόντα. 10

καὶ τὸ καθ' ὥραν τεταγμένην συμβαῖνον·

μάλα κεν βαθὺ λήϊον αἰεί.

καὶ τὸ ἐν βραχεῖ χρόνῳ συνεχές·

αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον.

Αἰεὶ νέον ἐρχομενάων: οἱονεὶ διὰ παντὸς νεωστὶ ἐρχομένων. 15

Αἰετοί: τὰ προνόμια τῶν ναῶν, τὰ φατνώματα τῶν ὀρόφων, διὰ τὸ ἐοικέναι πτέρυξιν ἀετῶν.

Αἰγύπτιον γῆρας:

πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν, 20

ἔπειτα φοινίξαντα γογγύλων μόρον,

ἔπειτα γῆρας λαμβάνεις Αἰγύπτιον,

Σοφοκλῆς. σημαίνει δὲ. . .

Αἰγύπτιον: ὄνομα ἐθνικόν. καὶ κύριον τοῦ Ἰθακησίου γέροντος. 25

Αἴγυπτος: ὁ Νεῖλος ποταμός, ἀφ' οὗ καὶ ἡ χώρα ὑπὸ τῶν νεωτέρων Αἴγυπτος ἐκλήθη.

Αἰγύπτης: συβότης, νομεύς.

Αἰγίναιον σκάφος: τὸ ἐξ Αἰγίνης. καὶ Αἰγίνηθεν ἐρεῖς ηὐτομόλησεν. 30

Αἶγες: τὸ σπινθηρίζον καὶ διάττον πῦρ. ἢ ἀπὸ βροντῆς.

Αἰδέσεως: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· τοῦ δὲ ἀκουσίως αἰδέσεως καὶ φιλανθρωπίας

πολλῆς ἠξίωσεν. ὁ αὐτὸς δὲ καὶ αἰδέσεταί φησιν ἀντὶ τοῦ αἰδοῦς καὶ τιμῆς ἀξιώσας οἰκτείρει.

Αἶα: τὸ λεγόμενα ὅα. φυτὰ δέ ἐστι. Διονύσιος δέ φησι· τὰ δὲ ὅα τινὲς βάμμα, οἱ δε αἶα, οἱ δὲ λεόνεον προσαγορεύουσιν.

Αἴθοι: τῆς καφθείσης γῆς τὸ καταλειπόμενον.

Αἱματωπόν: Εὐριπίδης·

δράκοντος αἱματωπὸν αἷμα.

Αἱματοσταγῆ: Εὐριπίδης καὶ Ἀριστοφάνης·

αἱματοσταγῆ

κηλῖδα τέγγῃ.

Αἱμάτου: ἀντὶ τοῦ ἐξαιμάτου. Εὐριπίδης·

αἱμάτου θεᾶς

βωμόν.

Αἱμορυγχία: Δώριόν ἐστι τοὔνομα, πλὴν καὶ ὁ Ἀττικὸς Ἑρμιππος ἐχρήσατο τῇ φωνῇ, εἰπών·

ἐγώ σου σήμερον

τύπτων τὸ πρόσωπον αἱμορυγχίαν ποῶ.

σημαίνει δὲ καθημάχθαι τὸ ῥύγχος. Φρύνιχος μέντοι οὐκ ἐγκρίνει τὴν φωνήν.

Αἱματορρόφον: Σοφοκλῆς·

τίσις δ' ἄνωθεν εἶσιν αἱματορρόφος.

σημαίνει δὲ. . .

Αἷμον τὸ ὄρος οὐδετέρως Ἑκαταῖος διὰ παντὸς καὶ Διονύσιος καὶ Ἑλλάνικος καὶ Εὔδοξος.

Αἱμασιώδεις: Πλάτων εἶπε περιβόλους αἱμασιώδεις τινάς, ἢ τοὺς ἐκ λίθων ἄνευ πηλῶν κατεσκευασμένους, ἢ τοὺς ἀπὸ ἀκανθῶν πεφραγμένους.

Αἱμασιολογεῖν: Θεόπομπος·

αἱμασιολογεῖν ἄριστ' ἠπίστατο.

Αἱμυλίοισι: τοῖς μετ' ἐμπειρίας συνετοῖς καὶ προσηνέσι, καὶ οἱονεὶ δολίοις τισὶ καὶ παραλογιστικοῖς, μεθ' ἡδονῆς καὶ κολακείας ἀκουομένοις.

Αἱμύλος: ὁ ἔμπειρος ἢ ἡδὺς ἐν τῷ ἀπατᾶν καὶ κόλαξ. Πλάτων αἱμύλος ἔρως φησί, καὶ Σοφοκλῆς· Εὐριπίδης δὲ καὶ αἱμύλη εἶπε θηλυκῶς. Κρατῖνος δὲ αἱμυλόφρων εἶπε. καὶ αἱμυλοπλόκος ὁ αὐτός.

Αἴσχιον: ἀντὶ τοῦ αἰσχροῦ. Θουκυδίδης. 5

Αἰσχροεπεῖν: αἰσχρολογεῖν.

Αἰτιαζομένους: τοὺς ἐν αἰτίᾳ ὄντας.

Αἴτιον γενέσθαι: ἀντὶ τοῦ ἐν αἰτίαις. Θουκυδίδης.

Ἄϊδρις ἄπειρος.

Ἄϊδρυτα: τὰ κακά. 10

Ἀΐειν: ἀκούειν, αἰσθάνεσθαι.

Ἄϊστωρ: ἄπειρος καὶ ἀμαθής.

Ἀϊστωθείη: ἀφανισθείη.

Αἰρεθίζειν οἱ περί τι σπουδάζοντες.

Αἱμαχαναι: αἱμάξαι. 15

Αἰονᾶν: καταντλεῖν.

Αἰῶ τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν.

Ἀκαδημία: τρία ὑπῆρχε γυμνάσια, Λύκειον, Κυνόσαργες, Ἀκαδημία. ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτὸ Ἀκαδήμου. 20

Ἀκάμπιος δρόμος: ὁ μακρὸς δι' εὐθείας περίπατος.

Ἄκανθα: ῥάχις.

Ἀκαρής: βραχύς, ὀξύς, ὃν οὐχ οἷόν τε κεῖραι. διττῶς δὲ λέγεται παρὰ τοῖς Ἀττικοῖς, καὶ ὀνοματικῶς, οἷον ἀκαρὴς χρόνος, καὶ τῷ ἀκαρεῖ, καὶ τὸν ἀκαρῆ· καὶ 25 ἐπιῤῥηματικῶς ἀκαρῆ ἀντὶ τοῦ βραχέως καὶ συντόμως.

Ἀκαριαῖον: μικρόν, βραχύ, ῥοπή.

Ἀκαμαντίς καὶ Ἀκάμας: μία τῶν δέκα φυλῶν, ἀπ' Ἀκάμαντος τῆς εὐθ. . . 30

Ἄκαρ: ἀντὶ τοῦ μικρὸν ἢ οὐδέν. οὕτως Ἀντιφῶν.

Ἀκαταλήκτως: ἀκαταπαύστως.

Ἀκαταλλήλως: ἀναρμοδίως.

Ἀκάτιον: μικρὸν πλοῖον.

Ἀκατεύναστος: ἀκοίμιστος.

Ἀκερδὴς χάρις: ἡ μὴ δεόντως διδομένη.

Ἀκειρεκόμης: τὴν κόμην μὴ κειρόμενος.

Ἀκέραιον: ἄκακον, ὁλόκληρον, καθαρόν. σημαίνει δὲ καὶ τὸν ἔξω κήρας. 5

Ἀκεῖσθαι: λέγειν θεραπεύειν κωμῳδοῦντες.

Ἀκέσασθαι καὶ ἀκέσαι: ἰάσασθαι. ὅθεν καὶ οἱ Ἀττικοὶ τὴν ἠπήτριαν ἀκέστριαν καλοῦσιν.

Ἄκεσιν: ἴασιν. 10

Ἀκεσίπονον: θεραπευτικόν.

Ἀκέσματα: ὑγιάσματα, ἰάματα.

Ἀκεσμόν: ἰατρείαν.

Ἀκέστας: ἰατρούς. καὶ ἀκέστωρ ὁ ἰατρός.

Ἀκεσταί: οἱ τὰ ἱμάτια ἀκούμενοι. Ξενοφῶν· ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἀκεσταί. 15

Ἄκη: πόλις ἐν Φοινίκῃ. οἱ μὲν τὴν νῦν Πτολεμαΐδα καλουμένην οὕτω πάλαι φασὶν ὀνομάζεσθαι, Δημήτριος δὲ οὐ τὴν πόλιν, ἀλλὰ τὴν ταύτης ἀκρόπολιν.

Ἀκή: ἀκμὴ σιδήρου. καὶ ἡσυχία. 20

Ἀκηδής: ἄταφος, ἀφρόντιστος.

Ἀκήδεστοι: μηδεμιᾶς φροντίδος τυχόντες. ἢ ἀκήδεστοι καὶ ἄταφοι.

Ἀκηλίδωτον: ἄσπιλον, ἀκήρατον.

Ἀκήματα: ἰάματα. 25

Ἀκηράσιον: ἀκέραιον.

Ἀκήρατος: ἄφθαρτος, ἀπαθής.

Ἀκίβδηλον: καθαρόν.

Ἀκίδας: τοῦ βέλους τὰς ὀξύτητας.

Ἀκινάκης: μικρὸν δόρυ Περσικόν. 30

Ἀκκισμός: προσποίησις, ὑπόκρισις.

Ἀκκιζόμενος: θρυπτόμενος, προσποιούμενος, γυναικιζόμενος. ἢ μωραίνων, ἀπό τινος γυναικὸς μωρᾶς, ἥτις

ἐκαλεῖτο Ἀκκώ. σημαίνει δὲ καὶ τὸν λέγοντα θέλοντα, προσποιούμενον δὲ μὴ ἐθέλειν.

Ἀκληρεῖ: οὐ μετέχει, οὐ κεκλήρωται.

Ἀκλητί: ἄνευ κλήσεως.

Ἀκλόνητον: ἄσειστον, ἀδόνητον. 5

Ἀκλινῶς: ἀταράχως.

Ἀκμάζει: νεάζει.

Ἀκμαῖος: νεανίσκος σφριγῶν.

Ἀκμάζεις: τὰ νέων πράττεις. οὕτως Ὑπερίδης.

Ἀκμή: ὀξύτης, αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπι- 10
τάσεως. καὶ ἡ δύναμις. καὶ ἡ νεότης. ἀκμὴ δὲ καιροῦ ἡ εὐτυχία. οὕτω καὶ Ἰσοκράτης· τὸ μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἔτι· οὕτως Ὑπερίδης.

Ἀκμὴ καλεῖ: καιρὸς καλεῖ. 15

Ἀκμῆτες: μὴ κάμνοντες.

Ἀκμητί: ἀκαμάτως.

Ἀηύμονα: ἀτάραχον, ἀσάλευτον.

Ἄκοιτις: γαμετή.

Ἀκολασία: ἀκρασία. 20

Ἀκόλαστον: ἀκρατῆ, θρασύν.

Ἄκομψον: ἀπάνουργον.

Ἀκόλαστον καὶ ὕβριστον πρᾶγμα ἢ ἄνθρωπος: λέγοι δ' ἄν τις καὶ ὑβριστικόν.

Ἀκονιτί: ἄνευ ἀγῶνος καὶ μάχης. ἢ εὐμαρῶς, ἀπὸ με- 25
ταφορᾶς τῶν ἀθλητῶν τῶν οὕτως εὐμαρᾶς περιγινομένων, ὥστε μηδὲ κονίσασθαι.

Ἀκόρητος: ἀκόσμητος. κορεῖν γὰρ τὸ σαίρειν παρὰ Ἀττικοῖς.

Ἄκοπος ἀνήρ: ἀντὶ τοῦ οὐδέπω ἠνοχλημένος ὑπό τι- 30
νος. οὕτως Ἀμειψίας.

Ἄκος: ἴασις, θεραπεία.

Ἄκοσμα: ἀπρεπῆ, ἄτακτα.

Ἀκούει καλῶς: ἀντὶ τοῦ εὐφημεῖται. οὕτως Ἡρόδοτος.

Ἀκουτίσαι: διδάξαι.

Ἀκράδαντον ἀσάλευτον, ἀκίνητον.

Ἀκρέμονες: βλαστοί, κλάδοι. 5

Ἄκρα κόρυμβα: τὰ ἀκροστόλια τῶν νεῶν τὰ ἐξέχοντα κατὰ πρύμναν ἢ πρώραν.

Ἀκραιφνές: καθαρόν, ὑψηλόν, τέλειον, ἁγνόν, ἀπαθές, ἄθικτον.

Ἀκραιφνοῦς: ἀβλαβοῦς, οἱονεὶ ἀκηροφανοῦς· κὴρ γὰρ ὁ θάνατος. 10

Ἀκρασίας: ἀνωμαλίας, παρὰ τὸ μὴ συγκεκεράσθαι.

Ἀκράτισμα: ἔμβρωμα.

Ἀκριβοῦν: ἐγνωκέναι τὸ ἀκριβές.

Ἀκριτί: ἄνευ κρίσεως. 15

Ἄκριτος: ἀντὶ τοῦ ἀδιάκριτος. οὕτω Δημοσθένης.

Ἄκριτα: ἀδιαχώριστα.

Ἀκριτόμυθος: πολυλόγος, ἀδιακρίτους ἔχων τοὺς λόγους.

Ἀκριτόφυλλον: σύμφυτον πολλοῖς δένδροις, ὥστε μὴ διακρῖναι αὐτῶν τὰ φύλλα. 20

Ἀκροβολίζεται: τὸ ἐν πολέμῳ προκατάρχεσθαι τῆς συμβολῆς. ἢ τὸ ἄκραις συμπλέκεσθαι χερσὶν. ἢ τὸ διὰ βελῶν μάχεσθαι, καὶ τὸ ἐπιδεικνυσθαι τὸν πόλεμον.

Ἀκροβολισμός: ἐρεθισμός. 25

Ἀκροβόλοι: ἀκοντισταί, τοξόται.

Ἀκρόδρυα: καρποὶ δενδρικοί.

Ἀκροᾶσθαι: ἀντὶ τοῦ ὑπακούειν καὶ ὑποτετάχθαι. Πλάτων καὶ Ἀντιφῶν.

Ἀκροθίνια: τὰς τῶν ἐνιαυσιαίων καρπῶν ἀπαρχάς. ἀκροθίνια δὲ κυρίως καλεῖσθαί φασιν, ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, παρὰ τὸ ἀπὸ θινός, τουτέστι τοῦ αἰγιαλοῦ, σεσῶσθαι αὐτά. ἄλλοι δὲ τὰ ἀπὸ τῶν πο- 30

λέμων, παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλούς, τουτέστι βλάπτεσθαι. ἢ τὰ ἄκρα τῶν σωρῶν. Γράφεται δὲ διὰ τοῦ ῑ. τὰ γὰρ διὰ τοῦ ῑον ὑπὲρ δύο συλλαβὰς οὐδέτερα μονογενῆ διὰ τοῦ ῑ γράφεται, καὶ τὴν πρὸ αὐτῆς τὴν αὐτὴν τῷ πρωτοτύπῳ ἔχει γραφήν, οἷον Ἐλευσίν Ἐλευσῖνος Ἐλευσίνιον, σκηνή προσκήνιον καὶ περισκήνιον, θίν θινός θίνιον καὶ ἀκροθίνιον. οὕτως ὁ Θεόγνωτος ἐν τῇ Ὀρθογραφίᾳ. 5

Ἀκρόκομοι: μετρίως κομῶντες. ἢ λίαν. ἢ τὰ ἄκρα τῆς κεφαλῆς κομῶντες. 10

Ἀκμοθέτῳ: τῷ κοιλώματι, ἐν ᾧ ὁ ἄκμων τίθεται.

Ἀκμονίδης: ὁ Χάρων. καὶ ὁ Οὐρανός· Ἄκμονος γὰρ παῖς.

Ἄκληροι: ἔξω τοῦ κεκληρῶσθαι. Εὐριπίδης.

Ἀκληρία: ἀντὶ τοῦ ἀτυχία. οὕτω Σοφοκλῆς. 15

Ἀκροσφαλής: ἀντὶ τοῦ ἑτοιμόπτωτος.

Ἀκροσφαλεῖς: ἀκροσφαλισμένους.

Ἀκροσφαλές: σημαίνει τὸ ἄκρως σφαλερὸν καὶ μὴ δυνάμενον παγίως ἐν ἀσφαλεῖ εἶναι. οὕτω Φρύνιχος.

Ἀκόλαστος ὄχλος Εὐριπίδης ἔφη, ἀκόλαστον δὲ σῶμα Σοφοκλῆς. ἀκολαστάματα δὲ λέγουσι κατακορῶς οἱ Ἐπικούρειοι. πλὴν καὶ Ἀλεξανδρίδης κέχρηται τῇ λέξει καὶ Ἀριστοφάνης. 20

Ἀκολασία Θουκυδίδης ἔφη, ἀκολαστία δὲ Ἄλξις. ἀκολαστότατα δὲ Ἀριστοτέλης, καὶ ἀκολαστοτέρα Νικόλαος. 25

Ἀκόλουθος: Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος ἀντὶ τοῦ δούλου. ὡσαύτως δὲ καὶ Ξενοφῶν.

Ἀκόλουθον: οὐδετέρως μὲν Ἀριστοφάνης, θηλυκῶς δὲ Πλάτων ἐν τῷ περὶ ψυχῆς. 30

Ἀκόλουθα Ἀντιφῶν τὰ ἑπόμενα καὶ σύμφωνα.

Ἀκολουθία: ἡ ἀκολούθησις. Σοφοκλῆς.

Ἀκολουθοῦντε: ἀντὶ τοῦ ἀκολουθούσα δυϊκῶς. οὕ-

τως Ἕρμιππος. καὶ γὰρ κέχρηνται ταῖς ἀρσενικαῖς μετοχαῖς ἀντὶ θηλυκῶν πολλάκις.

Ἀκολουθεῖν μετ' αὐτοῦ: οὕτω συντάσσουσιν οἱ Ἀττικοὶ ἀντὶ τοῦ ἀκολουθεῖν αὐτῷ. καὶ γὰρ Λυσίας οὕτω κέχρηται καὶ Πλάτων: ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Πλούτῳ ἔπου φησί μετ' ἐμοῦ, παιδάριον. καὶ Μένανδρος·

νίκη μεθ' ἡμῶν εὐμενὴς ἕποιτ' ἀεί.

κἂν τῇ Παρακαταθήκῃ

συνακολούθει μεθ' ἡμῶν

φησίν.

Ἀκόλαστον καὶ ὕβριστον πρᾶγμα: διττὴν δ' ἔχει τὴν θεωρίαν, μίαν μὲν ὅτι ἐχρήσατο τῷ ὕβριστον ἀντὶ τοῦ ὑβριστικόν, ὅμοιον ὂν τῷ τύπῳ τοῖς τοιοῖσδε τῶν ὑπερθετικῶν, βέλτιστον, κάλλιστον, κράτιστον καὶ τοῖς ὁμοίοις· ἑτέραν δέ, διότι συμπέπλεκται τὸ ὑβριστικὸν τῷ ἀκολάστῳ. Πλάτων δ' ἐχρήσατο ἐν Πεισάνδρῳ, λέγων·

γυνὴ γάρ, ἣν μὲν αὐτὴν κολάζῃς ἀεί,
κράτιστόν ἐστι κτημάτων πάντων· ἐὰν
δ' ἀνῇς, ὕβριστον χρῆμα κἀκόλαστον . . .

Φερεκράτης δὲ τῷ κόβαλον συμπλέξας τὸ ὕβριστον εἶπεν·

ὕβριστον ἔργον καὶ κόβαλον εἰργάσω.

συγγραφικαὶ δὲ αἱ συνθῆκαι.

Ἀκολαστανεῖτε Ἀριστοφάνης εἶπεν ὁμοίως τῷ σημανεῖτε. Πλάτων δὲ ἐν ἕκτῳ Πολιτείας ἀκολασταίνειν ἔφη.

Ἀκνίσωτος οἶκος: ὁ ἄνευ πυρὸς καὶ κνίσης. οὕτως Αἰσχύλος.

Ἄκομψον καὶ φαῦλον: οἷον κομψείας καὶ πανουργίας ἀπηλλαγμένον. οὕτω Φρύνιχος.

Ἄκοος: ἀντὶ τοῦ ἀκουστικῶς. Πλάτων.

Ἀκοήν:

Ἀκοήν: ἀντὶ τοῦ οὖς. οὕτω Φερεκράτης.

Ἀκοσμήτως: ἀντὶ τοῦ ἀτάκτως. Πλάτων ἐν Νόμων ἕκτῳ· τὸ περὶ τὰς γυναῖκας ἀκοσμήτως περιορώμενον.

Ἀκοσμεῖν: τὸ μηδὲν ἐν κόσμῳ καὶ τάξει ποιεῖν, ἀλλὰ ἀκολασταίνειν. Σοφοκλῆς. 5

Ἀκοσμία: Εὐριπίδης·

τίς ποτ' ἐν θύραισι θόρυβος καὶ λόγων ἀκοσμία;

Ἄκος περίαπτον: Ἀττικῶς εἴρηται. 10

Ἀκονῶν: Δημοσθένης ἐν Ἐπιστολῇ· ἀκονᾷν τὴν πόλιν.

Ἀκούσείων: ἀντὶ τοῦ ἀκουσόμενος. Σοφοκλῆς.

Ἀκούειν: ἐπὶ τοῦ πείθεσθαι. Δημοσθένης.

Ἄκουε: ἀντὶ τοῦ σίγα. Κρατῖνος. οἷον τόπον δίδου διὰ τῆς σιγῆς τῇ ἀκοῇ- 15

Ἀκραγγες: ἀκρόχολον, ἀσθενές, χαλεπόν.

Ἀκόμπαστος λόγος Εὐριπίδης φησί, καὶ ἀκόμπαστος φάτις.

Ἀκόρεστα: ἀκόρεστα μὲν Εὐριπίδης ἔφη, ἀκορεστότερον δὲ Ξενοφῶν. 20

Ἀκρατὴς γάμων: σεμνὸς καὶ εὐπρεπὴς ὁ λόγος ἐπὶ γυναικὸς τιθέμενος ἀκολάστου καὶ μοιχικῆς. οὕτω Φρύνιχος.

Ἀκρατὴς χειρός: ὁ κλέπτης. ὅμοιον τὸ ἀκρατὴς γάμων. 25

Ἀκρατῆ γίνεσθαι τοῦδε: οἷον μὴ κατακρατεῖν διὰ πλῆθος τῶν ἐπιῤῥεόντων πραγμάτων ἢ λόγων.

Ἀκροπόλισιν: ἀκρωρείαις.

Ἀκρότομος: σκληρός, ὑψηλός. 30

Ἀκροτελεύτιον ἔπος: τὸ ἔσχατον κεφαλαίου τινὸς ποιητικῶς. κυρίως γὰρ ἀκροτελεύτια ἐπὶ ποιημάτων τιθέασιν Ἀττικοί. οὕτω Φρύνιχος.

Ἀκρώρεια: ἐξοχή, κορυφή. εἰς τρία γὰρ διαιροῦσι τὸ ὄρος, εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, εἰς τέρμα. ἀκρώρειαι μέν ἐστιν ἡ κορυφή, ὑπώρεια δὲ τὰ πλευρά, τέρμα δὲ τὰ τελευταῖα.

Ἀκροχειρίζεσθαι: πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς. ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι.

Ἀκτή: ἰδίως ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς, ὅθεν καὶ ἀκτίτης λίθος: ἐκάλουν δὲ οὕτω καὶ τὴν Ἀττικήν, οἱ μὲν ἀπό τινος Ἀκταίονος βασιλέως, οἱ δὲ διὰ τὸ τὴν πλείω τῆς χώρας ἐπιθαλάττιον εἶναι.

Ἀκταίνειν: γαυριᾷν καὶ ἀτάκτως πηδᾷν. ἢ πρὸς συνουσίαν ὁρμᾷν.

Ἄκακος: ὁ κακοῦ μὴ πεπειραμένος, οὐχ ὁ χρηστοήθης. οὕτω Σαπφώ. λέγεται δὲ καὶ ὁ χρηστὰ ἤθη ἔχων, εἰ καὶ ἐπ' ἔλαττον.

Ἀκακία: ἀντὶ τοῦ ἁπλότης.

Ἀκαλήφη: κνίδη, καὶ ἡ χερσαία καὶ ἡ θαλαττία. Ἀριστοφάνης Φοινίσσαις·

εἰκὸς δή πόυ πρῶτον φῦναι καὶ τὰς κραναὰς ἀκαλήφας.

Φερεκράτης Αὐτομόλοις·

νὴ τὴν Δήμητρ', ἀνιαρὸν . . ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν·

βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι.

τὰς δὲ θαλαττίας καὶ Ἀριστοτέλης ἀκαλήφας ἐν τῷ πρώτῳ περὶ ζώων καὶ Θεόφραστος ἐν ἑβδόμῳ φυτῶν.

Ἀκάλανθος: ὄρνεόν τι.

Ἀκάλλειν: ἰδίως τὸ τῇ οὐρᾷ σαίνειν.

Ἀκάμπιον: ἀντὶ τοῦ ἀκαμπές.

Ἄκανοι: οὕτως αἱ ἄκανθαι λέγονται.

Ἄκασκα: ἥσυχα φαρδέα. Κρατῖνος Νόμοις·

ἢ πρεσβῦται πάνυ γηραλέοι, σκήπτροισιν ἄκασκα προβῶντες.

Ἀκάτια: ὑποδημάτων εἶδος.

Ἄκατος: φιάλη, διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. οὕτω Θεόπομπος.

Ἀκέανοι: τὰ ἐν τοῖς φακοῖς στρογγύλα καὶ δυσκάτακτα ὄσπρια.

Ἀκιδνότερον: ἀσθενέστερον.

Ἄκικυς: ἀσθενής, ἀδύναμος, κατὰ στέρησιν ἤτοι τοῦ κίειν ἢ τῆς κίκυος, ἥ τις παρὰ τὴν κίνησιν λέγεται, ἰσχὺς οὖσα.

Ἀκίονες: ἀστήρικτοι.

Ἀκειόμενοι: ἐπισκευάζοντες, μεταφορικῶς ἀπὸ τοῦ θεραπεύειν.

Ἀκλήρῳ: κλῆρον μὴ ἔχοντι μηδὲ οὐσίαν, πτωχῷ. κλῆρος γὰρ ἡ οὐσία· ὅθεν καὶ ἐπίκληρος.

Ἄκλυτον: ἀνώνυμον.

Ἀκεσίας: ἀντὶ τοῦ ἰατρός.

Ἀκέφαλον: ἀντὶ τοῦ ἀτελείωτον. Πλάτων Νόμων ἕκτῳ· μῦθον ἀκέφαλον ἑκὼν καταλείπομαι.

Ἀκίβδηλος ἀνήρ: ὁ μὴ κίβδηλος, ἀλλὰ δόκιμος καὶ πολλοῦ ἄξιος. οὕτω Φρύνιχος.

Ἀκιδωτὸς ὅρμος: συγκείμενος ἐκ πολλῶν ἀκίδων.

Ἄκρατος: κατὰ τὸ ἐναντίον τῷ πολύκρατος.

Ἀκρατίσασθαι: τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου.

Ἀκροβελίδας: τὰ ἄκρα τῶν ὀβελίσκων. Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι·

τὸ πῦρ πολὺ λίαν· ὕπαγε τὰς ἀκροβελίδας ἄκρας.

Ἀκροκώλια: δίεφθα. Τηλεκλείδης.

Ἀκρόνυξ: οἷον ἀρχὴ νυκτός.

Ἀκρωνίας: τὰ ἀθροίσματα. καὶ ἡ ἀκρότης. καὶ ἡ ἀκμή. καὶ τὸ ἐπίλεκτον σύστημα.

Ἀκρομανής: ὁ φρενήρης.

Ἄκρον φρονεῖν, ἄκρον δρᾶν: οἷον ἐξέχων. 5

Ἀκούοντα ἄριστα: ἀντὶ τοῦ εὐφημούμενος. Ἡρόδοτος καὶ Εὔπολις.

Ἄκουε τὰς ἐμὰς ἐπιστολάς: ἀντὶ τοῦ τῶν ἐμῶν ἐπιστολῶν. οὕτως Αἰσχύλος.

Ἄκουε, σίγα: Κρατῖνος· 10

ἄκουε, σίγα, πρόσεχε τὸν νοῦν, δεῦρ' ὅρα.

καὶ Σοφοκλῆς·

ἄκουε, σίγα. τίς ποτ' ἐν δόμοις βοή;

Ἀκουσέτην Σοφοκλῆς ἔφη, ἀκούσεσθαι δὲ Ἀριστοφάνης. 15

Ἄκουσμα, οὐκ ἀκρόαμά φασί τινες λέγειν τοὺς Ἀττικούς. διαμαρτάνουσι δέ. καὶ γὰρ πλεονάζουσι μὲν ἐν ταύτῃ τῇ φωνῇ, χρῶνται δὲ ὅμως καὶ τῷ ἀκροάματι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· βαρύτερον τῶν ἔργων, ὧν πεπόνθαμεν, τὸ ἀκρόα- 20 μα γίνεται. καὶ Ξενοφῶν δέ, χρώμενος τῷ ἀκούσματι, οὐδὲν ἧττον καὶ τῷ ἀκροάματι κέχρηται, ἀλλαχοῦ τε λέγων, καὶ ἐν τῷ Συμποσίῳ Σωκράτην εἰσάγων λέγοντα· νὴ Δία, ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾶς. οὐ γὰρ μόνον τὸ δεῖπνον ἄμεμπτον 25 παρέθηκας, ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα ἥδιστα παρέχεις. Δίφιλος δὲ ἐκ παραλλήλου τέθεικε τὰς λέξεις·

μόνος γὰρ ἦν λέγων

ἄκουσμα κἀκρόαμα. 30

Ἀκούεις ἃ λέγει: οὕτω Φερεκράτης ἔφη, λέγων·

ὦ Ζεῦ πολυτίμητ', ἆρ' ἀκούεις, ἃ λέγει

ὁ πανοῦργος υἱός;

Ἀκουσίμη: ἀντὶ τοῦ ἀκουστή. Σοφοκλῆς·

σπουδὴ γὰρ ἡ κατ' οἶκον ἐγκεκρυμμένη
οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη.

δύναται δὲ καὶ ἡ φωνὴ ἀκουσίμη λέγεσθαι.

Ἀκουστά: ὡς ἐν τῇ Κρεούσῃ· 5

ἄπελθ', ἄπελθε, παῖ· τάδ' οὐκ ἀκουστά σοι.

καὶ Εὐριπίδης δὲ πολλάκις. ὁ μέντοι Σοφοκλῆς ἀκούσιμά φησι. πολιτικώτερον δὲ λέγει ὁ Φρύνιχος τὸ ἀκουστά μᾶλλον ἢ τὸ ἀκούσιμα.

Ἀκούσας ἥκειν, οὐχ ἥκοντα, Ξενοφῶν ἐν Ἀπομνη- 10 μονεύμασιν ἔφη καὶ Μένανδρος καὶ ἄλλοι.

Ἀκούμενος: θεραπευόμενος ἢ θεραπεύων.

Ἀκουσία: τὸ πρᾶγμα. Σοφοκλῆς·

ἐξαίρετον τίθημι τὴν ἀκουσίαν.

Ἀκροφύσιον: τὸ τῇ χώνῃ προστιθέμενον. Σοφοκλῆς. 15

Ἀκροχόρδων: ἐξοχή τις περὶ τὴν ἕδρων καὶ περὶ ἄλλα μέρη τοῦ σώματος.

Ἀκταινῶσαι: ἀντὶ τοῦ ὑψῶσαι καὶ ἐξᾶραι καὶ μετεωρίσαι. πεποίηται δὲ οὕτως. ἔστι δένδρον, ὃ καλεῖται ἀκτή, ἀφ' οὗ τὰ ἀκόντια τέμνεται. οὕτως Ἀνακρέων. 20

Ἀκύκλιος: ὁ ἀπαίδευτος παρὰ Πλάτωνι.

Ἀκύμων: ἡ μὴ γεννῶσα, ὡς ἐγκύμων ἡ συνειληφυῖα. λέγεται δὲ ἀκύμων θάλασσα ἡ μὴ ἀνέμοις ταρασσομένη καὶ κυμαινομένη.

Ἄκυλος ὁ τῆς πρίνου καρπὸς καλεῖται ὑπὸ τῶν πα- 25 λαιῶν, βάλανος δὲ ὁ τῆς δρυός·

καὶ τὰς βαλάνους καὶ τὰς ἀκύλους καὶ τὰς ἀχράδας περιόντας.

Φερεκράτης.

Ἄκτια: ἀγὼν παλαιός, ὡς Καλλίμαχος ἐν τῷ περὶ τῶν 30 ἀγώνων δῆλον ποιεῖ.

Ἀκώπητον: ἀπαράσκευον. μετῆκται δὲ ἀπὸ τῶν νεῶν

τῶν μὴ ἐχουσῶν κώπας μηδὲ τὰ πρὸς τὸν πλοῦν εὐτρεπισμένα.

Ἀκωδώνιστον: ἀβασάνιστον, ἀδοκίμαστον. οὕτως Ἀριστοφάνης.

Ἅλα: τὴν θάλασσαν. ἢ τὰς τῶν ὀνύχων ὀξύτητας. 5

Ἀλάβαστρον: ἄγγος μύρου μὴ ἔχον λαβάς, λίθινος ἢ ψήφινος μυροθήκη. γράφεται δὲ ἡ λέξις μάλιστα καὶ χωρὶς τοῦ ῥ παρὰ Μενάνδρῳ.

Ἀλαλαγμός: ἐπινίκιος ὕμνος.

Ἀλαλητόν: θόρυβον. 10

Ἀλάλυγγι: πνιγμῷ, ἀπορίᾳ, δυσπνοίᾳ.

Ἀλαπάξαι: θορυβῆσαι, κενῶσαι, ὁμαλίσαι, ἐκπορθῆσαι, παρὰ τὴν λάπαθον· κενωτικὴ γάρ ἐστι γαστρός. ἀμέλει Δημόκριτος τοὺς βόθρους τοὺς πρὸ τῶν κυνηγῶν σκαπτομένους, οἷς ὑπεράνω κόνις λεπτὴ ἐπιχεῖται καὶ φρύγανα ἐπιβάλλεται, ἵνα οἱ λαγωοὶ ἐμπίπτωσιν εἰς αὐτούς, λαπάθους φησὶ καλεῖσθαι. 15

Ἀλαζών: ὑπερήφανος, ψεύστης καὶ κομπαστής. οὕτω Κρατῖνος.

Ἀλαζών: ὁ ἀλώμενος. οὕτως Ἥλκαῖος. Πλάτων δὲ ἀλαζόσιν ἀντὶ τοῦ ψεύσταις. 20

Ἀλάστωρ: ὁ ἁμαρτωλός. ἢ ὁ φονικὸς δαίμων. καὶ κατὰ μὲν Χρύσιππον τὸν φιλόσοφον ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος· ἐλαύνεσθαι διὰ φόνον· κατὰ δὲ Ἀπολλόδωρον ἀπὸ τοῦ ἀλιτεῖν, τοῦτο δέ ἐστιν ἀλιτανεύτως ἀδικεῖν· κατὰ δὲ Δίδυμον ἀπὸ τοῦ τοῖς ἄλαστα πάσχουσιν ἐπαμύνειν. μή ποτε δέ ἐστιν ὁ διὰ μέγεθος τῶν πεπραγμένων αὐτῷ λιτῆς μὴ καταξιούμενος, ἢ ὁ τοιαῦτα τολμήσας πράττειν, ὧν μὴ ἔστιν ἐπιλαθέσθαι. Μένανδρος· 25 30

ὁ δ' ἀλάστωρ ἐγὼ
καὶ ζηλότυπος ἄνθρωπος.

Ἀλᾶται: πλανᾶται, ῥέμβεται.

Ἄλγεα: κακά, λυπηρά.
Ἀλέα: θέρμη, ἔλλαμψις.
Ἀλητεύω: πλανητεύω.
Ἀλεεινός: θερινός, θερμός.
Ἀλεῖται: πηδήσει. 5
Ἀλείτης: ἁμαρτωλός, πλανήτης.
Ἀλείφατι: ἐλαίῳ ἢ ἑτέρῳ ἀλείμματι.
Ἀλείψας: διεγείρας, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν.
Ἀλέξειν: ἀποτρέπειν.
Ἀλεξητῆρα: βοηθόν. 10
Ἀλεξήσοντα: βοηθήσοντα.
Ἀλεξίκακον: κακίας καθαρτικὸν καὶ θεραπευτικόν.
Ἀλαβαστοθήκας τὰς θήκας τῶν ἀλαβάστων Δημοσθένης λέγει, ἃς ἐν τῇ συνηθείᾳ μυροθήκας καλοῦσιν, ἀλάβαστοι δέ εἰσι λήκυθοι, ὧν οὐκ ἔστι λα- 15 βεῖν διὰ τὴν λειότητα.
Ἀλαιεύς: ὄνομα δήμου.
Ἀλέας: πόλις Θεσσαλική. οἱ δὲ πολῖται Ἀλεῖς.
Ἀλέξανδρος: οὗ μνημονεύει Δημοσθένης ἐν ἕκτῳ Φιλιππικῶν, ὁ καλούμενός ἐστι φιλέλλην, υἱὸς μὲν 20 Ἀμύντου τοῦ βασιλέως, πατὴρ δὲ Περδίκκα. ἕτερος δέ ἐστιν Ἀλέξανδρος ὁ ἀδελφὸς Φιλίππου, οὗ Δημοσθένης ἐν τῷ παραπρέσβειας μνημονεύει. ἄλλος δέ ἐστιν ὁ Θεσσαλός, περὶ οὗ ἐν τῷ κατὰ Ἀριστοκράτους λέγει. ἄλλος δέ ἐστιν ὁ Μολοττός, ἀδελφὸς Ὀλυμπιά- 25 δος τῆς γυναικὸς Φιλίππου· μνημονεύει δὲ καὶ τούτου Δημοσθένης ἐν ἑβδόμῳ Φιλιππικῶν, εἰ γνήσιος ὁ λόγος ἐστίν.
Ἀλευάδαι: οἱ ἐν Λαρίσσῃ τῆς Θεσσαλίας εὐγενέστατοι, ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες. 30
Ἀλεξιφάρμακον: ἀντιφάρμακον, ἀλεξητήρια φαρμάκων.
Ἀλήπτως: ἀκαταγνώστως.

Ἀλέοιμι: ἀντὶ τοῦ θερμαίνοιμι. οὕτως Ἀριστοφάνης.

Ἀλληλέγγυον: ἐξ ἀμφοτέρων πίστις.

Ἁλιακη: ἀντὶ τοῦ ἁλιευτική.

Ἀληθῆ καὶ τὰς ἀληθείας πληθυντικῶς λέγουσι. Μένανδρος Ἀφροδισίῳ· 5

εἰ τὰς ἀληθείας ἁπλῶς τίς σοι λέγει.

Ἀληθες: ὅταν ἡ πρώτη ὀξύνηται, τάττεται ἐπὶ εἰρωνείας.

Ἀλλ' ἤ: ἀντὶ τοῦ εἰ μή, καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἤ. τίθεται δὲ ἐνίοτε καὶ ἀντὶ τοῦ ἀλλ' ἄρα, καὶ ἀντὶ τοῦ ἁπλοῦ τοῦ ἄρα· ἀλλ' ἢ κατόπιν ἑορτῆς ἥκομεν, 10 ἀντὶ τοῦ ἄρα.

Ἀλεία: πορεία.

Ἁλιάδας: μικρὰ φλασκίδια ἢ σκαφίδια.

Ἁλίπεδον: ὁμαλὸν ἔδαφος παρὰ τῇ θαλάσσῃ. τινὲς δὲ τὸν Πειραιά φασιν. ἔστι δὲ καὶ κοινὸς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα, αὖθις δὲ γέγονε πεδίον. διὸ καὶ δασυντέον τὴν πρώτην· ἔστι γὰρ οἷον ἁλὸς πεδίον. οἱ δὲ τὸ παραθαλάσσιον πεδίον οὕτω καλοῦσιν. ἄλλοι δὲ παρὰ τὸ δύνασθαι ἐν αὐτῷ ἵππους αἰνδεῖσθαι, τουτέστι κονίσασθαι, τὴν ὀνομασίαν λαβεῖν. 15 20

Ἀλίβας: ὁ νεκρός. ἢ ποταμὸς ἐν ᾅδου. λέγεται ἀλίβας καὶ τὸ ὄξος, παρὰ τὸ μὴ λείβεσθαι θεοῖς.

Ἄλιμον: βοτάνη δενδροειδὴς παρὰ θάλασσαν.

Ἁλίπλοα: ἐν θαλάσσῃ πλέοντα.

Ἀλιμούσιος: Ἁλιμοῦς δῆμός ἐστι τῆς Λεοντίδος. 25

Ἁλιῤῥόθιον: κῦμα θαλάσσης.

Ἅλις: ἱκανῶς, δαψιλῶς.

Ἀλκμαίων: ἰσχυρῶν, ἀνδρείων, γενναίων.

Ἀλκυών: ὄρνεον θαλάσσης.

Ἀλλὰ χρή: ἀντὶ τοῦ ἔστω. 30

Ἀλλάχθητε: ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς.

Ἀλλά. ἀντὶ τοῦ ὅταν. Σοφοκλῆς.

Ἀλισγηθέν: ἑστιαθέν, μισηθέν, ἢ λυπηθέν.

Ἁλισγημάτων: τῶν μιασμάτων ἐκ μυσαρᾶς τῶν εἰδώλων θυσίας.

Ἁλίσκει: νικᾷ.

Ἁλισγηθῇ: λυπηθῇ, μισηθῇ.

Ἁλίσκεται: καταλαμβάνεται, κρατεῖται. 5

Ἁλιτρία: ἀντὶ τοῦ ἁμαρτία. Ἀριστοφάνης.

Ἁλιτήμων: ἁμαρτωλός.

Ἀλλὰ γάρ: ἀντὶ τοῦ δέ. Εὔπολις Βάπταις·

ἀναρίστητος ὤν,
κοὐδὲν βεβρωκώς, ἀλλὰ γὰρ στέφανον ἔχων. 10

Ἁλιτήριοι: ἁμαρτωλοί. ἁλιτήριοι δὲ ἐντεῦθεν ἐκαλοῦντο. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους. ἡρπαζον οὖν τινὲς ἁλούμενα τὰ ἄλευρα. ἀπὸ γοῦν ἐκείνων τοὺς πονηροὺς ἁλιτηρίους ἐκάλουν. Καὶ ἄλλως. ἁλιτήριος δὲ λέγεται, ὅτι λιμὸς ἐγένετο ἐν Ἀθήναις, καὶ 15 οἱ πένητες τὰ τῶν ἁλούντων ἄλευρα διήρπαζον. ἐλέχθησαν οὖν οἱ τοὺς ἁλοῦντας τηροῦντες καὶ ἁρπάζοντες ἁλιτήριοι. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παράγωγος ἀπὸ τοῦ ἁλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν. 20

Ἁλιρόθιος: υἱὸς Ποσειδῶνος.

Ἀλληγορία: ἐπειδὰν ἄλλο τὸ γράμμα κατὰ τὸ πρόχειρον δηλοῖ, καὶ ἄλλο τὸ νόημα καταλαμβάνηται.

Ἄλλη: ἀντὶ τοῦ ἄλλως. 25

Ἀλκυονίδες ἡμέραι: περὶ τοῦ ἀριθμοῦ διαφέρονται. Σιμωνίδης γὰρ ἐν Πεντάθλοις ἑνδεκά φησιν αὐτάς, καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων· Δημαγόρας δὲ ὁ Σάμιος ἑπτά, Φιλόχορος ἐννέα. τὸν δὲ ἐπ' αὐταῖς μῦθον Ἀγήσανδρος ἐν τοῖς περὶ ὑπομνήματι λέγει οὕτως· Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν 30 Φθονίσα, Χθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππα, Παλλίνη, Δριμώ, Ἀστερίη. αὗται μετὰ τὴν τοῦ πατρὸς

τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Πελλόνης, ἔρριψαν αὐτὰς εἰς τὴν θάλασσαν. Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε, καὶ ἀπὸ τοῦ πατρὸς ἀλκυόνες ἐκλήθησαν. αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι ἀλκυονίδες καλοῦνται. Καὶ ἄλλως. ὅτι ἀλκυών ἐστιν εἶδος ὀρνέου, ἐν ἀλὶ κύον, τουτέστιν ἐν θαλάσσῃ, ὅθεν καὶ ἀλκυὼν ἐκλήθη. φασὶ δέ, ὅτι κύματος ἀεὶ ἀφανίζοντος αὐτῆς τὰ ᾠά, καὶ ἐπὶ πολὺ οὔσης ἀτέκνου, ὁ Ζεὺς ἔλεήσας αὐτὴν ὥρισεν ἡμέρας τινὰς εὐδιεινάς, ἃς καὶ καλοῦσιν ἀλκυονίδας. 10

Ἀλκμαιωνίδαι: γένος ἐστὶν ἐπιφανὲς Ἀθήνησιν, ἀπὸ Ἀλκμᾶνος.

Ἀλλήλων: ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης. καὶ Θουκυδίδης· καί πού τινες ἀλλήλων ἐγεύσαντο, ἀντὶ τοῦ ἑαυτῶν. 15

Ἀλλοδαπά: ξένα, παντοῖα.

Ἀλλοθρόους: ἀλλοφώνους.

Ἀλκέτας: Μολοττῶν βασιλεύς. ἀλλὰ καὶ ἱπποστράτηγος ἄλλος Ἀλεξάνδρου.

Ἀλκιβιάδης: ὁ Κλεινίου παῖς. ἀλλὰ καὶ ὁ πρόπαππος αὐτοῦ. ἄλλος δέ ἐστιν Ἀλκιβιάδης, οὗ μέμνηται ὁ Ἀντιφῶν. 20

Ἀλκίμαχος: στρατηγός ἐστιν οὗτος Ἀναγυράσιος τὸν δῆμον. ἕτερος δέ ἐστιν ὁ Μακεδών, οὗ μνημονεύει Ὑπερίδης. 25

Ἀλλὰ χρή: τοῦτο δηλοῖ συγκατάθεσιν, οἷον καὶ μάλα.

Ἀλλαχοῖ καὶ ἀλλαχόσε τὸ εἰς τόπον, ἀλλαχοῦ δὲ καὶ ἀλλαχόθι τὸ ἐν τόπῳ.

Ἀλλοπρόσαλλος: εὐμετάβλητος, δίγνωμος, ἄλλως ἐπ' ἄλλῳ τινὶ μεταστρεφόμενος. 30

Ἀλλόκοτον: ἐναντίον, ξένον, ἀλλοφυές, ἄλλον, ἀσυνάρμοστον, ἀλλότριον. Πλάτων δὲ ἀλλοκοτώτατον

καὶ ἀλλοκοτώτερον εἶπε, καὶ Φερεκράτης ἀλλοκότως ἐπιῤῥηματικῶς.

Ἀλλοτρίως: πολεμίως.

Ἄλλως: μάτην. ἢ μάλιστα. ἢ κατὰ ἄλλον τρόπον.

Ἄλλως τε: μάλιστα. 5

Ἅλμα: πήδημα.

Ἀλλοτριονομοῦντες: ἐναλλαγὴν ὀνομάτων ποιοῦντες. ἢ ὅλως τισί τινα μὴ προσηκόντως διανέμοντες.

Ἄλλος ἄλλον: ἀντὶ τοῦ ἀλλήλους.

Ἀλλαντοπώλης: ἐντεροπώλης. 10

Ἄλλος: ἀντὶ τοῦ ἕτερος. Ὅμηρος·

ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.

τάσσεται δὲ καὶ ἀντὶ τοῦ τίς·

ὁππότε κέν.

Ἁλμάδες: κολυμβάδες ἐλαῖαι. 15

Ἀλογήσει: ἀμελήσει, οὐ φροντίσει.

Ἁλοῖεν: ληφθεῖεν.

Ἀλοιφή: τὸ λίπος.

Ἁλόντες: ληφθέντες.

Ἄλοπον: ἀλέπιστον. Ἀριστοφάνης. 20

Ἁλὸς ἄχνη: ἀφρὸς θαλάσσης.

Ἁλουργίς: πορφύρα.

Ἁλουργά: θαλασσοπόρφυρα.

Ἀλετρίβανος: Ἀριστοφάνης εἶπεν.

Ἁλουργοπωλική: ἡ πορφυροπωλικὴ λεγομένη. οὕτως Ἰσαῖος. 25

Ἁλουργικά: τὰ πορφυροβαφῆ νήματα καὶ λεπτά.

Ἁλοάσαντα: ἐν τῷ ᾱ. Φερεκράτης Ἴπνῳ·

ὑποζυγίοις ἁλοάσαντ' εὐθὺς ἐκποιῆσαι.

τὸ δὲ συγκόψαι πληγαῖς ἁλοῆσαι ἐν τῷ ῑ. 30

Ἄλλο ἕτερον ἐκ παραλλήλου λέγουσι. Μένανδρος Μέθῃ·

. . εἶτ' οὐκ εἶχεν οὐ πῦρ, οὐ λίθον,

οὐκ ἄλλο τι ἕτερον.

Κρατις Παιδιαῖς·

τοῖς δὲ τραγῳδοῖς ἕτερος σεμνὸς πᾶσιν λόγος ἄλλος ὅδ' ἔστιν.

Ἀλογίᾳν: τὸ μηδένα λόγον ἔχειν, ἀλογιστὶ δὲ πράττειν. οὕτω Δημοσθένης καὶ Πλάτων.

Ἄλογοι ἐρανίσταί: οἱ μήπω τὸν ἔρανον ἀνηρημένοι, μηδὲ καταθέμενοι τὴν τοῦ ἐράνου καταβολήν, οἷς οὐδ' ἔστι λόγος πρὸς τὸ μὴ ὀφείλειν.

Ἀλύβας: λίμνη λέγεται ἐν Ὑπερβορέοις.

Ἀλόπη: Κερκυόνος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθόων, ὁ τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος.

Ἁλοῦσα: ληφθεῖσα.

Ἀλόχευτος: ἀγέννητος.

Ἁλουργιαῖον: ἀντὶ τοῦ ἁλουργές. οὕτως Ἀριστοφάνης.

Ἁλώνητος: οἷον βάρβαρος καὶ εὐτελής· οἱ γὰρ Θρᾷκες ἀνδράποδα ἁλῶν ἀπεδίδοντο.

Ἄλση: τεμένη.

Ἀλύξαι: ἐκφυγεῖν. ἢ καταξύσαι.

Ἀλύειν: ἔνιοι τὸ μὲν ἐπαίρεσθαι καὶ χαίρειν δασέως ἀξιοῦσι προφέρεσθαι. Ὅμηρος·

ἦ ῥ' ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;

τὸ δὲ λυπεῖσθαι ψιλῶς, οἷον

ὡς ἔφαθ'· ἡ δ' ἀλύουσ' ἀπεβήσατο·

ὡς στερητικὸν ἔχον τὸ ἄ. Δίδυμος δὲ ἀμφότερα δασέως. καὶ γὰρ τὸ ἀλεαίνεσθαι δασύνουσιν οἱ Ἀττικοί, καὶ πάντα τὰ τοιαῦτα, ἅμις, ἅμαξα, ἁμνός, Ἁλαεῖς, ἀλύειν. ἄλλοι δὲ τὸ ἀλύειν ἐπὶ τοῦ χαίρειν δασύνουσιν, ἴσως ἀπὸ τοῦ ἁλλομένου, ὅπερ δασύνεται.

Ἁλύσιον: ἁλυσείδιον, πλόκιον περιτραχήλιον. Μένανδρος Καρίνῃ·

περὶ τὸν τράχηλον ἁλύσιόν τί σοι δότω.

Ἄλφι: ἄλφιτον. τοῦτο δὲ καλεῖται ἀπότρωκτον, ὅ φασι πρῶτον εὑρεῖν Ἐπίχαρμον.

Ἀλυσιτελές: ἀσύμφορον.

Ἀλφούς: λευκοὺς ἢ λευκάς.

Ἁλῷ: πιασθῇ, καταγνωσθῇ. 5

Ἅλα: ἀντὶ τοῦ ἅλες. Φιλύλλιος.

Ἀλφιστεῖς: οἱ τὰ ἄλφιτα ποιοῦντες. Ὑπερίδης.

Ἀλωαί: ἀλωνίαι ἢ παράδεισοι.

Ἀλώβητον: ἄμωμον, ἀβλαβές.

Ἀλώμενος: πλανώμενος. 10

Ἀλωπόχρους: ὁ πολιός.

Ἁλῶναι: ληφθῆναι, συνδεθῆναι.

Ἁλώσιμα: εὔληπτα.

Ἁλῶα: ἑορτή ἐστιν Ἀττική. Φιλόχορος δέ φησιν ὀνομασθῆναι ἀπὸ τοῦ τότε τοὺς ἀνθρώπους τὰς διατριβὰς 15 περὶ τὰς ἅλως ποιεῖσθαι.

Ἀλωπεκῆθεν: δῆμός ἐστιν ἡ Ἀλωπεκὴ τῆς Ἀντιοχίδος. καὶ ὁ δημότης Ἀλωπεκεύς.

Ἀλωπεκόννησος: πόλις ἐστὶ μία τῶν ἐν Χερρονήσῳ.

Ἀλαζονεύεσθαι τὸ ψεύδεσθαι λέγουσι, καὶ ἀλα- 20 ζόνα τὸν ψεύστην καὶ φένακα.

Ἀλοστατεῖ: στρατεύεται.

Ἁλιεύεσθαι: τὸ ἁλιεύειν. λέγουσι δὲ καὶ ὡς ἡμεῖς.

Ἀλεαίνειν: θερμαίνεσθαι, οὐχὶ ἀλεαίνεσθαι.

οὐκοῦν ἵν' ἀλεαίνοιμι, τοῦτ' ἠμπεσχόμην, 25

Ἀριστοφάνης.

Ἄλφα: τοῦτο ὑπὸ Φοινίκων βοὸς κεφαλὴ ἐκαλεῖτο. καὶ Μωϋσῆς δὲ ὁ νομοθέτης ὑπὸ Ἰουδαίων διὰ τὸ πολλοὺς ἔχειν ἀλφοὺς ἐν τῷ σώματι οὕτως ἐκαλεῖτο. ἀλλὰ τοῦτο Νίκαρχος ὁ τοῦ Ἀμμωνίου ἐν τῷ περὶ Ἰου- 30 δαίων φλυαρεῖ. ἄλφα δὲ ἐκαλεῖτο καὶ ὁ σῦς ὁ πλήξας τὸν Ἄδωνιν· ἐκλήθη δὲ οὕτως ὑπὸ Ἀσβωτῶν τῶν

ἐν Φοινίκῃ· καλεῖται δὲ παρὰ Φοίνιξιν ὁ ἀπηνὴς καὶ ἄγριος. ἄλφα δὲ καλεῖται καὶ ὁ Ὄσιρις ὑπὸ Βιβλίων. ἀλλὰ καὶ τὸ ἐλάχιστον.

Ἀλφαίνειν: τὸ παραλλάσσειν. ἐξ οὗ καὶ οἱ ἐν τῷ σώματι ἀλφοί· παραλλάσσουσι γὰρ κατὰ τὸν χρῶτα.

Ἀλφαίνει: ζητεῖ ἢ εὑρίσκει. ἔνθεν τιμαλφῆ ἡ πολλὴν εὑρίσκουσα τιμήν.

Ἀλφάνει: εὑρίσκει. Ἀριστοφάνης Θεσμοφοριαζούσαις·

οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε
εἶπέν μ' ὁ κήρυξ οὗτος ἀλφάνει.

Εὔπολις Ταξιάρχαις·

οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν
ἄγων ἀποκηρύξει τις, ὅ τι ἂν ἀλφάνῃ;

καὶ ὁ ποιητής·

ἑκατόμβοιον δέ τοι ἦλφον.

Ἀλδαίνων: αὐξόμενος.

Ἀλειφοίβιον: τὸν περὶ πάλαιστραν ἀναστρεφόμενον, καὶ ὑπηρετοῦντα. οὕτως Ἀριστοφάνης.

Ἀλεξίλογα: οὕτω τὰ γράμματα κέκληκε Κριτίας ὁ τύραννος.

Ἀλεσούριον: θαλάσσιον αἰδοῖον καὶ γένος κογχυλίων.

Ἀλευρόμαντις: ὁ Ἀπόλλων, διὰ τὸ ἀλεύροις μαντεύεσθαι.

Ἀλευρόττησις: ᾧ τὰ ἄλευρα διαττῶσιν. οἱ δὲ τηλίαν αὐτὸ καλοῦσιν. ἔνιοι δὲ καὶ σηλίαν ὀνομάζουσι καὶ κόσκινον.

Ἀλάστωρ: θηλυκῶς Νικόχαρις τὴν ἀλάστορα ἔφη Σφίγγα.

Ἀλάστορον: ἀντὶ τοῦ ἀλάστορα, ἀπὸ εὐθείας τῆς ὁ ἀλάστορος, Αἰσχύλος μέγαν ἀλάστορον εἶπεν.

Ἀλάστορα προσβαλεῖν: οἷον μύσος καὶ ἀνοσιουργίαν. Εὐριπίδης·

οὔ σοι παραινῶ, μηχανωμένη κακὰ
ἐχθροῖσι, σαυτῇ προσβαλεῖν ἀλάστορα.

Ἀλεύραττις: ἀγγεῖον εἰς ἄλευρα.

Ἀλεύσω: ἀντὶ τοῦ φυλάξω. Σοφοκλῆς.

Ἀλληλίζειν: ἀλλήλους περαίνειν. 5

Ἀληλιμμένον: τὰ τοιαῦτα οἱ Ἀττικοὶ ἀναδιπλοῦντες λέγουσιν, ἀντὶ τοῦ ἠλειμμένον.

Ἀλίαστον: τὸ μάταιον. Εὐριπίδης. ἔστι δὲ τὸ ἀνέγκλητον, ὃ οὐκ ἔστι φυλάξασθαι, κατὰ ἀπόφασιν.

Ἁλιευόμενος: ἀντὶ τοῦ ἁλιεύων. Πλάτων. 10

Ἀλίνουσιν: ἀντὶ τοῦ λεπτύνουσι. Σοφοκλῆς.

Ἀλίπαστα: οἴονται οἱ πολλοὶ ἁλίπαστα τὰ ταριχηρά, οὐ χρῶνται δὲ οὕτως Ἀττικοί, ἀλλ' ἐπὶ τῶν ἁλσὶ πεπασμένων κρεῶν ὀπτῶν προσφάτων.

Ἀλῖσαι: κυλῖσαι τὸν ἵππον. 15

Ἁλμυρίδες: τόπος τις περὶ τὰς ἐσχατιὰς τῆς Ἀττικῆς. Ἀριστοφάνης. Τηρεῖ·

ἔδει δέ γέ σε βληθεῖσαν εἰς ἁλμυρίδας
. . . τηδὶ μὴ παρέχειν σε πράγματα.

Ἁλμυρόν: τὰ πολλὰ ἐκτεταμένως. λέγουσι δὲ καὶ 20 ἁλυκόν·

νὴ τὸν Ποσειδῶ τὸν ἁλυκόν, δίκαιά γε

Ἀριστοφάνης λέγει Λυσιστράτῃ.

Ἁλις τοῦδε: οἷον ἀπόχρη καὶ ἱκανῶς ἔχει. εἴρηται δὲ ἀπὸ τῆς ἁλός, ὅτι καὶ αὐτὴ δαψιλὴς καὶ ἱκανή· ἢ 25 ἀπὸ τοῦ ἅλες.

Ἁλίσπαρτον: κυρίως τὸ ἁλὶ κατεσπαρμένον χωρίον. καὶ τὸ ἄλευρον δὲ οὕτω λέγεται. οἱ δὲ ἰδιῶται συνήθως ἐπὶ τοῦ ἀχρήστου γεγονότος χρῶνται τῇ φωνῇ.

Ἁλιῶς: ἀντὶ τοῦ ἁλιέως. Φερεκράτης. 30

Ἀλκάθω καὶ ἀλκάθειν: Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν.

Ἁλοσύδνης: τῆς ἐν ἁλὶ γενομένης. ὁ δὲ Ἡλιόδωρος τὴν θάλασσαν ἀπέδωκεν.

Ἁλοῶν: ἀντὶ τοῦ περιάγων, ὡς οἱ ἁλοῶντες βόες. οὕτως Ἀριστοφάνης·

ἁλοᾷν χρὴ τὰς γνάθους. 5

Ἁλοᾷν: τύπτειν, βάλλειν. καὶ τὸ θρύπτειν ἐπὶ τῆς ἅλω τὸν σῖτον.

Ἁλοία: ἔτυπτεν. ἀφ᾽ οὗ καὶ πατραλοίας Ἀττικῶς ὁ πατροτύπτης.

Ἀλλὰ αὖ: ἀντὶ τοῦ ἀλλὰ πάλιν. Πλάτων Νυκτὶ μακρᾷ· 10

ἀλλ᾽ αὖ γέλοιον ἄνδρα μου μὴ φροντίσαι
μηδέν.

Ἁλὸς θείοιο: τοῦ ἐντίμου, διὰ τὴν πολλὴν αὐτοῦ καὶ πανταχοῦ χρῆσιν. ἢ τοῦ καθαροῦ καὶ ἀφθάρτου. ἢ τοῦ δικαίου καὶ ἀναγκαίου, δικαίου μέν, καθότι μυστικῶς οὕτω προσαγορεύεται· σπονδαὶ γὰρ καὶ ὁμεστίων καὶ ἱερῶν καὶ ἱερέων καὶ τραπέζης κοινωνία τούτῳ χαρακτηρίζονται· ἀναγκαῖον δὲ πρὸς διαμονὴν καὶ ἐπιτηδειότητα καὶ εὐεξίαν τῶν χρησίμων ἀνθρώποις. καὶ τὸ πῦρ δὲ θεῖον καὶ ἡ θάλασσα ἔοικε διά τινα τοιαῦτα καλεῖσθαι· ἢ διὰ τὸ καθάρσιον λυμάτων εἶναι. ἔτι τε τὸ σπουδαῖον καὶ τὸ καλὸν καὶ ἀγαθὸν ἢ τὸ μέγα καὶ ἄριστον θεῖον λέγεται. 15 20

Ἀλκαία: ἡ οὐρὰ τοῦ ζώου, κυρίως δὲ τοῦ λέοντος, ὅ ἐστι κνήθειν. ἔνιοι δὲ ἀλκαίαν διὰ τὸ εἰς ἀλκὴν παρορμᾷν, ἐπεὶ ὁ λέων ἰσχία τε καὶ πλευρὰς μαστίζων τῇ οὐρᾷ εἰς μάχην ἑαυτὸν ἐποτρύνει. καὶ ταῦρος δὲ καὶ κύων καὶ ἄλλα ζῶα πολλὰ τῇ οὐρᾷ πρὸς ἀλκὴν κέχρηται. φασὶ δὲ Ἕλληνες καὶ τὴν οὐρὰν εἰρῆσθαι παρὰ τὸ ὀρίνειν καὶ παρορμᾷν εἰς ἀλκήν. 25 30

Ἁλῶα: ἑορτὴ Δήμητρος καὶ Διονύσου. προσηγόρευται δὲ διὰ τὸ ταῖς ἀπαρχαῖς ταῖς ἀπὸ τῆς ἅλω τότε καταχρήσασθαι, φέροντας εἰς Ἐλευσῖνα. ἢ ἐπεὶ ἐν ἅλωσιν ἔπαι-

ζον

ζον ἐν τῇ ἑορτῇ. ἤγετο δὲ ἐπὶ τῇ συγκομιδῇ τῶν καρπῶν ἑορτὴ Ἁλῶα, ἐν ᾗ καὶ Ποσειδῶνος πομπή. ἀπὸ δὲ τοῦ συναυλίζεσθαι, ἔνθεν καὶ ἅλως. καὶ ἡλιαία δέ, ἐπεὶ πολλοὶ δικασταὶ συναθροίζονται.

Ἀλλογνοεῖν: τὸ μὴ σαφῶς τι γνωρίζειν. ὅμοιον δέ ἐστι τὸ ἀμφιγνοεῖν. 5

Ἀλλοτριόγνωμος: σημαίνει ὁ τὰ ἀλλότρια ἐν γνώμῃ ἔχων καὶ μὴ τὰ ἑαυτοῦ.

Ἁλοιμός: τὸ τῶν τοίχων χρίσμα.

Ἁλοκίζειν: ἀροτριᾶν. 10

Ἁλσὶ διαπεπάσθαι: ὁ νοῦς τῇ συμπλοκῇ χρήσιμος.

Ἀλλυδις: μεταλλαγή.

Ἀλυκτεῖν: δυςφορεῖν.

Ἄλυπος: ὁ μὴ λυπούμενος. λέγεται δὲ καὶ ἀλύπητος. Θεόπομπος. 15

Ἄλογα: ἄῤῥητα, Σοφοκλῆς. ἄλογα καὶ ἀδιανόητα, Πλάτων.

Ἄλυπον ἄνθος ἀνίας: εἰ θέλοις εἰπεῖν ἐπ' τινος πράγματος, ὃ λύπης ἀπαλλάττει, οὕτως ἂν χρήσαιο, ὡς καὶ Σοφοκλῆς ἐν τῷ Διονυσιακῷ Σατυρικῷ ἐπὶ 20 οἴνου πρῶτον γευσαμένων τῶν κατὰ τὸν χορὸν Σατύρων·

πόθεν ποτ' ἄλυπον ὧδε
εὗρον ἄνθος ἀνίας;

ὅλον δὲ τὸ μελύδριον πολιτικὸν ἄγαν γέγονε. μετὰ γὰρ 25 τῆς ἄλλης ἐναργείας λελυμένην ἔχει τὴν ἑρμηνείαν καὶ μεθύουσιν ἁρμόττουσαν. δεῖ δὲ τὰς λύσεις τῆς ἑρμηνείας ἁρμάττειν τοῖς νοήμασι καὶ μὴ σφίγγειν, καὶ μηδαμοῦ σύνδεσμον παρατιθέναι, ἀλλ' ἀκήρατον τὴν λύσιν φυλάττειν. 30

Ἀλυσθαίνειν: ἀδυνατεῖν.

Ἀλφιστῶν στοά: ἡ ἀλφιτόπωλις, ἐν ᾗ καὶ ἡ Ζεύξιδος ἀνέκειτο Ἑλένη.

Ἀλφιταμοιβοί: ἀλφιτοπῶλαι, οὐ πρὸς ἀργύριον, ἀλλ' ἀλφίτων κριθὰς ἀμειβόμενοι.

Ἄλφιτα: κυρίως μὲν τὰ ἀπὸ πεφρυγμένων καὶ ἀλεσθεισῶν κριθῶν θραύσματα, καταχρηστικῶς δὲ τὰ ἀπὸ πυρῶν ἢ φακῶν.

Ἀλφιτόχρωτος κεφαλῆς: τῆς πολιᾶς. Ἀριστοφάνης Ταλμισσεῦσιν.

Ἀλλόφασις: θόρυβος ταραχώδης.

Ἀλλοφάσειν: ἑτεροχροεῖν, παρορᾶν.

Ἀλλοφάσειν: οὐχ ὑποφέρειν βάρος.

Ἀλλοφάτοις: ὑπ' ἄλλων πεφατισμένοις, οἷον ἀνηρημένοις.

Ἀλφός: ἡ μέν τις λευκὴ παραλλαγὴ κατὰ τὸ χρῶμα μετά τινων λεπτῶν στιγμάτων, ὃ καλεῖται λευκὸς ἀλφός, ἡ δὲ ὑπομελανίζουσα· καὶ καλεῖται μέλας ἀλφός.

Ἀλωπεκέως: ἀμπέλου εἶδος.

Ἀλφηστῆσιν: ἐντίμοις.

Ἀλφινία: ἡ λευκή.

Ἄμαθος: ἡ μεσόγειος ἤτοι ἡ κατὰ τὸ πεδίον ἄμμος.

Ἀμᾶν: θερίζειν, παρὰ τὸ ἅμα.

Ἀμαξιτόν: ὁδὸν δημοσίαν.

Ἀμαρυγή: λαμπηδών.

Ἀμαρυγάς: ὄψεις. οἱ δὲ ἀκτῖνας ὄψεως.

Ἀμάρυγμα: φόρημα. κίνησιν. λαμπηδόνα. οἱ δὲ

Ἄμματα: δεσμά.

Ἀμαυρά: σκοτεινά, ὅθεν καὶ ἀμαυρὸν τὸ μὴ διαφανές.

Ἄμαχον: δυσκαταμάχητον. Πίνδαρος·

ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.

Ἀμβλίσκουσιν: ἀποβάλλουσιν.

Ἀμβλύς: σκοτεινός.

Ἀμβλυώττει: τυφλώττει.

Ἀμβλωθρίδια: ἐκτρώματα, ἐξημβλωμένα ἔμβρυα.

Ἀμβρόσιον: θεῖον. ἢ ἀθάνατον. ἢ θαυμαστόν.

Ἄμβροτα: θεῖα, ἄφθαρτα.
Ἀμείβεσθαι: ἀποκρίνεσθαι.
Ἀμείβων: ἀλλάσσων.
Ἀμειδές: στυγνόν, σκυθρωπόν.
Ἀμείλικτος: ἀπάνθρωπος. 5
Ἀμείλικτον: ἀπηνῆ.
Ἀμείλιχος: σκληρός, ἀκολάκευτος.
Ἀμέλει: σημαίνει τρία, διὰ τοῦτο, καὶ τὸ πάνυ, καὶ ἔστι καὶ περιττὸν ἐν ταῖς γραφαῖς, κόσμου χάριν παρὰ τοῖς Ἀττικοῖς παραλαμβανόμενον. 10
Ἀμέλει: τοιγαροῦν.
Ἀμελλητί: ἀνυπερθέτως.
Ἀμεταπόλητον: ἀμετάθετον.
Ἀμετρίαν: ὑπερβολήν.
Ἀμεταστρεπτί: ἀμελητί, μὴ ἐπιστρεφόμενον. 15
Ἀμηγέπη: ὁπωσδήποτε, καθ' ὅτιοῦν. λέγεται δὲ καὶ ἀμωσγέπως καὶ ἀμόθεν.
Ἀμήρυτον: πολύ, ἐκτεταμένον, ἀπλήρωτον, τουτέστι διηνεκῶς ἐπιμένον ἀπέραντον.
Ἀμήσαντες: ἀντὶ τοῦ μὴ ἀποτεμόντες. 20
Ἀμητῆρες: θερισταί.
Ἀμητός: αὐτὰ τὰ τεθερισμένα ὀξυτόνως· προπαροξυτόνως δὲ ὁ καιρὸς τοῦ θερισμοῦ, ὡς καὶ τρύγητος ὁ καιρὸς τοῦ τρυγᾶν.
Ἀμηχανία: ἀπορία. 25
Ἀμήχανον: ὑπὲρ λόγον.
Ἀμίδας: τὰ ὑπηρέσια, τὰ οὐροδόχα ἀγγεῖα.
Ἀμιλλα: ἀγώνισμα, φιλονεικία, ἐξίσωσις.
Ἀμογητί: ἀκόπως.
Ἀμοιβαδόν: ἐξαίφνης, ἐφεξῆς. 30
Ἀμοιβή: ἀνταπόδοσις.
Ἀμοιβαῖα: ἔκτισις, ἀνταπόδοσις ἢ ἐκ διαδοχῆς ὁμοία.
Ἀμοιρῆσαι: ἀποτυχεῖν.

Ἄμουσα: ἀτερπῆ, ἀηδῆ, ἀπαίδευτα.
Ἀμπεχόμενος: περιβαλλόμενος.
Ἀμπεχόνη: ἱμάτιον.
Ἀμπεχόνιον: λεπτὸν ἱμάτιον, πάλλιον.
Ἀμπλακίαις: ἁμαρτίαις.
Ἄμπυκας: χαλινούς.
Ἄμπυξ: δεσμὸς τριχῶν ἢ κόσμος τῆς κεφαλῆς.
Ἄμπωτις: ξηρασία ἢ πλημμύρα.
Ἀμυδρά: ἀφανῆ, σκοτεινά.
Ἀμύκλας: Λακεδαίμων.
Ἀμύητος: ἄπειρος, ἀτέλεστος.
Ἀμύμων: ἄψογος, ἄμεμπτος.
Ἀμύντωρ: βοηθός.
Ἄμυξις: σπάραξις.
Ἀμύσσει: ξέει, σπαράσσει.
Ἀμυχή: ἐπιπόλαιον ἕλκος.
Ἀμφ' αὐτούς: περὶ αὐτούς.
Ἄμφηκες: ἀμφοτέρωθεν ἠκονημένον.
Ἀμφηρεφές: ἀμφοτέρωθεν ἐστεγασμένον ἢ κατάσκιον.
Ἀμφήριστον: ἄνισον, ἀμφίβολον.
Ἀμφί: περί, ἐξ ἑκατέρου μέρους.
Ἀμφίβιον: ἐν ἀμφοτέραις δυνάμενον βιοῦν, θαλάσσῃ καὶ γῇ.
Ἀμφίβολοι: πανταχόθεν βαλλόμενοι. ἢ ἀπορούμενοι, διαφόροις συνεχόμενοι λογισμοῖς ἀγνοίᾳ καὶ εἴτε τοῦτο εἴτ' ἐκεῖνο ποιήσουσιν.
Ἀμφιγύοισι: τοῖς ἐξ ἑκατέρου μέρους πλῆξαι ἢ γυιῶσαι δυναμένοις.
Ἀμφιδέῤῥεα: ψέλια.
Ἀμφιδεές: περιδεές.
Ἀμφιθαλής: ἑκατέρωθεν θάλλων.
Ἀμφίθετος: κατὰ πᾶν μέρος αὐτῆς τιθεμένη, ἀπύθμενος.

Ἄμφικρημνος: περίκρημνος ἢ βραχυτάτη.
Ἄμφικρημνον: ἑκατέρωθεν ἐπικίνδυνον.
Ἀμφιλαφές: κατάσκιον. ἀμφοτέρωθεν βοηθούμενον. ἢ δασύ.
Ἀμφιλάφεια: ἀμφοτέρωθεν βοήθεια. 5
Ἀμφιλαφής: μεγάλη, οἷον ἀμφιλαβής, ὅτι ἀμφοτέραις ταῖς χερσὶ λαμβάνεσθαι αὐτῆς ἔστιν.
Ἀμφιμάτορας: ἀμφοτέρους τοὺς γονεῖς ἔχοντας.
Ἀμφιματῶσαι: ἀποδῦσαι.
Ἄμφιον: ἔνδυμα, ἱμάτιον. 10
Ἀμφίπολος: ἡ θεράπαινα.
Ἀμφιρύτη: περιῤῥεομένη κύκλῳ.
Ἀμφισβητεῖν: μὴ συμφωνεῖν, ἀλλ᾽ οἷον χωρὶς βαίνειν καὶ ἀμφιβάλλειν.
Ἀμφίταποι: τάπητες ἀμφίμαλλοι. 15
Ἀμφιστεφέες: πάντοθεν πλήρεις, περιπεπλεγμέναι ἀλλήλαις.
Ἀμφὶ τὸ λυκόφως: περὶ τὴν αὐγήν.
Ἀμφιτρυχῆ: κατεῤῥωγότα.
Ἀμφιφορεῖα: ἀγγεῖα. 20
Ἀμφιφορεῦσι: κεραμίοις, ἀμφορεῦσιν.
Ἀμφίχυτον: περικεχωσμένον.
Ἄμφοδον: δίοδον, ῥύμην.
Ἀμφορεαφόρους: τοὺς μισθωτοὺς τοὺς τὰ κεράμια φέροντας. 25
Ἄμφω τὼ χεῖρε: ἀμφοτέρας τὰς χεῖρας.
Ἀμώμενοι: θερίζοντες.
Ἀμωσγέπως: ὁπωσδήποτε, ἔν γέ τινι, καθ᾽ ὁντιναοῦν τρόπον.
Ἀμῶσι: θερίζουσιν. 30
Ἀναβιώσκεσθαι: ἀναζῆν.
Ἀνάγνωσις: ἀναγνώρισις. ἢ ἀνάπεισις.
Ἀναβοθρεύουσιν: ἀναμοχλεύουσιν.

Ἀνάγραπτον: τὸ ἀναγεγραμμένον. ἢ τὸ πᾶσιν ἐγνωσμένον.

Ἀνάγωγος: ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς.

Ἀναγωγότερον: ἁμαρτικώτερον, ἀτακτότερον.

Ἀναγώγῳ: φιληδόνῳ, ἐκλελυμένῳ. 5

Ἀναδάσασθαι: ἀναμερίσασθαι.

Ἀναδέσμην: ὅμοιόν τι διαδήματι. ἢ μιτραν κεφαλῆς.

Ἀναδεῖ: ἀναπλέκει, στέφει.

Ἀναδούμενος: στεφανούμενος, τιθέμενος.

Ἀναδήσασθαι: στεφανώσασθαι. καὶ ἀναδήσοντες 10 στέψοντες.

Ἀναδιδάξαι: ἀντὶ τοῦ πάνυ διδάξαι· ἐπιτατικὴ γάρ ἐστιν ἡ ἀνά.

Ἀναδῦναι: ἀναχωρῆσαι.

Ἀναδυόμενος: φεύγων, ἀναχωρῶν, ἀναβαλλόμενος. 15

Ἀναζυγαῖς: ἀναστροφαῖς, στρατοπεδείαις.

Ἀναζωπυρῆσαι: ἀνανεῶσαι, ἀνεγεῖραι, ζωῶσαι.

Ἀναθηλήσει: ἀναβλαστήσει.

Ἀναθρούμενα: ἀνασκοπούμενα.

Ἀναίδην: ἀθρόως, σφοδρῶς. ἢ ἀπηρυθριασμένως. 20

Ἀναιμωτί: ἄνευ αἵματος.

Ἀναίνομαι: ἀπαρνοῦμαι, προΐεμαι.

Ἀναιρεῖν: τὸ ἐν γαστρὶ συλλαβεῖν. καὶ τὸ τεχθὲν ἀνατρέφειν. καὶ τὸ φονεῦσαι. καὶ τὸ ἀναλαβεῖν. καὶ ἔτι τὸ ἀπολλύναι. καὶ τὸ αἴρειν ἢ προσενέγκασθαι. 25

Ἀνακαλυπτήρια: δῶρα διδόμενα ταῖς νύμφαις, ὅταν πρῶτον ἀνακαλύπτωνται ἐν ἑστιάσει τῶν γάμων, τοῖς ἀνδράσι καὶ τοῖς ἑστιωμένοις δρώμεναι.

Ἀνακάθαρσις: ἐπίλυσις, διευκρίνησις.

Ἀνακεφαλαιοῦται: ἀναπληροῦται. 30

Ἀνακτίζει:

Ἀνακεχυμένη: ἀνετή.

Ἀνακλῖναι: ἀνοῖξαι.

Ἀνακομιδή: ἀναγωγή, ἐπάνοδος.
Ἀνακωχή: ἀνάπαυσις.
Ἀνακτορίαν: δεσποτείαν.
Ἀνακτόριον: ἱερόν.
Ἀνακυπῶσαι: ἀναστρέψαι. 5
Ἀνακτόρων: ἱερατείων.
Ἀνακῶς: φυλακτικῶς ἢ βασιλικῶς. καὶ ἀνακῶς ἔχειν φροντίζειν.
Ἀνακωχεύειν: τὸ ἐν πελάγει χειμῶνος ὄντος στήσαντας τὰ ὀθόνια σαλεύειν. 10
Ἀνακωχῆς: ἀναπαύσεως, ἐνδόσεως, τῆς πρὸς μικρὸν ἐν πολέμῳ εἰρήνης. ἀνακωχὴ δὲ εἴρηται παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν.
Ἀναλγήτως: ἀναισθήτως, ἀπόνως. καὶ ἀναισθησία ἀναλγησία. 15
Ἀνάλημμα: ὕψωμα, στήριγμα.
Ἀναμάθω: ἐξ ἀρχῆς μάθω.
Ἀναλλοίωτον: ἄτρεπτον, μὴ ἀλλοιούμενον.
Ἀναμάττεσθαι: ἀναφυρᾶν.
Ἀναμέλποντες: ἀνυμνοῦντες. 20
Ἀναμετρήσαιμι: διεκπεράσαιμι.
Ἀναμηρύσασθαι: ἀνατεῖναι.
Ἀναμίλλητον: ἀφιλόνεικον.
Ἀναμύειν: ἀναβλέπειν.
Ἄνανα: ἄνω, ἀνωφερῆ, δυσχέρη. 25
Ἀνανεές: ἀνωφερές.
Ἀναξυρίδες: φιμινάλια, βρακία. ἢ τὰ βαθέα καὶ ἄβατα ὑποδήματα.
Ἀνὰ οὐλαμόν: κατὰ τὸ ἄθροισμα.
Ἀνακραθέντες: ἀνακερασθέντες, ὁλοψύχως κολλώμενοι. 30
Ἀναπάλλει: ἀναπηδᾷ, ἀνασείει.
Ἀνάπαυλαν: ἀνάπαυσιν.

Ἀναπεμπαζόμενοι: ἀναριθμούμενοι, σκεπτόμενοι.
Ἀναπεποιημένης: ἀναπεφυρμένης, ἀνεζυμωμένης.
Ἀναπεπταμένα χωρία: πεδία, κάμποι.
Ἀναπίμπλαται: ἀναπληροῦται.
Ἀνάπλασμα: σχῆμα.
Ἀναπλήσας: ἀναπληρώσας.
Ἀνάποινος: ἄνευ λύτρων.
Ἀναπολεῖ: ἀναμιμνήσκεται.
Ἀναπόδραστον: ἄφευκτον. καὶ ἀναποδράστους τοὺς μὴ δυναμένους φυγεῖν.
Ἀναπόνιπτον: ἀνεξάλειπτον.
Ἀναπτήτω: πετασθήτω.
Ἀνάπτειν: περιτιθέναι. ἢ ἀνατιθέναι.
Ἀνάπτυξις: ἑρμηνεία, διασάφησις.
Ἀνάπυστα: ἔκπυστα, δῆλα.
Ἀναῤῥιπτεῖν: ἀναλαμβάνειν.
Ἄναρθρα: ἀτύπωτα, ἀτράνωτα. λαμβάνεται δὲ ἐπὶ συλλαβῆς λειπούσης στοιχείῳ ἢ λόγου λείποντος συλλαβῆ.
Ἀναῤῥηθῆναι: ἀνακηρυχθῆναι.
Ἀνάῤῥησις: ἀναγόρευσις.
Ἀνάῤῥημα: κήρυγμα.
Ἀναῤῥίπτειν: μεταμελεῖσθαι, μετατίθεσθαι.
Ἀναφοιβδεῖν: ἀναῤῥοφεῖν.
Ἀνάρτησον: κρέμασον.
Ἀνασειράζει: ἀνθέλκει, ἀνατρέπει.
Ἀνασκαλεύων: ἀνακινῶν, ἀδημονῶν, ἀναλογιζόμενος.
Ἄνασσα: βασίλισσα.
Ἀνασκευασάμενοι: ἀπάραντες.
Ἀνασταδόν: ἀνιστάμενοι.
Ἀνάστατος: κατεστραμμένος.
Ἀναστήσας: καὶ ἀναστάτους ποιήσας καὶ μετοικίσας.
Ἀνατί: ἀβλαβῶς καὶ ἄνευ τίσεως καὶ τιμωρίας.

Ἀναστοιχειοῖ: ἀναπλάττει, ὡς μεταστοιχειοῖ ἢ μεταπλάττει.
Ἀναστάτως: πεπορθημένως.
Ἀνασχοῦσα: ἀναδοῦσα.
Ἀνασφήλας: ἀνανήψας, ἑαυτὸν ἀναστήσας ἢ ἀνα- 5
λαβών.
Ἀνασχών: ἀνατείνας.
Ἀνατάξασθαι: εὐτρεπίσασθαι.
Ἀνατεῖλαι: ἀνθῆσαι, ἐκ μεταφορᾶς τῶν βοτανῶν.
Ἀνάτλάντες: ὑπομείναντες. 10
Ἀνατύπωσις: διανόησις.
Ἀνάτλημα: ὑπομονή. καὶ ἀνατλῆναι ὑπομεῖναι.
Ἄναυδος: ἄφωνος.
Ἀναφαίνεις: φανερὰ ποιεῖς.
Ἀναφαιρέτους: μὴ ἀφαιρουμένους. 15
Ἀναφανδόν: φανερῶς.
Ἀναφῆναι: ἐκφῆναι.
Ἀναφοιτῆσαι: ἀνελθεῖν.
Ἀναφορεῖς: οἱ ἀνέχοντες, οἱ ἀναβαστάζοντες.
Ἀναχαιτίζει: ἀναποδίζει, ἐκκόπτει. 20
Ἀνὰ χθόνα: ἐπὶ τὴν γῆν.
Ἀνάχυσιν: βλακείαν, ἔκχυσιν, ἔκλυσιν.
Ἀνδάνει: ἀρέσκει.
Ἀνδράγρια: σκῦλα ἐξ ἀνδρῶν.
Ἄνδραγχος: δήμιος ὁ τοὺς ἄνδρας ἄγχων. 25
Ἀνδραποδισμός: αἰχμαλωσία.
Ἀνδραποδοκάπηλος: μεταβολεὺς ἀνδραπόδων.
Ἀνδραποδώδεις: δουλοπρεπεῖς, δουλογνώμονας.
Ἀνδρογύνων: ἀσθενῶν, γυναικῶν καρδίας ἐχόντων.
Ἀνδροκτασιάων: ἀνδροφονιῶν. 30
Ἀνδρομέου· ἀνθρωπίνου.
Ἀνδρῶνα: οἶκον ἔνθα οἱ ἄνδρες εἰώθασιν αὐλίζεσθαι.
Ἀνδροληψία: τὸ ἁρπάζειν ἄνδρας ἐκ τινος πόλεως.

ἠνεχύραζον γὰρ τὴν ἔχουσαν πόλιν τὸν ἀνδροφόνον καὶ μὴ προϊεμένην αὐτὸν εἰς τιμωρίαν. καὶ τοῦτο ἐκαλεῖτο ἀνδρολἠψία, καὶ οὐδετέρως ἀνδρολήψιον.

Ἄνδρων: εἷς ἦν τῶν τετρακοσίων.

Ἀνδροσάνθων: μεγάλα ἔχων αἰδοῖα. 5

Ἄνδρα: τὸν ἀνδρεῖον. καὶ τὸν κατὰ κοινωνίαν τῆς γυναικός.

Ἀνδρακάς: τὸ κατὰ ἄνδρα χωρῆσαι ὁ Κρατῖνος ἐν Βουκόλοις. Θουκυδίδης δὲ ἀντὶ τοῦ ἴσον καὶ ἀντικείμενον. 10

Ἀνδραποδιστής: οὐ μόνον ὁ τοὺς ἐλευθέρους δουλούμενος, ἀλλὰ καὶ ὁ τῶν δεσποτῶν τοὺς δούλους ὑποσπῶν εἰς ἑαυτόν.

Ἀνδραπόληποι: οἱ σὺν ἀνδραπόδοις ἀποδημήσαντες.

Ἀνδραφασάειν: κατὰ ἄνδρα ἐφάπτεσθαι. 15

Ἀνδειράδες: πρασιαί, ὀχετοὶ ταφρώδεις.

Ἄνδικε: ἀνάῤῥιψον. δικεῖν γὰρ τὸ ῥίπτειν. ὅθεν καὶ ἀπὸ τοῦ ῥίπτεσθαι ὀνομάζεται τὸ δίκτυον, οἱονεὶ τὸ δικούμενον εἰς θάλασσαν.

Ἀνδροκόνοι: ἀνδροφόνοι. 20

Ἀνδροκολωνοκλῆς ἀντὶ τοῦ ἠλίθιος. Κρατῖνος γὰρ Ὥραις, ἀντὶ τοῦ φάναι ἠλίθιον Ἐτεοκλέα, οὕτως ὑφ' ἓν καὶ διὰ μιᾶς λέξεως ἔφη, διὰ τὸ εἶναι ἐκ Κολωνοῦ.

Ἀνδρομανής: ἐπιμεμηνυῖα τοῖς ἀνδράσιν. 25

Ἀνδρότητα: ἀνδρίαν.

Ἀνδροσάθης: ἀνδρὸς αἰδοῖα ἔχων.

Ἀνδρωθεῖσα: ἀνδρὶ συνοικήσασα, διακορηθεῖσα.

Ἀνδριάντα: ὡς ἐν τῇ συνηθείᾳ λέγουσιν αἱ μητέρες περὶ τῶν υἱῶν, ὁ καλὸς ἀνδριάς μου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος τὸν καλὸν ἀνδριάντα γράφοντα καὶ ἄλλοι πολλοί. λέγεται δὲ ἀνδριὰς καὶ τὸ ἄγαλμα, καὶ ὁ ἐκ χαλκοῦ καὶ ξύλου καὶ χρυ- 30

σίου καὶ τῆς ἄλλης ὕλης, ὅση δύναται δέξασθαι καὶ κατέχειν εἶδος. λέγεται δὲ τούτων ἕκαστον καὶ κατὰ συνθήκην τῆς ὕλης, ὁ χαλκοῦς ἀνδριὰς καὶ ὁ ξύλινος ἀνδριὰς καὶ τὰ ὅμοια. λέγεται μέντοι καὶ ἐπὶ τῶν ἄλλων ζώων κατάχρηστικῶς ἀνδριάς. 5

Ἀνεβάλλετο: ἀνεκρούετο. ἀναβολὰς γὰρ καὶ τὰς ἀνακρούσεις καὶ τὰς ἀρχάς, ὅθεν καὶ τὸ ἤρχετο καὶ τὸ ἀπήρχετο. σημαίνει δὲ καὶ τὸ ὑπερετίθετο.

Ἀνεβάλλετο: προοιμιάζετο, ἀνεκρούετο, ἐνήρχετο.

Ἀνεβάλλοντο: ἀντὶ τοῦ ἐσχηματίζοντο. 10

Ἀνέβαλλεν: ἀναβολὴν ἐδίδου.

Ἀνεβίω: ἀνέζησεν. ἀνεβίωσα δὲ καὶ ἀνεβίωσεν καὶ ἀνεβίω. ἀναβιώσκεται καὶ ἀναβιώσκει μᾶλλον ἢ ἀναβιοῖ. λέγουσι δὲ καὶ ἀναζῆν.

Ἀνεγνάμφθη: ἀνεκάμφθη. 15

Ἀνέβησεν: ἀνεβίβασεν. οὕτως Ἡρόδοτος.

Ἀνέγρετον: ἀνυπόστροφον.

Ἀνεδήματο: ἀνῆλθεν.

Ἀνεβιωσάμην: ἀντὶ τοῦ ἀναβιῶναι ἐποίησα, Κρατ . . . 20

Ἀνέδραμεν: ἀντὶ τοῦ ηὐξήθη.

Ἀνεζωπυρήθη: διεθερμάνθη.

Ἀνέθει: ἀνέτρεχεν.

Ἀνεκάς ψιλῶς τὸ ἀνά λέγουσι, καὶ ἀνέκαθεν τὸ ἄνωθεν. Εὔπολις. Αὐτολύκῳ· 25

ἕκαστ' ἐπαίρω.

Ἀνεσίαν: τὴν ἄνεσιν καὶ τὴν ἄδειαν. Κρατῖνος Βουκόλοις.

Ἀνείλεσθαι: συστρέφεσθαι καὶ ἀλλήλους τοῖς δόρασι τύπτειν. 30

Ἀνείλλεται: ἀνειλεῖται.

Ἀνειλύσπω: ἀνέβαινες.

Ἀνεῖλεν: ἀντὶ τοῦ ἐμαντεύσατο. διφορεῖται γὰρ ἡ λέξις,

ἐπεὶ ἔστιν ὅτε ἀντὶ τοῦ ἐφόνευσε λαμβάνεται. ἀνελεῖν δὲ τὸ μαντεύεσθαι, ἢ ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ πνεῦμα καὶ πληροῦσθαι τοῦ θεοῦ, ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν ἄγνοιαν. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ φονεύειν. φαμὲν τὸ ἀνελεῖν ἢ ἀπὸ τοῦ ἄνω λαμβάνειν τὸ ἐν βάθει πνεῦμα τοῦ ἀνδρός, ἢ ἐκ τοῦ ἐναντίου ἀπὸ τοῦ ἀνελεῖν τὴν γνῶσιν. λέγεται δὲ ἀνελεῖν καὶ τὸ ἀναλαβεῖν τὰ ἔκθετα βρέφη καὶ τρέφειν, καὶ ἁπλῶς ὅπερ ἄν τις ἀναλαμβάνοιτο.

Ἀνειλόμην: δύο δηλοῖ, τό τε ἔθρεψα καὶ τὸ ἐβάστασα.

Ἀνειλήθυιαν: ἄτοκον. Εὐριπίδης.

Ἀνειμέναι: ἐκλελυμέναι.

Ἀνείμονες: ἀνίματοι, ἄνευ ἱματίων.

Ἀνεῖναι: ἀφεῖναι.

Ἀνεῖναι κύβον: ἀντὶ τοῦ ἀναῤῥῖψαι κύβον.

Ἀνεῖπεν: ἀνεκήρυξεν, ἀνηγόρευσεν.

Ἀνεῖργεν: ἀπεκώλυσεν.

Ἀνεῖσθαι: λελύσθαι.

Ἀνεισιν: ἀνέρχεται.

Ἀνεῖται: ἀπολέλυται.

Ἀνείρειν: ἀναπείρειν. ὅθεν καὶ ἡ ἄνερσις παρὰ Θουκυδίδῃ· καὶ χρυσῷ στεφάνῳ ἐνέρσει.

Ἀνεικάσασθε: ἀνασκώψατε. Δραπέτεσι Κρατῖνος.

Ἀνείληπτός ἐστι τὸ Ἑλληνικόν, οὐχὶ ἀνάλειπτος οὐδὲ ἕτερον τοιόνδε οὐδέν.

Ἀνεκαλέσατο: ἀνεθέρισεν.

Ἀνέκαθεν: μακρόθεν.

Ἀνέκραγεν: οὐκ ἀνεκραύγασεν. καὶ ἀνακραγεῖν καὶ πάντα τὰ ὅμοια οὕτως.

Ἀνεκρούετο: ἀνέκοπτεν, ἀνέστελλεν.

Ἀνεκώχευον: ἀνεχώρουν.

Ἀνεκυμβαλίαζον: κτύπον ἐποίουν, ἐκρότουν.

Ἀνελεύθερος: ὁ μικρολόγος. ἢ ὁ ἐκτὸς τῆς ἀληθείας ποιῶν τι.

Ἀνελοῦσα γὰρ τὸν νόμον ἐχειροτόνησεν αὐτῇ: τοῦτο τὸ χωρίον Δημοσθένης μὲν ἐν τῷ κατὰ Ἀνδροτίωνος εἶπε, διττὴ δὲ φέρεται ἡ γραφή, ἡ μὲν ὡς προγέγραπται, ἡ δὲ ἀντὶ τοῦ αὐτῇ αὐτήν λέγει κατ' αἰτιατικήν. καὶ ἡ μὲν κατ' αἰτιατικὴν προαγομένη τοιοῦτον ἔχει τὸν νοῦν· ἀνελοῦσα τοῖτον τὸν νόμον ἤτοι παραβᾶσα διαχειροτονίαν περὶ ἑαυτῆς ἐδόκουν, ὅτι χρὴ στεφανοῦν αὐτήν. ἡ δὲ κατὰ δοτικήν· ἀνελοῦσα τοῦτον τὸν νόμον ἐχειροτόνησεν ἐκεῖνον ἑαυτῇ.

Ἀνέμητα: ἀμέριστα.

Ἀνέντες: ἀναπείσαντες.

Ἀνέλπιστον βίον τὸν κάλλιστον εἰρήκασιν Ἀττικοί, ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτόηνται, ἀλλὰ πάρεστιν ἤδη τὰ ἀγαθά. οὕτω Πίνδαρος.

Ἀνελπίστως: ἀπροσδοκήτως.

Ἀνεμοτρεφές: τὸ ἐν εὐηνέμοις τόποις τεθραμμένον. εὔτονον γὰρ τοῦτο.

Ἀνεμοκοῖται: οἱ ἀνέμους κοιμίζοντες. γένος δέ φασι τοιοῦτον ὑπάρχειν ἐν Κορίνθῳ.

Ἀνενεχθείσας: ἀντὶ τοῦ ἀνενεγκούσας.

Ἀνεξίτητον: ἀνεξέλευστον.

Ἀνεξέλεγκτος: ἀβασάνιστος, ἀδόκιμος, ἀγύμναστος.

Ἀνέπαλτο: ἀνέπαλτο.

Ἀνεπάτησας: ἀντὶ τοῦ κατεπάτησας.

Ἀνεπίληπτον: ἄμεμπτον.

Ἀνεπιστάτητον: ἀφύλακτον.

Ἀνέπαφον: ἀνεύθυνον, καθαρόν, ἀθιγές.

Ἀνεπαφρόδιτος: ὁ μὴ ἐπίχαρις καὶ ἀηδής.

Ἀνέριστα: ἀφιλονείκητα.

Ἀνεμύτας: Θηβαῖος τὸ γένος.

Ἀνεξεύρητος:

Ἀνεπίδικα: τῶν μὴ θεμένων διαθήκας ἐπιδικάζεσθαι τοῖς κλήροις ὁ νόμος συγχωρεῖ τοὺς ἐγγυτάτω γένους, ὅσα ὡς υἱός τις ἤ. . .

Ἀνεπάγγελτος: ἄκλητος. 5

Ἀνεπτερῶσθαι τὴν ψυχήν: οἷον ἀναρρεσοβῆσθαι.

Ἀνεπίπληκτος: ᾧ οὐδεὶς ἐπιπλήσσει ἁμαρτάνοντι. Εὔπολις.

Ἀνερμάτιστον: ἀστήρικτον, ἄοπλον, ἀπαρασκεύαστον.

Ἀνεργήσει: ἀναρτήσει καὶ οἷον κωλύσει. 10

Ἀνεπόπτευτον: τὸ μὴ ἐποπτεῦον. οὕτως Ὑπερίδης. τὸ δὲ ἐποπτεῦσαι δηλοῖ Φιλόχορος, λέγων· ἀδικεῖ πάντα τά τε μυστικὰ καὶ τὰ ἐποπτικά. καὶ πάλιν· Δημητρίῳ μὲν οὖν ἴδιόν τι γέγονε παρὰ τοὺς ἄλλους, τὸ μόνον μυηθῆναί τε ἅμα καὶ ἐποπτεῦσαι, καὶ τοὺς πατρίους χρόνους τῆς τελετῆς μετακινηθῆναι. 15

Ἀνερρίπιζεν: ἀνεκίνει, ἐτάρασσεν, ἀνήγειρεν.

Ἀνερρίπτουν: ἀνελάμβανον.

Ἀνερριχῶντο: χερσὶ καὶ ποσὶ περιδρασσόμενοι ἀνήρχοντο. 20

Ἀνέρριψαν: ἀνέβαλον. ἢ ἀπηρνήσαντο. ἢ ἀνεβάλοντο· οἱ δ' ἅμα πάντες ἀναρρίψαντες ὄλεθρον.

Ἀνέσαντες: ἀνακαθίσαντες.

Ἀνεσίμου: ἀνήλισκε, κατεδαπάνα. 25

Ἀνέρριπται κύβος: οἷον ἀποκεκινδύνευται. Ἀριστοφάνης·

φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.

Ἀνεσκευασμένοις: τὰ ὅπλα ἐνδυσαμένοις.

Ἀνεσκολοπισμένον: ἀνεσταυρωμένον. σκόλοπες γὰρ τὰ ὀρθὰ ξύλα ἢ καὶ κάλαμοι. 30

Ἀνεσκευάσαντο: τὸ ἀναστάτους γενέσθαι καὶ οἷον ἀπείπασθαι.

Ἀνε-

Ἀνεστάλη: ἐσείσθη, μετεκινήθη.

Ἀνεστομώθησαν: ἀνεκρούσθησαν, ἐπληρώθησαν.

Ἀνέσπακεν: ἀνεύρηκεν, εἵληφεν. Μένανδρος Ῥαπιζομένῃ·

πόθεν γάρ, ὦ φίλοι θεοί, 5
ἀνεσπάκασιν . . . . οὗτοι τοὺς λόγους;

Ἀνέστιος: ἄοικος.

Ἀνερύσατο: ἐγύμνωσεν.

Ἀνέσφηλεν: ἀνέζησεν.

Ἀνέσχετο: ἀνέτεινεν. 10

Ἀνευθέτου: ἀχρήστου.

Ἄνετον Ὑπερίδης τὸ ἀνειμένον θεῷ ἱερόν.

Ἀνέφικτον: ἀκατάληπτον.

Ἀνευφήμησεν: ἀντὶ τοῦ ἐθρήνησε. Πλάτων.

Ἀνεφυσῶντο: ἀντὶ τοῦ μετεωρίζοντο. 15

Ἀνέφυ: ἀνέζησεν.

Ἀνεχρήσαντο: διέφθειραν. οὕτω Θουκυδίδης. σημαίνει δὲ καὶ τὸ εἰς χρείαν τινὰ παρειλήφασιν.

Ἀνεχαίτισεν: ἀντὶ τοῦ ἀνέκοψεν ἢ ἀνέτρεψεν.

Ἄνεχε: ἀντὶ τοῦ πάρεχε. Θεόπομπος. 20

Ἀνέχει: σώζει, οὐχ ὡς τινες ἀντὶ τοῦ ἐπέχει. καὶ Θουκυδίδης· αἱ περιουσίαι τῶν χρημάτων τοὺς πολέμους ἀνέχουσιν, ἀντὶ τοῦ σώζουσιν.

Ἀνέῳγεν, οὐχὶ ἤνοιγε, καὶ ἀνεώγετο λέγουσι. καὶ Θρασυλέοντι γ̄ ἢ δ̄· 25

ἡ δ' ἀνέῳγε τὴν θύραν.

Θετταλῇ·

καὶ τὸ κεράμιον
ἀνέῳχας· ὄζεις, ἱερόσυλ', οἴνου πολύ.

Εὔπολις Πόλεσιν· 30

ὃν οὐκ ἀνέῳξα πώποτ' ἀνθρώποις ἐγώ.

Φερεκράτης Κραταπάλλοις·

οὐδεὶς γὰρ ἐδέχετ', οὐδ' ἀνέῳγέ μοι θύραν.

Ἀνέωγον: καὶ Ἀμειψίας Μυχοῖς καὶ οἱ νεώτεροι πολλαχοῦ.

Ἀνείλιξιν: τὴν ἀνάλυσιν. Πλάτων Πολιτικῷ.

Ἀνέχειν: τὸ ἀνατέλλειν τὸν ἥλιον ἢ τὴν σελήνην. λέγεται δὲ ἀνέχειν καὶ τὸ ἐξέχειν καὶ προέχειν, ὡς Θουκυδίδης ἐν τετάρτῳ· πᾶσα γὰρ ἀνέχει ὡς τὸ Κρητικὸν πέλαγος. λέγεται ἀνέχειν καὶ τὸ κωλύειν. Θουκυδίδης ἐν ἕκτῳ· τοὺς ταῦτα κωλύοντας καὶ ἀνέχοντας. καὶ Ἀριστοφάνης· 5

σὺ δ' οὐκ ἀνεῖχες αὐτόν, ὥσπερ εἰκὸς ἦν. 10

καὶ ἀνέχειν τὸ διαβαστάζειν καὶ φέρειν, ὃ καὶ ἀνέχεσθαι καὶ ἐπανέχειν λέγεται.

Ἀνέσχεν: ὡς λέγομεν, ὁπότε ὁ ὑετὸς παύεται, Ξενοφῶν. σημαίνει δὲ καὶ ἄνω ἔσχεν, ἐπῆρεν, ὕψωσεν.

Ἀνέδην: ἀνειμένως. δύναται δὲ ἀπὸ τῶν ἵππων μετάγεσθαι, οἷς ἂν αἱ ἡνίαι ἀνεθῶσι. Πλάτων δὲ Νόμων ἑνδεκάτῳ· εὗρε μηχανήν, ὅπως ἤθη μὴ ἀνέδην ἀναισχυντίας τε καὶ ἀνελευθέρου ψυχῆς μέτοχα συμβήσεται γίνεσθαι ῥᾳδίως. καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· τῆς δὲ πομπείας ταύτης τῆς ἀνέδην γεγενημένης, ἀντὶ τοῦ ἄγαν. καὶ πολλὴ ἡ τοιαύτη χρῆσις. 15 20

Ἀνεπίκλητος καὶ ἀνεπίκλητον καὶ ἀνεπικλήτως φασί, καὶ ἀνεπικλητότερον εἶπε Ξενοφῶν. χρῶνται δὲ ὁμοίως καὶ τῷ ἀνέγκλητος, ὡς καὶ Δημοσθένης ἐν τῷ πρὸς Ἀλέξανδρον συνθηκῶν ἀνέγκλητον λέγει, καὶ Ξενοφῶν χαλεπὸν εἶπεν ἀνέγκλητον εἶναι, καὶ ἀνεγκλητί Πλάτων εἶπε καὶ Ἰσοκράτης, καὶ ἀνεγκλήτως Ξενοφῶν. 25

Ἀνελήμων καὶ ἀνελεήμων φασί. Νικόχαρις δὲ ἀνηλεήμων λέγει. 30

Ἀνεβάλοντο: ἀνεσχηματίσαντο.

Ἀνεβόησεν οὐράνιον ὅσον: Ἀριστοφάνης. σημαίνει

δὲ τὸ ὑπερβεβηκὸς μεγέθει, ὡς καὶ μέχρι τοῦ οὐρανοῦ ἥκειν.

Ἀνεμεστώθη: ἀνεπληρώθη.

Ἀνέλκειν τὰς ὀφρῦς: μέγα φρονεῖν καὶ ὑπερήφανον.

Ἀνεγείρει καὶ ῥιπίζει τὸν ὄχλον ἢ τὴν πόλιν. καὶ σημαίνει τὸ ἐρεθίζει καὶ ἀνακινεῖ. τὸ μέντοι ῥιπίζειν τῆς τοῦ πυρὸς ῥιπίσεως. 5

Ἄνεμος καὶ ὄλεθρος ἄνθρωπος: πάνυ καινῶς εἴρηται καὶ ἐναργῶς. ἔστι δὲ Εὐπόλιδος. τὸ μὲν γὰρ ἄνεμος δηλοῖ τὸ πανταχοῦ φερόμενον ἀνέμου δίκην καὶ ἀλώμενον καὶ ἀβέβαιον, τὸ δὲ ὄλεθρος καὶ ὀλέθρου ἄξιον καὶ ἀπωλείας. χρήσῃ δὲ τῷ λόγῳ, φησὶ Φρύνιχος, ἐν συνουσίᾳ. 10

Ἀνεμιαῖα: τὰ ὑπηνέμια τῶν ὠῶν. κατὰ μεταφορὰν δὲ καὶ οἱ ἄχρηστοι καὶ μάταιοι τῶν λόγων. 15

Ἀνέντατος: Θεόπομπος·

ἄπνους, ἄνευρος, ἀσθενής, ἀνέντατος.

Ἀνεψιαδοῖ Ἀριστοφάνης, καὶ ἀνεψιαδοῦς Φερεκράτης, καὶ Ἕρμιππος ἀνεψιαδοῦν. καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἀγνίου κλήρου παρατίθεται νόμον, ἐν ᾧ γέγραπται· καὶ πενθεροὺς καὶ ἀνεψιαδοῦς. καὶ Λυσίας δέ. λέγεται καὶ ἀνεψιότης. Δημοσθένης καὶ Σόλωνος νόμους παρατίθεται ἐν τῷ περὶ τοῦ Ἀγνίου κλήρου, ἐν οἷς ἐστὶν ἡ ἀνεψιότης. κέχρηται τῇ λέξει καὶ Πλάτων καὶ Ξενοφῶν καὶ Λυσίας. 20 25

Ἀνερεψάμενοι: ἀναρπάσαντες.

Ἀναρεπτομένη: χωριζομένη, ἀναλίσκουσα.

Ἀνέρσει: ἀναρτήσει, κρεμάσει.

Ἀνερμάτιστος ναῦς: κούφη σάβουρος, οὐκ ἔχουσα ἕρμα. 30

Ἀνέσαιμι: ἀναπείσαιμι καὶ παρορμήσαιμι.

Ἀνέσαντες: ἀνακαθίσαντες, ἀναλαβόντες, ἐπιθέντες. καὶ ἀναπείσαντες.

Ἀνεδίαν: τὴν ἄνεσιν. Κρατῖνος.

Ἀνηβητηρίαν: πᾶν ἀνελὼν νεότητος.

Ἄνηβος: ὁ μήπω τὴν ὀφειλομένην ἡλικίαν ἐπιφθάσας. ἡβη γὰρ ἡ ἡλικία.

Ἀνηβῶν: ἀνανεάζων.

Ἀνηγάγοντο: ἀνήχθησαν. καὶ τὰ ἀπ' αὐτοῦ πάντα ὁμοίως. Μένανδρος Ἁλιεῦσιν·

ὡς δὲ τὴν ἄκραν
κάμπτοντες ἡμᾶς εἶδον, ἐμβάντες ταχὺ
ἀνηγάγοντο.

Ἀνηνέχθη: ἀνήνεγκε καὶ ἀνελάμβανεν αὐτόν. Ῥαπιζομένη Μένανδρος.

Ἀνῆκεν: ἀφῆκεν.

Ἀνηκούστησεν: οὐκ ἤκουσεν.

Ἀνεψύχησεν: ὅπερ ἐν τῇ συνηθείᾳ ἀνέψυξεν.

Ἀνήκεστον: ἀνίατον, ἀθεράπευτον.

Ἀνημμένος: ἐξηρτημένος.

Ἀνήνυτος: ἄπρακτος, ἀτέλεστος.

Ἀνήρετο: ἀνέβαλεν.

Ἀνήροτον: ἀγεώργητον.

Ἀνήρηκεν: ἀντὶ τοῦ ἐκποδὼν ἐποιήσατο. Δημοσθένης.

Ἀνηγμένος: ηὐξημένος.

Ἀνηκίδωτοι: ἄνευ ἀκίδος.

Ἀνήχθημεν: ἀνεπλεύσαμεν.

Ἀνῆψεν: ἀνεκρέμασε θεοῖς.

Ἀνήῤῥησεν: ἀνεφθάρη·

ὡς μόλις ἀνήῤῥησ'. οὐδέν ἐσμεν οἱ σαπροί,
Εὔπολις Πόλεσιν.

Ἀνήρτησαν: ἀνεπ[illegible]σαν, ἀνεκαίνισαν.

Ἄνηστις: ἡ νῆστις παρὰ Κρατίνῳ ἐν Διονυσαλεξάνδρῳ·

ἰοὺ γάρ, σύ γε πρῶτος ἄκλητος
φοιτᾷς ἐπὶ δεῖπνον ἀνηστις.

Ἄννηττον: τὸ ἄννηττον ἐν τοῖς δύο νν καὶ δύο ττ.

Ἀνηρώτιζεν: ἀντὶ τοῦ ἀνηρώτα. Τηλεκλείδης.

Ἀνήκει Ἀντιφῶν μὲν ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ ἀνήκω ἀντὶ τοῦ ἀναβέβηκα καὶ προελήλυθα ἔφη. Θουκυδίδης δὲ ἀνήκουσιν ἀντὶ τοῦ τελευτῶσι, λήγουσι. καὶ Δημοσθένης ἀνήκοντα ἀντὶ τοῦ διαφέροντα. 5

Ἀνθέμιον: τὸ χρυσίον τὸ ἐκλεκτόν.

Ἀνθεμόεντα: ἀναθεματικόν, διηνθισμένον, ποικίλον. 10

Ἀνθέξεται: ἀντιλήψεται.

Ἀνθερεών: ὁ ὑπὸ τὸ γένειον τόπος, ἡ λάρυγξ.

Ἀνθέρικες: αἱ τῶν σταχύων προβολαί.

Ἀνθερίκων: ἀνθηρῶν ἢ λαμπρῶν.

Ἀνθερίσκος: ὁ καυλὸς τοῦ ἀσφοδελοῦ. 15

Ἀνθηρημένος: ἀντιλαμβανόμενος.

Ἄνθινον: ἀνθηρόν, βαπτόν.

Ἀνθοσμίας: εὐωδίας. ἢ οἶνος εὐώδης.

Ἀνθ' ὅτου: ἀνθ' οὗ τινός.

Ἀνθεμοῦς: πόλις ἐστὶ Μακεδονική. 20

Ἄνθρηκον: ἄνθους τι γένος.

Ἄνθης: τῆς ἀνθήσεως.

Ἀνθήλιος: ἡ σελήνη καὶ τὸ ἀποσκίασμα τῆς τοῦ ἡλίου ἀνταυγείας. ἐνίοτε δὲ καὶ τὸ μίμημα ἢ ἀντάλλαγμα, ὡς Θεόπομπος. σημανεῖ δὲ καὶ τὰ ἐπισκοτοῦντα τῷ ἡλίῳ νέφη, ἃ καὶ ἀνθήλεια καλεῖται. 25

Ἄνθεια: ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τοῦ θ Ἄντεια γράφουσιν.

Ἀνθεμόκριτος: Ἀθηναῖος μὲν ἦν κήρυξ, ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων, ἀπαγορεύων αὐταῖς τὴν ἱερὰν ὀργάδα μὴ ἐργάζεσθαι. 30

Ἀνθεστηριών: ὄγδοος μήν ἐστι παρὰ Ἀθηναίοις, ἱερὸς Διονύσου. κεκλῆσθαι δὲ αὐτὸν οὕτω διὰ τὸ τὴν

ἄνθην τοῦ βότρυος τούτῳ μάλιστα τῷ μηνὶ γίνεσθαι, καὶ διὰ τὸ πλεῖστα τῶν ἐκ γῆς ἀνθεῖν τότε.

Ἀνθιππασία: ἵππων ἅμιλλα, ἱππικὸς ἀγών.

Ἀνθρήνη: ὃ καὶ ἀνθρήνιον λέγουσι, σφηκὶ παραπλήσιον ἢ μελίσσῃ. λέγουσι δὲ καὶ αὐτὸ τὸ κηρίον αὐτῶν ἀνθρήνιον. 5

Ἀνθίσασθαι μουσικῆς καὶ ἠνθισμένοι μουσικῇ, οἷον ἠθροικότες τὰ ἄνθη τῆς μουσικῆς.

Ἀνθράκιον: βραχὺ τριποδίσκιον παραλεξείδιον.

Ἄνθρωπος πρόδοξος: ὁ πρὶν ἢ σαφῶς ἐξετάσαι δοξάζων. 10

Ἄνθρωπος λυπησίλογος: σημαίνει μὲν ὁ λυπῶν διὰ τοῦ λέγειν τοὺς πέλας. Κρατῖνος.

Ἄνθρωπος Εὔριπος, τύχη Εὔριπος, ὄνομα Εὔριπος: ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων. 15

Ἀνθυπώμοσα: ἀντὶ τοῦ ὑπ . . ὑπωμοσία. οὕτω Δημοσθένης κατὰ Ὀλυμπιοδώρου.

Ἀνθυπουργῆσαι: τὸ ἀνταποδοῦναι χάριν. Σοφοκλῆς Κολχίσιν· 20

ἢ φῆς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν.

Ἄνθροισκα: ἄγρια λάχανα, παραπλήσια ἀνήθοις, οἷα καὶ τὰ μάραν θα.

Ἄνθος: τὸ χρῶμα καὶ τὸ βάμμα τοῦ ἐρίου. Φερεκράτης Δουλοδιδασκάλῳ· 25

ταχὺ τῶν ἐρίων καὶ τῶν ἄνθων τῶν παντοδαπῶν κατάγωμεν.

Ἀνθέων: τὴν γενικὴν ὁμοίως τοῖς Ἴωσιν οἱ Ἀττικοί. Ἑρμιππος Ἀθηνᾶς γοναῖς·

κηροσπάθητον ἀνθέων ὕφασμα καινὸν ὡρῶν, 30

καὶ ἐν τοῖς ἑξῆς·

λεπτοὺς διαψαίρουσα πέπλους, ἀνθέων γέμοντας.

καὶ Ἀρισταγόρας Μαμακύθῳ.

Ἀνιαθείς: λυπηθείς.
Ἀνιαρόν: λυπηρόν.
Ἀνίδρυτοι: ἀστήρικτοι.
Ἀνιείς: ἀφιείς. ἢ παρορμῶν.
Ἀνίδρυτο: Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος. ἀντὶ τοῦ ἀνεξίλαστο. 5
Ἀνιακκάς:
Ἀνιεμένη: ἀνελοῦσα καὶ ἀναχαλῶσα τὸν πέπλον.
Ἀνιέντα: ἐνδόντα.
Ἀνιερώσαντες: ἀναθέντες. 10
Ἀνιμᾶσθαι: ἀντλεῖν, ἀρύεσθαι.
Ἀνιστῇ: ἀντὶ τοῦ ἐφιστῇ.
Ἀνιλλομένη: καθυποκρινομένη. κυρίως δὲ ἀνίλλεσθαι τὸ ἀπαξιοῦν.
Ἀνίστω: ἀντὶ τοῦ ἀνίστασο. οὕτως Ἀμειψίας. 15
Ἀνίπτοις ποσίν: ἀντὶ τοῦ ἑτοίμοις καὶ χωρίς τινος ἐπιμελείας.
Ἀνιπτόποδες: οἱ ἱερεῖς, διὰ τὸ συνεχῶς καὶ ἀδιάλειπτον ὑποδεδέσθαι.
Ἀνιέρειος: ᾧ ἱερεῖα μὴ θύεται. 20
Ἀνίησιν: ἐνδίδωσιν.
Ἀνισοφυές: ἀνόμοιον.
Ἀνιστάμεναι: αἰχμαλωτιζόμεναι.
Ἀνίσχουσαι: ἀναδύουσαι.
Ἀνίσχων: ἀνατέλλων. 25
Ἀνικμώμενα; ταὐτὸ τῷ λικμώμενα, ὡς ἐν Τιμαίῳ Πλάτων.
Ἀνορωρυγμένον, οὐχὶ ἀνωρυγμένον λέγουσι. Μένανδρος·

τὴν ἀνορωρυγμένην ταύτην ἰδών. 30

Ἀνόθευτον: γνήσιον, ἀπαραποίητον.
Ἀνόκαιον: τὸ ὑπερῷον οἴκημα Ξενοφῶν ἐν Κύρου ἀναβάσει. καὶ τὸν κωμῳδοποιὸν οἱ περὶ Ἀντιφάνην.

Ἀνόδοντον: Κοριάννοις Φερεκράτης·
ἀνὴρ γέρων ἀνόδοντος ἀλήθει.
Ἀνοίγει: ἀνοίγει καὶ ἀνοίγνυσι, διχῶς.
Ἀνοπαῖα: ἀνὰ τὴν ὀπήν. οἱ δὲ ὀρνέου γένος.
Ἀνοιγομένοις τοῖς κτήνεσιν: ἀντὶ τοῦ σχιζομένοις. Ἡρόδοτος. 5
Ἀνομβροῦσαι: ἀναβλύζουσαι.
Ἀν' ὅμιλον: κατὰ τὸ πλῆθος.
Ἄνοις: ἀντὶ τοῦ ἀνύοις. Φρύνιχος.
Ἄνοντος: ἀνύοντος. 10
Ἄνοργοι: ἀντὶ τοῦ ἄνευ ὀργῆς. Κρατῖνος.
Ἀνοργίας: ἀμυησίας. ὄργια γὰρ τὰ μυστήρια.
Ἀνοργιάστοις: τῶν μυστηρίων ἀπείροις.
Ἀνοψία: ἀντὶ τοῦ σπάνις ὄψων.
Ἀνόσιον: βεβηλον, μιαρόν, ἀνίερον, ἄθυτον. 15
Ἀνοηστίαν: τὴν ἄνοιαν. Ἀριστοφάνης.
Ἀνορταλίζειν: παίζειν καὶ σκιρτᾶν. λέγουσι δὲ καὶ τὸ ἀναβάλλειν ταῖς χερσὶ τὰ παιδία.
Ἀνοκωχήν, διὰ τοῦ ō, τὴν ἀνοχὴν λέγουσι. πολὺ δέ ἐστι παρὰ Θουκυδίδῃ. 20
Ἀνταναάκλασιν: κατὰ ἀνάκλασιν ἀπό τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ὅταν ἀντηχῇ, καὶ ἐπὶ φωτὸς ἡλιακοῦ, ὅταν λείῳ τινὶ ἢ λαμπροτάτῳ ὕδατι προσπέσῃ.
Ἀντιδιαπλέκειν: τὸ ἐν δίκῃ ἀντιλέγειν. 25
Ἀντίδοσις: τὸ τὴν οὐσίαν δοῦναί τινά τινι εὐπορωτέρῳ πρὸς τὸ τὴν δοθεῖσαν λειτουργίαν, δαπανηρὰν οὖσαν, ἐκεῖνον λειτουργεῖν ἢ οὐκ ἐθέλοντα λειτουργεῖν, καὶ τοῦτο καλεῖται ἀντίδοσις.
Ἀντεπιτίθησιν: ἀντὶ τοῦ ἐπιστέλλει. οὕτως Ἰσαῖος. 30
Ἀντερείδει: ἀντὶ τοῦ οὐχ ὑπείκει.
Ἀντεξάγειν: ἀντιπαρατάττεσθαι, ἀντεξιέναι.

Ἀντερεῖ: ἀντιλέξει.

Ἀντετόρησεν: εἰς τὸ ἐναντίον ἦλθε τιτρώσκων.

Ἀντεφέροντο: ἠναντιοῦντο.

Ἄντλος: ἡ ἀντλία.

Ἀντεύφρασμα: τὸ ἐναντίον τῇ εὐφροσύνῃ ἀγαθῶν. 5

Ἀντεφιλοτιμοῦντο: ἀντὶ τοῦ ἡμιλλῶντο καὶ ἤριζον καὶ ἀντηγωνίζοντο. τοῦτο δὲ τὸ ἀντιφιλοτιμεῖσθαι πρώτης ἐστὶ συζυγίας τῶν περισπωμένων, καὶ μόνον. εἰσὶ δέ τινα ῥήματα, ἃ δύο συζυγιῶν εὑρέθη, οἷον σκηνῶ σκηνᾷς καὶ σκηνοῖς, καὶ ἀτολμῶ ἀτολμεῖς καὶ 10 ἀτολμοῖς.

Ἀντάρης νυκτερὶς ὄψεσίν φησι Σοφοκλῆς.

Ἀνταπαιτῆσαι: ἀπαιτῆσαι. Θουκυδίδης τρίτῳ καὶ τετάρτῳ. καὶ ἀνταποδοῦναι καὶ ἀνταπολαμβάνειν. Δημοσθένης ἐν τῷ κατὰ Λεπτίνου. 15

Ἀντίπαις: ὁ πρόσηβος καὶ ἀνδρόπαις καὶ ὑπὲρ τὴν τοῦ παιδὸς ἡλικίαν.

Ἀντάλλαγον: ἀντάλλαγον καλοῦσι τὸν ἀντὶ ἑτέρου ἠλλαγμένον, οὐχὶ ἄνταλλον. Μένανδρος Κανηφόρῳ·

ἐδεῖτο χρῆσαι τὴν σεαυτῆς θυγατέρα 20
ἀντάλλαγον.

Ἀντιλογιῶν: Θουκυδίδης τετάρτῳ. καὶ ἀντιλογῆσαι Νεφέλαις Ἀριστοφάνης.

Ἀντιβολῆσαι: ἀπαντῆσαι. μετασχεῖν καὶ ἐπιτυχεῖν. καὶ δυςωπῆσαι. 25

Ἀντιβολῶ: ἱκετεύω.

Ἀντιάνειραι: ἴσα δυνάμεναι ἀνδράσιν.

Ἀντιβόλησις: δέησις καὶ ἱκεσία. ἀντὶ τοῦ παράκλησις. Πλάτων ἐν Συμποσίῳ καὶ ἐν τῇ Ἀπολογίᾳ. ὠνόμασται δὲ ἀπὸ τοῦ τὰς χεῖρας προβάλλειν τοῖς ἐναν- 30 τίοις τοὺς ἱκετεύοντας.

Ἀντέχει: ἀντὶ τοῦ ἐξαρκεῖ Δείναρχος. ἀντὶ δὲ τοῦ σώ-

ζεται Δημοσθένης. καὶ Ὑπερίδης ἀντὶ τοῦ ἀντιλαμβάνει.

Ἀντιγράψασθαι: ἀντὶ τοῦ ἀντικατηγορῆσαι, ἐπειδὴ πρῶτος κατηγόρησε Τίμαρχος Αἰσχίνου παραπρεσβείας.

Ἀντεχόμενος: ἀντιλαμβανόμενος. 5

Ἀντιάζει: ἐναντιοῦται.

Ἀντικάθηται: ἀντὶ τοῦ ἐναντιοῦται.

Ἀντιδιαστέλλεται: ἀντιδιίστησιν.

Ἀντίκρισις: ἀντὶ τοῦ ἀπόκρισις. οὕτως Ἀναξίλας.

Ἀντιλέγειν: ἀντὶ τοῦ τὰ ἴσα λέγειν. Πλάτων. 10

Ἀντίληψις: ἀντὶ τοῦ ἐπίληψις. Πλάτων.

Ἀντίῤῥοπον: ἰσόῤῥοπον.

Ἀντίτυπους: σκληροὺς καὶ ἀνενδότους, μεταφορικῶς ἀπὸ τοῦ ἄκμονος καὶ τῆς σφύρας·

καὶ τύπος ἀντίτυπος, 15

φησὶν ὁ χρησμός.

Ἀντιτυπία: ἐναντίωσις, σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος.

Ἀντιτυπῆσαι: ἀντιπαθῆσαι.

Ἀντιπαρεξάγειν: ἀντιτάσσειν. 20

Ἀντιπεπονθότως: ἀντικειμένως, ἐναντίως.

Ἀντίπαλον: σημαίνει τρία, τὸ ἐναντίον καὶ τὸ ἰσόπαλον καὶ τὸ ἰσόστροφον.

Ἀντιπροκλήσεις: ἀντιλογίας, ἀντεγκλήματα.

Ἀντιστρόφους: ἀντὶ τοῦ ἰσοστρόφους. 25

Ἀντιτορήσας: διατρήσας, τοιχωρυχήσας.

Ἀντικρύ: σημαίνει τὸ κατ' ἐναντίας καὶ ἐξ ἐναντίας καὶ κατ' εὐθύ. σημαίνει καὶ τὸ ταχέως καὶ ὁλοσχερῶς.

Ἀντικρυς: μετὰ τοῦ σ̄ λεγόμενον σημαίνει τὸ διόλου ἢ παντελῶς ἢ φανερῶς, ἐπ' εὐθείας καὶ ἰσχυρῶς· χωρὶς 30 δὲ τοῦ σ̄ λεγόμενον, ἀντικρύ, τὸ κατέναντι μόνον καὶ ἐξ ἐναντίας.

Ἀντιφέρονται: ἐναντιοῦνται.

Ἀντιφιλοτιμεῖ: ἀντιθεραπεύει.
Ἀντόμενοι: συμβάλλοντες.
Ἀντιφῇς: ἀντὶ τοῦ ἀντιλέγεις.
Ἄντρα νύχια: σκοτεινὰ σπήλαια.
Ἀντρώδη: σπηλαιώδη.
Ἄντυγες: περιφέρεια τοῦ ἅρματος.
Ἀντωπεῖ: ἀντοφθαλμεῖ.
Ἀντωπός: ὁ ἀντιβλέπων.
Ἀντιοχίς: ὄνομα φυλῆς.
Ἀντίχορδάς: σύμφωνος.
Ἀντρῶνες: πόλις ἐν Θετταλίᾳ.
Ἀντωμοσία: γραφὴ κατά τινος ἔνορκος περὶ ὧν ἠδικῆσθαί φησι. διωμοσία δὲ ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν διαδικαζομένων, τοῦ μὲν ὡς πράξαντα διώκει, τοῦ δὲ ὡς οὐκ ἔπραξεν. ἐξωμοσία δὲ ἄρνησις σὺν ὅρκῳ ὡς ἀδυνατοῦντος ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν.
Ἀντωμοσία: γράμματά τινα γράψαντες, περὶ ὧν ἡ δίκη, ὅ τε κατηγορούμενος καὶ ὁ κατηγορῶν ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὁ μὲν τἀληθῆ κατηγορήσειν, ὁ δὲ τἀληθῆ ἀπολογήσεσθαι.
Ἀντωμοσία: ἀντωμοσία μὲν ἡ τοῦ ἀντιδίκου, ὑπωμοσία δὲ οἷον ἄν τις σκήπτηται κάμνειν ἤ τι τοιοῦτον. παράστασις δὲ ἡ διδομένη τῷ γράμματι δι᾽ οὗ ἐν ᾧ τὸ ἔγκλημα γέγραπται, ὅπως ἐγγραφῇ εἰς τὰ ἐγκλήματα. πρυτάνεια δέ, ὃ τῷ ταμίᾳ καταβάλλει ἕκαστος, ὅπως εἰσαχθῇ ἡ δίκη. λέγεται δὲ καὶ χρόνος τις Ἀθήνησιν ὡς ἂν ὁ μηνιαῖος, ὃν ἐπρυτάνευον αἱ φυλαί.
Ἀντιάτας: τοὺς ἀπὸ Ἀντίου πόλεως, ἣ ἀπέχει Ῥώμης τριακοσίους σταδίους.
Ἀντιβληθέντος ἀντὶ τοῦ ὑπαγορευθέντος Δείναρχος λέγει.

Ἀντιγενίδας: ἐνδοξότατος γέγονεν αὐλητής, υἱὸς Διονύσου.

Ἀντιγραφεύς: ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος. ἀλλὰ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δύο δὲ ἦσαν, ὁ μὲν τῆς διοικήσεως, ὁ δὲ τῆς βουλῆς. 5

Ἀντιγραφή: ἰδίως μὲν ἡ τῶν κατηγοριῶν ἀντιδικασία, ἐπειδάν τις ἄπαιδός τινος τελευτήσαντος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον. κυρίως δέ ἐστιν ἀντιγραφὴ ἐν ταῖς δημοσίαις δίκαις τὰ τῶν δικαζομένων περὶ τοῦ πράγματος γράμματα, τοῦ τε διώκοντός φημι καὶ τοῦ φεύγοντος. 10

Ἀντίθετον: τὸ σχῆμα τῆς φράσεως, ὡς ἡμεῖς, Ἀριστοφάνης Θεσμοφοριαζούσαις· 15

καὶ κατ' Ἀγάθων' ἀντίθετον ἐξευρημένον.

Ἀντίθεσις: σχῆμα λέξεώς ἐστι, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία ἢ κατὰ μέρος ἢ ἀθρόα. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ.

Ἀντίθετον: εἶδος σχήματος ῥητορικοῦ, διαφόρως ποικιλλόμενον. ὁ μέντοι Αἰσχίνης οὐκ ἐπὶ σχήματος εἶπε τὸ ἀντίθετον, ἀλλ' ὅτι διήγημα διηγήματι ὁ Δημοσθένης ἀντέθηκε, τοῖς περὶ τὴν Ὀλυνθίαν γυναῖκα Σάτυρον τὸν ὑποκριτήν, καὶ ὅσα παρὰ Φιλίππου σώματα αἰχμάλωτα λυσάμενος καὶ προῖκας αὐτοῖς ἐπιδέδωκεν. 20 25

Ἀντίκυρα: ὄνομα χώρας τινός.

Ἄντισσα: μία πόλις τῶν ἐν Λέσβῳ.

Ἀνταλαῖος: ἰχθύς, ὡς πάνης καὶ σαπέρδης.

Ἀνταλλαῖος: ἀντὶ τοῦ ἄνταλλος. 30

Ἀνταναγνῶναι: οὐκ ἀντιβάλλειν. οὕτω Κρατῖνος.

Ἀντεγράψατο: ἀντεδικάσατο. καὶ ἀντιγραφαὶ καὶ ἀντωμοσίαι σχεδὸν αἱ αὐταί.

Ἀντήλιος: ἡ ἀνακλωμένη ἀπὸ τοῦ ἡλίου αὐγή. ἔστι δὲ ἐν Χαλκείοις Μενάνδρου τοὔνομα. Ἀριστοτέλης δὲ παρήλιον ὀνομάζει. γίνεται δὲ περί τε δυσμὰς καὶ ἀνατολάς, καὶ οὔτε ἄνωθεν οὔτε κάτωθεν οὔτε ἐκ πλαγίου. 5

Ἀντηρέτης: ὁ ἀντικαθεζόμενος τῷ ἐλαύνοντι.

Ἀντιφερίζειν: ἐξισοῦσθαι.

Ἀντλητήρ: κάδος. ἀντλητὴρ δὲ ὁ ναυτικός.

Ἀντλία: ὅπου τὸ ὕδωρ τὸ ἐν τῷ πλοίῳ γινόμενον ἀπαντλοῦσιν εἰς θάλασσαν. καὶ νῦν ὁ καλούμενος 10 καδίσκος.

Ἀντλιαντλητῆρα: Μένανδρος Μεσσηνίᾳ·

οἱ δ' ἁρπάσαντες τοὺς κάδους τοὺς στρογγύλους,
ὕδρευον ἀνδρειότατα κηπ . . . πάλιν.
ἠντλουν λέγειν δεῖ, καὶ κάδους οὐ δεῖ λέγειν, 15
ἀλλ' ἀντλιαντλητῆρας.

Ἀριστοφάνης δὲ Προαγῶνι καὶ Ἐπίλυκος Κοραλίσκῳ τὸ αὐτὸ τοῦτο ἀντλίον κεκλήκασιν.

Ἄντλιον: ὑπάντλιον.

Ἀντλία: χαλεπή, προσαντής. 20

Ἀνυπαίτιος: ἀναίτιος.

Ἀνυπόβλητον: προῦχον.

Ἀνύποιστον: ἀβάστακτον.

Ἀνύσαι: δασέως, τὸ σπεῦσαι καὶ συντελέσαι.

Ἀνυπόστατον: ἀντὶ τοῦ ἀφόρητον. 25

Ἀνυσίμως: ἐνεργῶς, πρακτικῶς, τελείως. καὶ ἀνύτουσι τελοῦσιν, ἀνύουσιν.

Ἀνύττειν οἱ Ἀττικοί, ὅπερ ἡμεῖς· ἀνύειν δὲ τὸ σπεύδειν. δασεῖα δὲ ἡ πρώτη. Ὅμηρος δὲ τὸ ἀνύειν ὡς ἡμεῖς, οἷον 30

οὐκ ἀνύω φθονέουσα.

Ἀνυδρεύσασθαι: ἀντλῆσαι ὕδωρ·

κατάχεον αὐτῆς, κἀνύδρευσαι τὸν κάδον,
Κοριάννοις Φερεκράτης.

Ἀνυπόδητος: ἐν τῷ η̄ λέγεται, οὐχὶ ἀνυπόδετος.

Ἄνω καὶ κάτω:

Ἀνῴμωξεν: ἐστέναξεν. 5

Ἀνώνητον: ἀνωφελές.

Ἀνωρθρίαζον: Ἀνδοκίδης ἀντὶ τοῦ ὄρθριοι βοῶντες ἔλεγον.

Ἄξιος λαβεῖν ὁ μισθός: τοῦτο τῶν εἰς κάλλος ἠσκημένων σημαίνει δέ τι τοιόνδε· ἄξιός ἐστὶν ὁ μισθὸς 10 ὥστε λαμβάνειν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ. Ὅμηρος δὲ πρῶτος ἐχρήσατο τῷ σχήματι τούτῳ·

ῥηΐτεροι γὰρ . . . . . ἔσεσθε
κείνου τεθνηῶτος ἐναιρέμεν·

καὶ πάλιν· 15

ἡ δὲ μάλ' ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῇ.

καὶ Σοφοκλῆς·

γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός. 20

ὁ δὲ νοῦς· ῥᾷον ἄν τις φυλάξαιτο τὸν ὀξύθυμον ἢ τὸν κρύπτοντα διὰ σιγῆς τὴν ὀργήν.

Ἄξιον: ἐπὶ τοῦ δικαίου τέτακται.

Ἀξιάγαστος: ἀξιοθαύμαστος, ἀξιόχρεως.

Ἀξιέραστον: ἄξιον ἐρασμοῦ, ἐπέραστον. 25

Ἀξιῶν: ἀντὶ τοῦ νομίζων, ὑπολαμβάνων. Λυσίας καὶ Πλάτων.

Ἀξιοῖ: Ἀντιφῶν καὶ Λυσίας ἀντὶ τοῦ νομίζει.

Ἀξιόχρεως: ἱκανός, ἐχέγγυος.

Ἀξιόχρεων ἐν τῷ ω̄ λέγουσι, καὶ λιπόνεων. καὶ τὰ 30 οὐδέτερα· οἱ γὰρ παλαιοὶ ὁμοίως. τὸ δὲ ἀξιόχρεον βάρβαρον.

Ἄξω: ἄξω καὶ ἐνταῦθα καὶ ἐκεῖσε, ἀπάξω δὲ τὸ ὀπίσω ἄξω.

Ἀξιόπιστος οὐχὶ ὁ κατάπλαστος λέγεται ὑπὸ τῶν παλαιῶν καὶ τερατείᾳ χρώμενος, ἀλλ' ὁ πιστὸς καὶ δόκιμος καὶ ἀξιόχρεως. 5

Ἀξίοχος: Αἰσχίνῃ τῷ Σωκρατικῷ διάλογος ἐγράφη, Ἀξίοχος καλούμενος.

Ἄξιος οὐδὲ μόνου: ἀντὶ τοῦ οὐδενός. ἔστι δὲ ἀπὸ τῶν κύβων εἰρημένον.

Ἀξυνεσία: Θουκυδίδης τρίτῳ. 10

Ἀξύλῳ: πολυξύλῳ.

Ἀξιαπηγητότατον: ἀξιολογώτατον.

Ἀξύμβλητον: ὥστε μηδενὶ ἀπαντῆσαι. Σοφοκλῆς.

ἄπλαστον, ἀξύμβλητον ἐξεθρεψάμην.

Ἄξονες: ξύλα τετράγωνα ἦν, ἀπὸ τοῦ ἐδάφους μέχρι τοῦ ὀρόφου διήκοντα, καὶ διά τινος περόνης στρεφόμενα, ἐφ' ὧν οἱ Σόλωνος νόμοι ἀνεγράφοντο. μέμνηται δὲ τῆς λέξεως Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. λέγονται δὲ καὶ ἐν τοῖς μαθήμασιν ἄξονες, περὶ οὓς σφαῖραι καὶ κύλινδροι καὶ τὰ τοιαῦτα καὶ στρέφονται καὶ συνίστανται. καὶ τῶν ἁμαξῶν δὲ οἷς οἱ τροχοὶ συνεχόμενοι περιστρέφονται. 15 20

Ἀοιδή: ᾠδή.

Ἀοίδιμος: ὑμνητός.

Ἀοιδός: ποιητής. 25

Ἀολλεῖ: ποιεῖ, συνάγει.

Ἀολλίσασα: ἀθροίσασα.

Ἄορι: τῷ ξίφει.

Ἄοινος: ἐπὶ τῶν μὴ γεγυμνασμένων οἴνῳ, καὶ ἐπὶ τῶν μὴ ἐχόντων. 30

Ἄοζος: ὑπηρέτης, διάκονος.

Ἄορνος λιμήν: περὶ Τυρσηνίαν. φησὶ δὲ καὶ ἐν Κύμῃ τῇ Χαλκιδικῇ Ἄορνον λίμνην εἶναι, περιπεφυκό-

των δὲ πολλῶν δένδρων μηδὲν εἰς αὐτὴν ἐμπίπτειν τῶν ἀποπιπτόντων φύλλων. εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν τῇ Τυρσηνίᾳ λίμνῃ Σοφοκλῆς ἱστορεῖ.

Ἀορτήν: λέγουσιν οἱ πολλοὶ νῦν ἀβεντήν. Μακεδονικὸν δὲ καὶ τὸ σκεῦος καὶ τὸ ὄνομα.

Ἄοπτα Ἀντιφῶν ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα μέν, δόξαντα δὲ ὁρᾶσθαι.

Ἀπάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι: τούτων ἕκαστον ἐπὶ τῶν ἑτέρους κατηγορούντων λέγεται. ἀλλ' ἐὰν μὲν πρὸς διαιτητὴν ἡ δικασία γίνηται, καλεῖται δικάζεσθαι.

Ἄπαγε: παῦσαι, μὴ γενοιτο.

Ἄπαγε: ἀντὶ τοῦ χρῶ τῇ ἀπαγωγῇ. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος. ἔστι δὲ δίκης εἶδος.

Ἀπάγου: ἀντὶ τοῦ πρὸς σαυτὸν ἄπαγε. Εὐριπίδης.

Ἀπαγορεύει: ἀποτρέπεται, ἀρνεῖται.

Ἀπαγωγάς: αἰχμαλωσίας. ἢ ἀδυναστείας.

Ἀπαγορεύειν: ἀντὶ τοῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν.

Ἀπαγωγή: μήνυσίς ἐστιν ἔγγραφος, διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν ὁδεῖνα. ἀπάγειν καὶ ἀπάγεσθαι τὸν κακοῦργον. ἀπήγοντο δὲ εἰς τὸ δεσμωτήριον πρὸς τοὺς ἕνδεκα.

Ἀπαγωγή: δίκης ἐστὶν εἶδος, ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ἕνδεκα. λέγεται δὲ ἀπαγωγὴ καὶ ἡ αἰχμαλωσία, καὶ ἡ τινος κομιδή, οἷον ἡ ἀγωγή.

Ἀπᾷδον: οὐ συνᾷδον.

Ἀπαθῆ: τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη.

Ἀπάλλεις: ἀποπέμπεις.

Ἀπάλαμνος: ἄπειρος.

Ἀπαλλάξωμεν: ἀντὶ τοῦ ἀφανίσωμεν. Ξενοφῶν· τῶν ἄλλων σκευῶν τὰ περισσὰ ἀπαλλάξωμεν.

Ἀπαλ-

Ἀπαλλάξας: ἀντὶ τοῦ πείσας ἀποστῆναι. Κρατῖνος καὶ Δημοσθένης καὶ ἄλλοι.

Ἀπαλεξῆσαι: κωλῦσαι.

Ἀπαλέξοντες: κωλύσοντες.

Ἀπαμυνεῖ: ἀποτρέψει. 5

Ἀπαμβλύνει: ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως.

Ἀπαμφιέσαντες: ἐκδύσαντες.

Ἀπαμφιεῖ: ἀποκαλύψει. Μισουμένῳ·

ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτο μὲν
καὶ λανθάνειν βουλόμενον ἢ μέθη ποτέ. 10

Ἀπαμφίσκων: ἀποκαλύπτων.

Ἀπανάστασις: ἀποικία, μετάστασις.

Ἀπαξαπλῶς:

Ἀπάξω: ἐκεῖθεν ἄξω.

Ἀπαξάπαντα: οὐδὲν πλέον σημαίνει τὸ ἅπαξ προς- 15
κείμενον.

Ἀπαράβλητος: ἀσύγκριτος, ἀνόμοιος.

Ἀπαραπόδιστα: ἀπλανῆ.

Ἀπαραποίητον: ἄπλαστον.

Ἀπάρσιμον: ἀσινῆ. 20

Ἀπαστία: ἀτροφία.

Ἀπαρτίαν: ἀποσκευήν, τέλος ἀπαρτισμοῦ.

Ἀπάρχου: ἀρχὴν λάβε. ἢ ἀπαρχὰς πρόσφερε.

Ἄπαστος: ἄγευστος, οἷον ἄμαστος, ἀμάσητος.

Ἀπατηλός: ἀπατητικός. 25

Ἀπατήσει: ἀντὶ τοῦ παραλογιεῖται. Τηλεκλείδης.

Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις:
ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.

Ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι: οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης· 30

ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι
πάντ' ἀπ' ἀκροφυσίων καὶ τῶν ἀποκινναβευμάτων.

των δὲ πολλῶν δένδρων μηδὲν εἰς αὐτὴν ἐμπίπτειν τῶν ἀποπιπτόντων φύλλων. εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν τῇ Τυρσηνίᾳ λίμνῃ Σοφοκλῆς ἱστορεῖ.

Ἀορτήν: λέγουσιν οἱ πολλοὶ νῦν ἀβεντήν. Μακεδονικὸν δὲ καὶ τὸ σκεῦος καὶ τὸ ὄνομα. 5

Ἄοπτα Ἀντιφῶν ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα μέν, δόξαντα δὲ ὁρᾶσθαι.

Ἀπάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι: τούτων ἕκαστον ἐπὶ τῶν ἑτέρους κατηγορούντων λέγεται. ἀλλ' ἐὰν μὲν πρὸς διαιτητὴν ἡ δικασία γίνηται, καλεῖται δικάζεσθαι. 10

Ἄπαγε: παῦσαι, μὴ γενοιτο.

Ἄπαγε: ἀντὶ τοῦ χρῶ τῇ ἀπαγωγῇ. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος. ἔστι δὲ δίκης εἶδος.

Ἀπάγου: ἀντὶ τοῦ πρὸς σαυτὸν ἄπαγε. Εὐριπίδης. 15

Ἀπαγορεύει: ἀποτρέπεται, ἀρνεῖται.

Ἀπαγωγάς: αἰχμαλωσίας. ἢ ἀδυναστείας.

Ἀπαγορεύειν: ἀντὶ τοῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν.

Ἀπαγωγή: μήνυσίς ἐστιν ἔγγραφος, διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν ὁδεῖνα. ἀπάγειν καὶ ἀπάγεσθαι τὸν κακοῦργον. ἀπήγοντο δὲ εἰς τὸ δεσμωτήριον πρὸς τοὺς ἕνδεκα. 20

Ἀπαγωγή: δίκης ἐστὶν εἶδος, ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ἕνδεκα. λέγεται δὲ ἀπαγωγὴ καὶ ἡ αἰχμαλωσία, καὶ ἥ τινος κομιδή, οἷον ἡ ἀγωγή. 25

Ἀπᾷδον: οὐ συνᾷδον.

Ἀπαθῆ: τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη.

Ἀπάλλεις: ἀποπέμπεις.

Ἀπάλαμνος: ἄπειρος. 30

Ἀπαλλάξωμεν: ἀντὶ τοῦ ἀφανίσωμεν. Ξενοφῶν· τῶν ἄλλων σκευῶν τὰ περισσὰ ἀπαλλάξωμεν.

Ἀπαλ-

Ἀπαλλάξας: ἀντὶ τοῦ πείσας ἀποστῆναι. Κρατῖνος καὶ Δημοσθένης καὶ ἄλλοι.

Ἀπαλεξῆσαι: κωλῦσαι.

Ἀπαλέξοντες: κωλύσοντες.

Ἀπαμυνεῖ: ἀποτρέψει. 5

Ἀπαμβλύνει: ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως.

Ἀπαμφιέσαντες: ἐκδύσαντες.

Ἀπαμφιεῖ: ἀποκαλύψει. Μισουμένῳ·

ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτο μὲν
καὶ λανθάνειν βουλόμενον ἢ μέθη ποτέ. 10

Ἀπαμφίσκων: ἀποκαλύπτων.

Ἀπανάστασις: ἀποικία, μετάστασις.

Ἀπαξάπλως:

Ἀπάξω: ἐκεῖθεν ἄξω.

Ἀπαξάπαντα: οὐδὲν πλέον σημαίνει τὸ ἅπαξ προς- 15
κείμενον.

Ἀπαράβλητος: ἀσύγκριτος, ἀνόμοιος.

Ἀπαραπόδιστα: ἀπλανῆ.

Ἀπαραπολίητον: ἄπλαστον.

Ἀπάρσιμον: ἀσινῆ. 20

Ἀπαστία: ἀτροφία.

Ἀπαρτίαν: ἀποσκευήν, τέλος ἀπαρτισμοῦ.

Ἀπάρχου: ἀρχὴν λάβε. ἢ ἀπαρχὰς πρόσφερε.

Ἄπαστος: ἄγευστος, οἷον ἄμαστος, ἀμάσητος.

Ἀπατηλός: ἀπατητικός. 25

Ἀπατήσει: ἀντὶ τοῦ παραλογιεῖται. Τηλεκλείδης.

Ἀπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις:
ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.

Ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι: οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης· 30

ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι
πάντ' ἀπ' ἀκροφυσίων καὶ τῶν ἀποκινναβευμάτων.

λέγει γὰρ διὰ μὲν τοῦ ἀπ' ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρός, διὰ δὲ τοῦ ἀπὸ κινναβευμάτων οἷον καινῶς πεπλασμένα καὶ διάθεσιν ἔχοντα. κίνναβος γὰρ τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. κέχρηνται πολλοί. 5

Ἅπανθ' ὅμοια, καὶ Ῥοδῶπις ἡ καλή: σημαίνει ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί.

Ἀπαντᾷν: τὸ παραγίνεσθαι εἴς τινα τόπον. ἀπαντᾷν δὲ καὶ συναντᾷν λέγουσιν, ἑκατέρως. 10

Ἅπαν: οἱ μὲν Ἴωνες συστέλλουσι καὶ οὐ ποιηταί, οἷον

τῶν δ' ἅπαν ἐπλήσθη πεδίον.

καὶ οἱ Ἀττικοὶ ἐκτείνουσι τὴν ὑστέραν. καὶ τὸ παράπαν ὁμοίως, καὶ ἅπαντα τὰ τοιαῦτα.

Ἀπαρτιλογία: ὁ ἀπηρτισμένος ἀριθμὸς καὶ λόγος. 15 Ἡρόδοτος ἑβδόμῳ· λέγει δὲ Ξέρξης πρὸς Πύθιον τὸν Λυδόν· ἵνα μή τοι ἐπιδέες ὦσιν αἱ τετρακόσιαι μυριάδες ἑπτὰ χιλιάδων, ἀλλὰ ἦ τοι ἀπαρτιλογία ὑπ' ἐμέο πεπληρωμένη.

Ἀπαρτιλογία: ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης 20 ἀριθμός. οὕτω Λυσίας καὶ Ἡρόδοτος.

Ἀπάρχεσθαι: τὸ τοῖς ἀγύρταις ἀργύριον ἐμβάλλειν.

Ἀπατούρια: ἑορτὴ Ἀθήναις ἀγομένη Διονύσῳ. Βοιωτῶν μαχομένων Ἀθηναίοις ἐπὶ χώρας Οἰνόης καὶ Μέλαι- 25 νῶν, Ξάνθου τοῦ Βοιωτοῦ ἡγεμόνος προκαλεσαμένου εἰς μονομαχίαν Θυμοίτην Ἀθηναίων βασιλέα, καὶ τούτου μὴ ὑπομείναντος, Μέλανθος, ὁ Κόδρου πατήρ, ἐπὶ ὁμολογίᾳ τῆς βασιλείας ὑπέστη. εὐξάμενός τε Διὶ ἀπατηνορίῳ, ὡς δέ τινες Διονύσῳ, καὶ τοὺς Ἀθηναίους κε- 30 λεύσας Διὶ ἀπατηνορίῳ θύειν, προσιόντι τῷ Ξάνθῳ ἔφη οὐ δίκαια ποιεῖν· δεύτερον γὰρ εἶναι, μόνον μονο-

μαχῆσαι προκαλεσάμενον. ἐπιστραφέντα δ' ἐκεῖνον ὁ Μέλανθος λαβὼν ἀποκτείνει. καὶ διὰ τοῦτο τὴν ἑορτὴν ἐνομοθέτησεν ἄγεσθαι, ἣν καὶ κατ' Ἰωνίαν συντελοῦσιν. Ἤγετο δὲ τὰ Ἀπατούρια ἐπὶ ἡμέρας τρεῖς, καὶ ἐκαλεῖτο ἡ μὲν πρώτη, ἐν ᾗ συνδειπνοῦσι μόνον, δορπία· ἡ δὲ δευτέρα, ἐν ᾗ θύουσιν, ἀνάρυσις· τὸ γὰρ θύειν ἀναρύειν καὶ τὸ θύμα ἀνάρυμα ἐλέγετο, ἐπεὶ οἱ ἀρχαῖοι ἀνακλῶντες τὰ ἱερεῖα καὶ ἄνω ἀναρύοντες ἔθυον. διὸ καὶ Ὅμηρος·

αὐέρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν.

καὶ τὸ ἐν Ἀρείῳ δὲ πάγῳ ἐπίθυμα ἐπαυάρυμα καλεῖται. ἡ δὲ τρίτη ἡμέρα κουρεῶτις λέγεται· ἐν ταύτῃ γὰρ τοὺς κούρους εἰςάγουσι καὶ συνιστᾶσι τοῖς συγγενέσι καὶ γνωρίμοις, εἶτα τρέφοντες εἰς τὴν πολιτείαν εἰς τοὺς φράτορας ἐνέγραφον. φρατρία δὲ τὸ τρίτον μέρος τῆς φυλῆς καὶ τριτύς· καὶ οἱ συννεμόμενοι αὐτὴν φράτορες, ἐν Τιμαίῳ· ἣν μὲν γὰρ δὴ Κριτίας, ὡς ἔφη, σχεδὸν ἐγγὺς τῶν ἐνενήκοντα ἐτῶν, ἐγὼ δὲ ἣν μάλιστα δεκέτης· ἡ δὲ κουρεῶτις ἡμῖν ἐτύγχανεν Ἀπατουρίων. καὶ Ἐπίχαρμος δέ πού φησι·

θωσουμεθα ὁ Ζεὺς εναρύει.

Ἀπατούρια: ἑορτή ἐστι παρὰ Ἀθηναίοις Πυανεψιῶνι τελουμένη ἐπὶ ἡμέρας τρεῖς. ἐκλήθη δὲ οὕτω διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην τῆς Μελανίας χώρας. πολεμούντων γὰρ τῶν Ἀθηναίων πρὸς Βοιωτούς, Μέλανθος ὁ τῶν Ἀθηναίων βασιλεὺς Ξάνθῳ τῷ Θηβαίῳ μονομαχῶν, ἀπατήσας ἀπέκτεινεν οὕτως . . γάρ ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθε τοῦ Ξανθίου. καὶ ὁ Μελάνθιος ἀνεβόησεν ἀδικεῖν αὐτόν, δεύτερον συνεπαγόμενον. ὁ δὲ ἐπεστράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια καὶ ἡ Διονύσου μέλαινα αἰγίδος ισαντο βωμοῦ.

Ἅπασαν τὴν οὐσίαν ἠμφίαστται: ἐπὶ τῶν μηδ᾽ ὁτιοῦν ἄλλο κεκτημένων ἢ ὅπερ ἀμπίσχεται.

Ἀπαριθμῶν: ἀντὶ τοῦ ἀποπληρῶν ἀριθμοῦ. Ἰσοκράτης.

Ἀπασκαρίζειν: 5

Ἀπάλαμνον: ἀμήχανον. οὕτως Ἀντιφῶν.

Ἀπαλάμνως: ἀβούλως καὶ ὡς ἀσυνέτως.

Ἀπαμβράκου: καρτέρει. λέγεται δὲ πρὸς ὠδίνουσαν γυναῖκα. οἱ δὲ ἀνδρίζου. ἄλλοι φυλάττου.

Ἀπάργματα: ἀπαρχαὶ καὶ μερίδες θεῶν. 10

Ἀπαρθένευτος: ἀκέραιος, καθαρός.

Ἀπηρτισμένως: ἀκριβῶς.

. . . . κυρίως δὲ ἡ δυναμένη μετακομίζεσθαι κτῆσις καὶ περιουσία. ἐφ᾽ ἧς καὶ τὰ ἔπιπλα λέγεται.

Ἀπαρτί: παρ᾽ Ἡροδότῳ σημαίνει τὸ ἀπηρτισμένως 15 καὶ ἀκριβῶς· ἀπὸ τούτου εἰσὶ στάδιοι χίλιοι ἀπαρτὶ εἰς τὸν Ἀραβικὸν κόλπον. παρὰ δὲ τοῖς κωμικοῖς τὸ ἐκ τοῦ ἐναντίου. Φερεκράτης Κραταπάλλοις

τί δαί; τις αὐτὸν ἀποτείνει τὸ δ᾽ ἀξιοῖς; φράσον μοι. 20

ἀπαρτὶ δή που προσλαβεῖν παρὰ τοῦδ᾽ ἔγωγε μᾶλλον.

Κοριάννοις·

ἀπαρτὶ μὲν οὖν ἐμοὶ μὲν εἰκός ἐστ᾽ ἐρᾷν, 25
σοὶ δ᾽ οὐκέθ᾽ ὥρα.

Πλάτων Κλεοφῶντι·

ἀλλ᾽ αὖτ᾽ ἀπαρτὶ τἀλλότρι᾽ οἰχήσει φέρων.

τάχα δὲ ὁ Τηλεκλείδης ὁμοίως τῷ Ἡροδότῳ κέχρηται·

σὺ δὲ φρόνιμος αὐτὸς ὢν 30
ἀπαρτὶ ταύτης τῆς τέχνης.

μή ποτ᾽ οὖν τὸ μὲν πλῆρες καὶ ἀπηρτισμένον ὅταν σημαίνῃ, ὀξυτονεῖται, τὸ δὲ ἐναντίον βαρύνεται.

Ἀπαχθῆναι: ἀπενεχθῆναι, ἀναιρεθῆναι.
Ἀπαυτομολῆσαι: ἀναχωρῆσαι.
Ἀπαυδῶ: ἀπαγορεύω, ἀπολέγομαι.
Ἀπαυθαδιάζοντας: μεγαλοφρονοῦντας.
Ἀπαυτοματισθεῖσα: οὐκ ἀφ' ἑαυτῆς τελειωθεῖσα. 5
Ἀπαυχενίζειν: ἀφηνιᾶν, ἀτακτεῖν.
Ἀπεβίω: ἀπέθανεν.
Ἀπαίδευτοι: ἀντὶ τοῦ ἀνόητοι.
Ἀπαιδοτρίβητοι: ἀγύμναστοι.
Ἀπαιδία: ἡλικίας ἐλάσσονι χρόνῳ τοῦ συμπληροῦντος 10
τὸν παῖδα.
Ἀπαιόλη: ἀπάτη ἢ ἀποστέρησις.
Ἀπαιόλημα: ἀποπλάνημα, ἀποκάθαρμα, ἢ θεόν τι-
νὰ ἀπατητικόν.
Ἀπ' αἰγείρου θέα καὶ παρ' αἴγειρον: ἢ ἀπὸ τῶν 15
ἐσχάτων. αἴγειρος γὰρ ἐπάνω ἦν τοῦ θεάτρου, ἀφ' ἧς
οἱ μὴ ἔχοντες τόπον ἐθεώρουν.
Ἀπεγένετο: ἀντὶ τοῦ ἀπέθανεν. οὕτως Ἀντιφῶν καὶ
Θουκυδίδης.
Ἀπέδοξεν: ἀντὶ τοῦ οὐκ ἔδοξεν. 20
Ἀπέδειξεν: ἀντὶ τοῦ παρέδωκεν. Ξενοφῶν.
Ἀπέδοτο: ἐκδέδωκε, παρέδωκεν.
Ἀπεγνωκώς: ἀντὶ τοῦ ἀποδοκιμάσας. Δημοσθένης.
Ἀπέγνωσαν: τὸ ἐναντίον τῷ κατέγνωσαν.
Ἀπέδοσθε: ἀπημπολήσατε. 25
Ἀπεδημηκότες: Ἕρμιππος Φορμοφόροις.
Ἄπεδον: τὸ ἰσόπεδον καὶ τὸ ὁμαλόν. Θουκυδίδης. τὰ
ἰσόπεδα. Κλείδημος· καὶ ἠπέδιζον τὴν ἀκρόπο-
λιν, περιέβαλλον δὲ ἐκνεάπυλον τὸ Πελαρ-
γικόν. 30
Ἀπέδρα, καὶ τὸ πρῶτον πρόσωπον ἀπέδραν.
τί οὐκ ἐπανεχώρησα δεῦρο; κἀπέδραν;

Φερεκράτης Ἴπνῳ. Μένανδρος Θετταλοῖς·
εἶτ' ἀπέδραν μόνος.

Ἀπεθέρισεν: ἀπέκειρεν.

Ἀπεκομίσθη: ἀπηνέχθη.

Ἀπεικός: ἄτοπον, ἀπρεπές.

Ἄπει: ἀντὶ τοῦ ἀπελεύσῃ. Σοφοκλῆς.

Ἀπειλῶν: καυχώμενος.

Ἀπειργάσθαι ἀντὶ τοῦ ἀποδεδεῖχθαι. Ξενοφῶν.

Ἀπείργων: κωλύων.

Ἀπειρέσια: ἄπειρα τῷ πλήθει.

Ἀπείρηκα: κέκμηκα.

Ἀπειρήκει: ἀπειρήκειν καὶ ἀπηγορεύκειν. ἔστι γὰρ ἀπρόςωπα.

Ἀπειπεῖν: ἀντὶ τοῦ ἀπροκαμεῖν καὶ ἀδυνατῆσαι. ἢ καὶ ἀπιστεῖν. ἔστι δὲ καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι.

Ἄπεισιν: ἀπέρχεται.

Ἀπείσομαι: ἀντὶ τοῦ ἄπειμι.

Ἀπείρονα δακτύλιον: τὸν μὴ συνάπτοντα αὐτὸν αὐτῷ. ἐλέγετο δὲ ἀπείρων καὶ ἄπειρος παρὰ τοῖς Ἀττικοῖς καὶ τὸ περιφερὲς ἁπλῶς σχῆμα.

Ἀπέγραψε τὸν καιρόν: ἠκρίβωσε τὸν καιρόν.

Ἀπεγλαψάμην: ἀπεπνευσάμην, ἐκενωσάμην. ἔστι δὲ γλάψαι καὶ τὸ κοιλᾶναι καὶ βαθῦναι. ἀλλὰ καὶ τὸ λίαν καὶ διὰ βάθους.

Ἀπέκιξαν: Ἴωνες, ἀποπεσεῖν ἐποίησαν.

Ἀπεκρίθη: ἀφωρίσθη. Πλάτων. καὶ ἐν ἄλλοις Ἀττικοῖς.

Ἀπέκτητον: ἀπόκιστον.

Ἀπεκόπησαν: ἀντὶ τοῦ ἀνεβλήθησαν. Ξενοφῶν.

Ἀπεκάλει: ἀντὶ τοῦ ἐνεκάλει, μετεπέμπετο. Ξενοφῶν.

Ἀπέλεθρον: πολλήν, ἀμέτρητον.

Ἀπελυμαίνοντο: ἀπεκαθαίροντο.

Ἀπέλθῃ: ἀντὶ τοῦ ἐπανέλθῃ, Θουκυδίδης. Δημοσθένης δὲ ἀντὶ τοῦ ἀποδρᾶναι.

Ἀπελεύθερος: Ἑλληνικὸν τὸ ὄνομα, καὶ δράματα ἄττα οὕτως ἐπιγέγραπται.

Ἀπέλλητοι: ἀνταγωνισταί. οὕτως Αἰσχύλος. 5

Ἀπέλιπεν: ἀπέλιπε μὲν ἡ γυνὴ τὸν ἄνδρα λέγεται· ἀπέπεμψε δὲ ὁ ἀνὴρ τὴν γυναῖκα. οὕτω Μένανδρος.

Ἀπεμύλλαινον: διεφαύλιζον, ἐξευτέλιζον.

Ἀπεμόρξατο: ἀπεψήσατο, ἐδάκρυσεν. ἢ ἐξωμοιώσατο.

Ἀπεμπολή: ἀπόστασις, ἢ μετὰ ἀπάτης πρᾶσις καὶ 10 ἐμπορία.

Ἀπεμφαίνει: ἀπείρηκεν.

Ἀπεμπολήσας: πεπρακώς, ἀποκτησάμενος.

Ἀπεμυθήσω: ἀντὶ τοῦ ἀπελογήσω. Στράττις.

Ἀπενεγκάμενος: κτήσαμενος. 15

Ἀπενήσω: ἀπέβαλες.

Ἀπενεγκεῖν γραφήν τὸ γράψασθαι λέγουσιν.

Ἀπενιαυτίσαι: ἐνιαυτῷ φυγεῖν τὴν πατρίδα ἐπί τισιν ἀδικήμασιν.

Ἀπενιαυτισμός: φυγὴ ἐπὶ ἐνιαυτὸν διὰ φόνον ἀκούσιον, καὶ ὅλως ἀποδημία τοῦ τοσούτου χρόνου ἀπαλλα- 20 γῆς ἕνεκα μύσους ἢ ἔρωτός τινος.

Ἀπεξεσμένον: ἠκριβωμένον.

Ἀπεοικός: ἀπρεπές.

Ἀπαιωρούμενον: κρεμάμενον. 25

Ἀπέραντον: ἄπειρον.

Ἀπερράπισεν: ἀπεφίμωσεν, ἀπεστόμωσεν.

Ἀπεργάσασθαι: ἀντὶ τοῦ ἀποπληρῶσαι. Ἀριστοφάνης.

Ἀπεργασάμενος: ἀντὶ τοῦ ἀποδοὺς ἐξ ὧν εἰργάσατο. 30 οὕτως Ἰσαῖος.

Ἀπερίβλεπτον: ἀνυπονόητον πολύ.

Ἀπερίγραπτον: ἀπεριόριστον.

Ἀπερίγραπτοι: ἀπερίσκοποι.

Ἀπερισάλπιγκτοι: ἀπεριήχητοι, ἀκατήχητοι.

Ἀπερρωγότες: κατεσχισμένοι ἢ ἀπεσχισμένοι.

Ἀπέρρωγεν: οὐκ ἀπέρρηκται. καὶ ἀπερρώγει, καὶ σὺν τῷ ν ἀπερρώγειν, τὸ τρίτον πρόσωπον· 5

κᾆτ' ἀπερρώγειν ὁ πούς.

Ἄπερρε: ἀποφθάρηθι. καὶ ἔρρων φθειρόμενος·

ζητῶ περιέρρων αὐτὸν ἐξ ἑωθινοῦ.

Ἀπερρήσεις: ἀπελεύσῃ, ἀποφθαρήσῃ, οὕτω Κρατῖνος Νάμοις· 10

οὐκ ἀπερρήσεις σὺ θᾶττον ἀποτιλῶσαι τήμερον;

ὅλως δὲ πλέον τι τοῦ ἀποφθαρῆναι δηλοῖ τὰ ῥῆμα, καὶ παρ' Ὁμήρῳ·

ἔρρ' ἐκ νήσου θᾶσσον.

Ἀπέσβη: ἐσβέσθη ἢ ἐπαύσατο, τέθνηκεν. 15

Ἀπέσβηκεν: ἀπέσβηκε λέγουσι τὸ ἀπεσβέσθαι οἵ τε ἄλλοι καὶ Πλάτων Πολιτικῷ.

Ἀπεσείσατο: ἀπέβαλεν.

Ἀπεσκέδασε: διεσκόρπισεν.

Ἀπεσκληκώς: ἀναισθήτως ἔχων καὶ ἀπεσκληρυμμένως. 20

Ἀπέσσυα: ἐξέλιπεν.

Ἀπέστη: ἀντὶ τοῦ ἀφέστηκεν.

Ἀπεστομάτισαν: ἀπεφθέγξαντο.

Ἀπέσφηλεν: ἀποτυχεῖν ἐποίησεν.

Ἀπεσφακέλισεν: οἱ μὲν ἰατροὶ ἐσάπη. λέγεται δὲ καὶ ἀντὶ τοῦ ἀπεσφενδόνησεν. ἔτι τὸ ἐξαίφνης ἀπέθανεν. ὁ δὲ Ἀριστοφάνης καὶ ἀντὶ τοῦ ἀπεσπάσθη. 25

Ἀπεσχεδιάζετο: ἡτοιμάζετο.

Ἀπέσχαζεν:

Ἀπεσχαίνισεν: ἀπεχώρισεν. 30

Ἀπεσχοινισμένον: ἀπεστερημένον, ἀποκεκλεισμένον.

Ἀπεσιγάλωσεν: ἀπεσκήνωσεν.

Ἀπέσκη: γυμνὰ θήκης τάξα.

Ἀπεσκόλυπτε: κυρίως τὰ δέρμα ἀφῄρει, ἤδη δὲ καὶ τὸ ἐγύμνου.

Ἀπεστλεγγισμένον: ἀπεξυσμένον. οὕτως Ἀριστοφάνης. στλεγγὶς γὰρ ἡ ξύστρα,

Ἀπεσταλμένην: ἀπεσταλμένην καὶ πεπεμμένην ἑκατέρως λέγουσιν 5

Ἀπετείχιζον: ἀπεχώριζον, ἀπεκώλυον.

Ἀπετίννυον: ἀπεδίδουν.

Ἀπέφησεν: ἀντὶ τοῦ ἀντεῖπε. Μένανδρος.

Ἀπέτισα: ἀπέδωκα. 10

Ἀπετύλουν: ἀπέσυρον τὰ αἰδοῖον.

Ἀπετίμησεν καὶ ἀποτίμησις καὶ ἀποτίμημα: εἰώθασιν οἱ τῇ γυναικὶ γαμουμένῃ προῖκα διδόντες αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥςπερ ἐνέχυρόν τι τῆς προικὸς ἀντάξιον, ὃ νῦν ὑπάλλαγμα λέγεται. ἐκλήθη δὲ τὸ 15 ὑπάλλαγμα ἀποτίμημα, διότι ἐτιμᾶτο πρὸς τὴν προῖκα, ἵνα μὴ ἔλαττον ᾖ ἀλλὰ πλέον αὐτῆς.

Ἀπηύρα: ἀπέλαυσεν. ἢ ἀφείλατο.

Ἀπευκτάν: μισητόν.

Ἀπευθύνει: κολάζει. 20

Ἀπευήκασιν: ἀπεξυρασμέναι εἰσίν.

Ἀπέφρησαν: ἀφεῖσαν.

Ἄπεφθον χρυσίον:

Ἀπεφρούρησαν: ἀπέθηκαν.

Ἀπέχθεσθαι: λέγουσι δέ ποτε καὶ ἀπεχθάνεσθαι. 25

Ἀπεχρᾶτο: Ἡρόδοτος μὲν ἀντὶ τοῦ ἀρκεῖν ἡγεῖτο: Θουκυδίδης δὲ ἀπεχρῶντο ἀντὶ τοῦ ἀνήρουν

Ἀπηχθάνοντο: ἐμισοῦντο.

Ἀπεχθεια: μῖσος.

Ἀπεχρήσατο: ἀπέκτεινεν. 30

Ἀπέχρησεν: ἐξήρκεσεν.

Ἀπεχρήσαντο: διεχρήσαντο, ἀπέκτειναν. Ἀημνίαις Ἀριστοφάνης:

τοὺς ἄνδρας ἀπεχρήσαντο, τοὺς παιδοσπόρους.

Ἀπέχθής: ἐχθρός, μισητός.

Ἀπεχοιρίασεν: ἀπεσκίρτησεν. οἱ δὲ ἀπέπληξεν ἀπὸ τῶν χοιράδων.

Ἀπεώσατο: ἀπετινάξατο.

Ἀπεωσμένον: ἀπωσμένον.

Ἀπέωστο: ἐπορθεῖτο.

Ἀπηλγηκότες: ἀποκαμόντες, ἀναισθήτως ἔχοντες.

Ἀπηλλάγησαν: ἐτελεύτησαν.

Ἀπήμαντον: ἀβλαβές. 1

Ἀπημείφθη: ἀντὶ τοῦ ἀπεκρίνατο.

Ἀπήμονα: ἀβλαβῆ.

Ἀπηνέμους: μὴ ἔχοντας ἀνέμους.

Ἀπηνέστερον: ἀποτομώτερον.

Ἀπηνήναντο: ἀπηρνήσαντο. 1

Ἀπηρτημένας: ἀπαιωρουμένας.

Ἀπηχές: ψευδές, δύςφορον, ἀηδές, ἐχθρόν.

Ἀπήχθετο: ἐμισεῖτο.

Ἀπηχημένον: ἀπόβλητον, ξένον τοῦ κατὰ πάντων ἤχου.

Ἀπηχθημένον: ἀπόβλητον. 2

Ἀπηχθισμένον: βεβαρημένον.

Ἀπῆξεν: ἀφώρμησεν.

Ἀπήχεια: ἀντὶ τοῦ ἀπέχθεια.

Ἀπηδέσθη: ἀπεβρώθη.

Ἀπηλιώτης: ἐν τῷ π, καὶ ἀντήλιος, καὶ πάντα τὰ 2
ὅμοια ψιλῶς. καὶ ἡ ἐπηλίς ἔστι παρὰ Ποσειδίππῳ.

Ἀπηλοημένος: ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος μετὰ τὸ ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι. οὕτω Δημοσθένης.

Ἀπίθανον: ἄπιστον.

Ἄπιθι: ἄπελθε, ἀναχώρει. 30

Ἄπιστος: ὁ μὴ πειθόμενος.

Ἀπιστεῖν: τὸ ἀπειθεῖν. λέγουσι δὲ καὶ ἀπιστίαν τὴν ἀπείθειαν.

Ἄπιους: ἀπίους εἴρηκε Πλάτων ἐν Νόμοις. ἔστι καὶ παρ' Ἀλέξιδι.

Ἀπίχθυς: τοὺς μὴ ἐσθιομένους ἰχθῦς. Ἀριστοφάνης Ὥραις.

Ἀπιὼν ᾤχετο: συνήθης ὁ πλεονασμὸς τοῖς Ἀττικοῖς. 5

Ἄπλαστος: ἀληθινός, ἄδολος.

Ἄπλετον: ἄπειρον. λέγεται δὲ καὶ ἄπλατον, ὡς τὸ

κυψέλην δ' ἔχεις
ἄπλατον ἐν τοῖς ὠσίν.

Ἁπλοῖς: ἱματίδιον σύμμετρον. 10

Ἁπλοῖδας: ἁπλᾶς χλανίδας.

Ἁπλᾶς: Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι.

Ἄπλοοι: ἀδύνατοι πλέειν.

Ἄπλυτον πώγωνα: σκώπτων εἰπέ. 15

Ἄπλωτον: ἄπλευστον.

Ἀπλάκητον: ἀναμάρτητον.

Ἁπλήγιος: δασέως, ἁπλοῦς. Εὔπολις Πόλεσιν·

οὐ γὰρ πολυπράγμων ἐστίν, ἀλλ' ἁπλήγιος.

Ἁπληγίς: ἱματίδιον σύμμετρον. Ἀναγύρῳ Ἀριστοφάνης· 20

ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἁπληγίδας ποιῶν.

Ἁπλᾶ καὶ διπλᾶ καὶ πολλαπλᾶ. καὶ πάντα περισπῶσι τὰ τοιαῦτα, ἀργυρᾶ, χρυσᾶ, κεραμεᾶ ἀπὸ τοῦ κεραμεοῦν, καὶ φοινικιᾶ ἀπὸ τοῦ φοινικιοῦν.

Ἄπο: πόῤῥω, μακράν. 25

Ἀπόβλεπτον: ἔνδοξον.

Ἀποβαδίζειν: οὐδὲν πλέον τοῦ βαδίζειν δηλοῖ.

Ἀποβλεπόμενοι: ἀντὶ τοῦ θαυμάζοντες.

Ἀπογνῶναι: οἷον μὴ καταψηφίσασθαι. οὕτως Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. 30

Ἀπογράφειν οὐσίαν: τὸ εἰς τὸ δημόσιον ἀναφέρειν πολίτου τινὸς οὐσίαν.

Ἀποβάτης: ἀποβάτης καὶ ἀποβαίνειν καὶ ἀπο-

βατικοὶ τροχοί. ἀποβάτης μὲν ἱππικόν τι ἀγώνισμά ἐστι, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην, ἀποβατικοὶ δὲ τροχοὶ οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος.

Ἀπογραφή: ἀρίθμησις. ἐπειδάν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται, δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα. μή ποτε καὶ εἶδός τινός ἐστι δίκης ἡ ἀπογραφή. εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο, ὡς οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς. οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος.

Ἀπογράψαι: τὸ γράψαι καὶ τὸ ὑπογράψαι καὶ οἷον σημειώσασθαι δηλοῖ.

Ἀπογενέσθαι: ἢ ὑστερῆσαι ἢ ἀποθανεῖν.

Ἀποβλύζων: ἀναβάλλων.

Ἀποβλίσαι: ἀποπιέσαι, ἀποθλῖψαι.

Ἀπόβουκολήσας: ἐξαπατήσας.

Ἀποβάθρα: ἀποβατήρια. οὕτω Σοφοκλῆς.

Ἀπὸ γραμμῆς: οἷον ἀπ' ἀρχῆς. εἴρηται δὲ ἀπὸ τῆς τῶν δρομέων γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβῖδα καλοῦσιν.

Ἀποβύσαντες: ἀποκλείσαντες.

Ἀποδάσομαι: ἀπομερίσομαι.

Ἀπογνούς: Δημοσθένης μὲν ἀντὶ τοῦ ἀπελπίσας, Δείναρχος δὲ ἀντὶ τοῦ ἀποψηφισάμενος.

Ἀποδείξασθαι: τὸ ἐν διδασκάλου τὰ μαθήματα, ἅ τις ἔμαθε, λέγειν.

Ἀποδαρθεῖν: ἀποκοιμηθῆναι. καὶ καταδαρθεῖν.

Ἀποδειροτομεῖ: ἀποκόπτει τοὺς αὐχένας.

Ἀποδεόντων: λειπόντων, ἀπολειπομένων.

Ἀποβατῶν ἀγών: οὗτος ὁ ἀγὼν ἤγετο τῇ Ἀθηνᾷ, ἐν ᾧ οἱ ἔμπειροι τοῦ ἐλαύνειν ἅρματα ἅμα θεόντων τῶν ἵππων ἀνέβαινον διὰ τοῦ τροχοῦ ἐπὶ τὸν δίφρον, καὶ πάλιν κατέβαινον. καὶ ἦν τὸ ἀγώνισμα ἱππέως ἅμα

καὶ πεζοῦ. καλεῖται δέ τις καὶ ἀποβατικὸς ἡνίοχος, ὁ εἰς τοῦτο δηλονότι ἐπιτήδειος τὸ ἀγώνισμα.

Ἀποβροχθίσαι: τὸ καταπιεῖν. ὡς ἡμεῖς, Ἀριστοφάνης Δαιταλεῦσιν ἐχρήσατο.

Ἀποδιοπομπεῖσθαι: ἀποπέμπεσθαι πρὸς τὸν προστρόπαιον Δία, καὶ οἱονεὶ καθαίρεσθαι ἢ ἱλάσκεσθαι. 5

Ἄπο δόξης: ἄπο εἰκασμοῦ.

Ἀποδέχομαι: ὁμολογῶ.

Ἀποδικεῖν: ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφάνης.

Ἀποδόσθαι: πωλῆσαι. 10

Ἀποδράς: ἀποφυγών.

Ἀποδυσπετεῖ: ἀποδύρεται.

Ἀποδέκται: ἄρχοντες κληρωτοὶ δέκα τὸν ἀριθμὸν κατὰ φυλὴν ἦσαν, οἳ παρελάμβανον τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ καὶ ἀπεδέχοντο αὐτά, εἶτα ἐξήταζον τὰ ὀφλήματα σὺν τῇ βουλῇ, καὶ ἐμέριζον εἰς ἃ ἐχρὴν ἀναλίσκειν. 15

Ἀποδιδόμενοι: Ἀντιφῶν ἀντὶ τοῦ ἀποδιδόντες. καὶ ἀποδιδόμεθα ἀντὶ τοῦ ἀποδίδομεν. ἢ πιπράσκομεν.

Ἀποδακρύσας: οὐ σημαίνει τὸ δακρῦσαι, ἀλλὰ τὸ παύσασθαι δακρύοντα, ὡς τὸ ἀπολοφύρεσθαι καὶ τὰ ὅμοια. 20

Ἀποδεῖξαι: οὐ παραδεῖξαι.

ὅμως δ' ἀπόδειξον ταῦτα τῇ γυναικί,

καὶ Περικειρομένη Μένανδρος. 25

Ἀποδῦσαι:

μᾶλλον δ' ἀπόδυθι ταχέως . . . Παμφίλη·

ἡμέτερος ὁ πλοῦς.

Ἀποδείκνυμί σοι χελιδόνα: ἴσον τὸ μαρτύρομαι.

Ἀπόζων: ἀποπνέων. 30

Ἀποθρέξεις: συναποτροχάσεις. οὕτω Πλάτων.

Ἀποθρώσκοντα: ἀποπηδῶντα.

Ἀποθεσπίσαι: δογματίσαι, ἐκθέσθαι, εἰπεῖν.

Ἀποθύμια: λυπηρά, τὰ μὴ καταθύμια.

Ἀποθήκην: ἀντὶ τοῦ ἀποστροφήν. Φίλιστος.

Ἀποθευσούμεθα: ἀποδραμούμεθα. μάλιστα ἐπὶ πλοῦ λέγεται.

Ἀποθριάσαι: ἀποφυλλίσαι. θρία γὰρ τὰ φύλλα τῆς συκῆς. 5

Ἀποικοδομεῖς: ἀντὶ τοῦ ἀποφράττεις. Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα.

Ἄποινα: λύτρα, ἃ δίδωσί τις ὑπὲρ φόνου ἢ σώματος. οὕτω Σόλων ἐν νόμοις. 10

Ἀποίσετε: ἀπενέγκατε.

Ἀποίχομαι: παρέρχομαι.

Ἀποκαθεύδουσιν: ἀντὶ τοῦ ἀποκοιτοῦσιν. Εὔπολις.

Ἀποκαραδοκία: προςδοκία.

Ἀποκαταλλάξαι: φιλοποιῆσαι. 15

Ἀποκείλαντες: ἀποκλίναντες.

Ἀποκεῖσθαι πόρρω: ἀτιμάζεσθαι. οὕτω Κρατῖνος.

Ἀποκήρυκτον: ἀλλότριον.

Ἀποκλήρωσις: μέρος.

Ἀποκαρτερήσαντα: ἑαυτὸν λιμῷ ἢ ἀγχόνῃ τοῦ βίου ἐξαγαγόντα. 20

Ἀποκηδήσαντες: ἀντὶ τοῦ ἀποκακήσαντες, Ὅμηρος. παρὰ δὲ Σώφρονι ἀποκαδεῖ ἀντὶ τοῦ ἀσθενεῖ κεῖται.

Ἀποκοπῆναι τῶν ἰχνῶν τὴν κύνα λέγουσιν, ὅταν μηκέτι εὑρίσκῃ τὰ ἴχνη. 25

Ἀποκναίει: διαφθείρει, ἀποκόπτει, ἀπολύει. ἢ λυπεῖ, ὀδυνᾷ, ἐνοχλεῖ, παρεκτείνει. οἷον

τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν,

Μένανδρος Μισουμένῳ. 30

Ἀπόκνιζε: ἀπόσκαλλε, ἀπότιλλε.

Ἀπόκριμα: κατάκριμα.

Ἀποκρούεσθαι: ἀποβάλλεσθαι.

Ἄποκα: πρόβατα ἄκουρα.

Ἀποκινεῖν: τὸ ἀπέρχεσθαι καὶ ἀποτρέχειν. λέγεται καὶ ἐπὶ πλοίων καταγομένων καὶ ὁρμιζομένων ἀποκινεῖν ταῖς κώπαις.

Ἀποκραιπαλισμός: τῆς κραιπάλης ἀπαλλαγὴ καὶ μέθης. 5

Ἀποκεκρουμένον: οἷον ἠκρωτηριασμένον καὶ κεκολοβωμένον.

κυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον·
οὕτως Ἀριστοφάνης Ἀχαρνεῦσιν. 10

Ἀποκηρύττοντες: ἀντὶ τοῦ πιπράσκοντες. οὕτω Δημοσθένης καὶ Πλάτων.

Ἀποκρινεῖται: ἀποκρινεῖται λέγουσι μᾶλλον ἢ ἀποκριθήσεται. Μένανδρος Κανηφόρῳ·

ὃ δ' ἀποκρινεῖται, κἂν ἐγὼ λέγοιμί σοι. 15

Ὑποβολιμαίᾳ·

ὡς μηδὲν ἀποκρινουμένῳ δ' οὕτω λαλεῖν.

Ἀπόκρισις: ἡ ἀπολογία. οὕτω Λυσίας καὶ Ἀντιφῶν. ἀλλὰ καὶ Δημοσθένης ὁμοίως λέγει ἐν τῷ κατ' Αἰσχίνου, ἀπόκριναι λέγων δεῦρό μοι παρελθών. 20

Ἀποκείρασθαι: ἀποκείρασθαι καὶ κείρασθαι, ἑκατέρως λέγουσιν.

Ἀποκτίννυσιν: ἀποκτίννυσι λέγουσι μᾶλλον ἢ ἀποκτιννύει. Κρατῖνος Βουκόλοις·

καὶ πρὸς τὸν οὐρανὸν σκιαμαχῶν 25
. . . . ἀποκτίννυσι ταῖς ἀπειλαῖς.

καὶ ἀπεκτόνασιν, οὐκ ἀπεκτάγκασι. Μισουμένῳ·

πατὴρ μὲν Θράσων', ἀπεκτάγκασι δ' οὔ.

Ἀπόκινος: γένος ὀρχήσεως φορτικῆς. οἱ δὲ μέλος. ἢ ὁ τῶν κιναιδογράφων ἴαμβος. 30

Ἀποκριθῆναι: ἀποχωρισθῆναι. ἀποκρίνασθαι δὲ τὸ λόγον δοῦναι ἐρωτώμενον. ἀνακρίνειν δὲ τὸ

διὰ λόγων ἐρωτᾷν. λέγεται μέν τοί που ἀποκρίνεται καὶ τὸ ἀποχωρίζεται.

Ἀποκριπάμενος: ἀποσπεισάμενος. οὕτω Κρατῖνος.

Ἀποκτυπῆσαι: οἷον τοπᾶσαι.

Ἀποκυηθέν: τεχθέν. 5

Ἀπολαύειν: οὐκ ἐπὶ τῶν ἡδονῶν μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐναντίων τάττουσιν, ὡς Ἰσοκράτης· δέδοικα μή τι κακὸν ἀπολαύσαιμι.

Ἀπόλεμος: τίθεται ἐπὶ τοῦ λαχεῖν. οὕτω Λυσίας καὶ Ἀριστοφάνης καὶ Ἀντιφῶν. 10

Ἀπολείπουσιν: ἀλλὰ καὶ ἀπολιμπάνουσι παρὰ Λυσίᾳ.

Ἀπόληγε: παύου.

Ἀπολυμαίνεσθαι: ἀποκαθαίρεσθαι.

Ἀπολογίσασθαι καὶ ἀπολογίζειν τὸ ἐπεξελθεῖν ἕκαστα. Ἀριστοφάνης ἐν τῷ Θ γήρα· 15

ἐγὼ δ' ἀπολογίζειν τε, κᾆτ' ἐπ' ἀνθράκων.

Ἀπολελοιπότες: ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν τρεχόντων· οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. οὕτως Ἰσοκράτης ἐν Παναθηναϊκῷ καὶ Πανηγυρικῷ. 20

Ἀπολλώνιον: βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον τὸ τοῦ Ποσειδῶνος, ὡς Ἀθηναῖον τὸ τῆς Ἀθηνᾶς καὶ Διονύσιον. καὶ πάντα τὰ τοιαῦτα ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον δῆλον ὅτι Δώριον. 25

Ἀπολλύειν: ἀπολλύειν καὶ ἀπολλύναι, καὶ ἀποδεικνύειν καὶ ἀποδεικνύναι, διττῶς λέγουσιν.

Ἀπόλειψις: σημαίνει μὲν καὶ ἄλλως τὸ ἀπολιπεῖν, ἰδίως δὲ ὅταν γαμετὴ τὸν ἄνδρα ἀπολίπῃ. λέγεται δὲ χρηματίζειν πρὸς αὐτὸν ἀπόλειψιν. 30

Ἀπόλεκτον: οὐχὶ τὸ φαῦλον καὶ ἀπόβλητον, ἀλλὰ τὸ

ἔκκρι-

ἔκκριτον καὶ ἐξειλεγμένον ἐκ πλειόνων. καὶ στρατιώτας ἐπιλέκτους καὶ λογάδας τοὺς αὐτοὺς καλοῦσιν.

Ἀπολιβάξαι: τὸ ἐκρυῆναι ἀπὸ τῆς λιβάδος. ἄλλοι δὲ τὸ πόῤῥω ἀπελθεῖν, παρὰ τὴν Λιβύην· πόῤῥω γὰρ ἡ Λιβύη. οἱ δὲ ἀποῤῥῖψαι καὶ ἀποφθείρειν. Φερεκράτης Δουλοδιδασκάλῳ· 5

οὐκ ἀπολιβάζω καὶ τριγώνους καὶ λύρας.

Εὔπολις Πόλεσιν·

ὁ φίλιννος οὗτος, τί ἄρα πρὸς ταύτην βλέπεις;
οὐκ ἀπολιβάζεις εἰς ἀποικίαν τινά; 10

Ἀπολιταργῆσαι: ταχέως ἀποδραμεῖν. ἔστι παρὰ τοῖς κωμικοῖς τοῖς παλαιοῖς.

Ἀπομάττεσθαι: ἀναλαβεῖν, μιμήσασθαι καὶ ἀποτυποῦν.

Ἀπομάττων: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. 15 οἱ μὲν ἀντὶ τοῦ ἀποψῶν, ἄλλοι δὲ ἀντὶ τοῦ περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις. ἀπομάττεσθαι τὸν ἀνδριάντα τῷ πηλῷ.

Ἀπομηνίσας: ἀποχωρήσας δι' ὀργήν. ἢ παυσάμενος τῆς ὀργῆς. 20

Ἀπόμισθος: ἄμισθος. ἢ ὁ μισθοῦ πράξας ἔργον τι καὶ ἀφειμένος. ἡ λέξις παρὰ Λυσίᾳ.

Ἀπόμισθοι: οἱ μισθὸν μὴ λαβόντες. οὕτω Δημοσθένης.

Ἀπομορξάμενον: ἀποπαυσάμενον. 25

Ἀπόμακτρα: ἀπόμακτρα σκυτάλων ἀπεσκοτημένα δ' ἐσκιοτροφημένα.

Ἀπομαγδαλία καὶ ἀπομάγδαλις: ψωμός, εἰς ὃν ἐκμασσόμενοι τὰς χεῖρας μετὰ τὸ δεῖπνον, ἐῤῥίπτουν τοῖς κυσίν. 30

Ἀπομάγματα: τὰ ἀποκαθάρματα. καὶ ἀπομάκται τὰ αὐτὰ ταῦτα.

Ἀπομερμηρίξαι: ἀπονυστάξαι.

Ἀπὸ μισθωμάτων θύειν: οἱ Ἀττικοὶ ἔλεγον οὕτω δημοσίας θυσίας, ἃς ἐργολαβοῦντες ἐτέλουν.

. . . . λέγουσι δὲ Ἀττικοὶ οὕτω καὶ τὸ ἀπαιτῆσαι τῶν μέτρων τὸ ὑπερχειλές. καὶ ὁμόργματα τὰ ἐπίμετρα λέγεται. ἀπόμοργμα καὶ τὸ ἐκτύπωμα καὶ ὁμοίωμα.

Ἀπόμορφα: ξένα, οὐκ ἐοικότα τοῖς ἤθεσιν. οὕτω Σοφοκλῆς.

Ἀπομορχθείς: ἐκμαγείς, πραϋνθείς.

Ἀπομυξία: ἀκαθαρσία.

Ἀπομόσαι: ἀπομόσαι καὶ κατομόσαι, τὸ μὲν ἀρνητικόν, τὸ δὲ καταφατικόν. 1

Ἄπον: ἀπρεπές.

Ἀπόνασθαι: κατατρυφᾶν. ἢ ὠφελεῖσθαι.

Ἀπόναται: εὐεργετεῖται, ὠφελεῖται.

Ἀπόνειμον: ἀπόδος. 1

Ἀπωνηθήσεται: περιπραθήσεται.

Ἀπονητί, ἀπνευστί, ἀνιδρωτί, καὶ πάντα τὰ τοιαῦτα ἐκτείνεται καὶ συστέλλεται.

Ἀπόνοια: ἄνοια, ὕβρις.

Ἀπονοστήσει: ἐπανελεύσεται. 2

Ἀπονομή: ἡ ἀπόμοιρα, ὡς μέρος τι τῶν περιγινομένων ἐκ τῶν μετάλλων λαμβανούσης τῆς πόλεως. ἢ ὡς διαιρουμένων εἰς πλείους μισθωτάς, ἵν' ἕκαστος λάβοι τι μέρος.

Ἀπονίψασθαι: ἀπονίψασθαι μετὰ τὸ δεῖπνον ἔλεγον, πρὸ τοῦ δείπνου δὲ κατὰ χειρός. 25

Ἀπονοσφίζεσθαι: ἀποχωρίζεσθαι.

Ἀπονυχίσαι: ἀπονυχίσαι μᾶλλον λέγουσιν ἢ ὀνυχίσαι.

Ἀπονησαμένη: ἀποσωρεύσασα ἢ ἀποθεμένη.

Ἀποξένοισιν: ἀντὶ τοῦ ἀξένοις. 30

Ἀποξύονται: ἀποτίθενται.

Ἀποξιφίσασθαι: ἀπορχήσασθαι. ὁ γὰρ ξιφισμὸς εἶδος ὀρχήσεως.

Ἀποπεράτοῦσαν: συμπληροῦσαν.

Ἀποπεφασμένον: ἀπειρημένον. ἢ ἀντὶ τοῦ ἀποδεδειγμένον καὶ πεφανερωμένον. οὕτω Δείναρχος καὶ Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Ἀποπόμπη: ἀντὶ τοῦ ἀποτροπή.

Ἀποπεφοίτηκεν: ἀπῆλθεν. 5

Ἀποπομπαῖοι: θεοί τινες οὕτως ἐκαλοῦντο.

Ἀποπληξία: μανία, ἄνοια.

Ἀποπρεσβεύει: ἀπαγγέλλει πρεσβείαν.

Ἄποπτον: ἀθεώρητον, ὑψηλότατον.

Ἀποπάτημα: αὐτὸ τὸ σκύβαλον. Εὔπολις Χρυσῷ γένει· 10

τί γάρ ἐστ' ἐκεῖνο; ἀποπάτημ' ἀλώπεκος.

Κρατῖνος Δραπέτησιν·

τὸν Κερκύονά τε

ἔωθεν ἀποπατοῦντ' ἐπὶ τοῖς λαχάνοις . . .

εὑρὼν ἀπέπνιξα. 15

Ἀπόπατον: ἀπόπατον καὶ κοπρῶνα λέγουσιν. ὁ δ' ἀφεδρὼν καὶ λυτρὼν βάρβαρα.

Ἀποπροσωπίζεσθαι: ἀπονίπτεσθαι καὶ σμᾶσθαι τὸ πρόσωπον. οὕτω Φερεκράτης Ἀγρίοις·

οὐδ' ἀποπροσωπίζεσθε κυάμοις; πώμαλα. 20

Ἀπορεῖν καὶ σφακελίζειν τῷ δεινῷ: τὸ μὲν σφακελίζειν φλεγμαίνειν ἐστὶ καὶ διὰ τοῦτο σπᾶσθαι. Κρατῖνος.

Ἀπόῤῥησιν: ἀπαγόρευσιν. σημαίνει καὶ ἀποκήρυξιν παιδός. 25

Ἀπόῤῥητα: ἀκατάλειπτα, ἀπόκρυφα.

Ἀποῤῥοῆς: σταγόνος.

Ἀποῤῥυῆς: ἀπονίπτει, ἀποῤῥύπτει.

Ἄπορος χώρα: ἀντὶ τοῦ ἀπόρευτος. λέγεται δὲ ἄπορος καὶ ὁ μὴ δυνάμενος μηχανήν τινα εὑρεῖν, ὁ ἐνδεής. 30

Ἀποῤῥωγάς: ἐξοχὰς ἀπεσχισμένας.

Ἀπορησία: ἀντὶ τοῦ ἀπορία. οὕτως Εὔβουλος.

Ἀποῤῥώξ: ἀπόσπασμα ὄρους.

Ἄπουργοι γωνίαι: εὐτελεῖς, εἰς ἃς τὰ σαρώματα συνῆγον.

Ἀπορρέξαντες: ἀπομερίσαντες, ἀπόμοιραν δόντες.

Ἀπορέξαι: δοῦναι.

Ἀπόρρητα πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα ἐν τοῖς νόμοις λέγουσιν. Ἀριστοφάνης·

οὕτως τι τἀπόρρητα δρᾶν ἐστι μέλει.

διόπερ καὶ τὰ μὴ ἐξαγώγιμα ὀνομάζουσιν.

Ἀπορώτατος: ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἔστιν εὑρεῖν. οὕτως Ἰσαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησαίου θυγατρός.

Ἀπορρυή: ἀπόρρυσις.

Ἀπορρηθῇ: ἀντὶ τοῦ ἀποκηρυχθῇ. Πλάτων.

Ἀποσημήνασθαι: ἀφομοιοῦσθαι.

Ἀποσεμνύνει: γεραίρει.

Ἀποσημαίνεσθαι: ἔλεγον οὕτω τὸ σφραγίζειν. δηλοῖ δὲ καὶ τὸ παρασημειοῦσθαί τινα.

Ἀπόσιτος: ἄσιτος, ἄτροφος.

Ἀποσκευαζόμενος: ἀποβαλλόμενος, ἀποῤῥίπτων, ἀπογυμνῶν.

Ἀπόσκευάζοντες: ἀποφέροντες.

Ἀποσιμῶσαι: τὸ ἐπικύψαι καὶ τὴν πυγὴν προθεῖναι γυμνήν. Θουκυδίδης δὲ τὸ μετεωρίσαι τὰς ναῦς.

Ἀποστασίου: δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνται ἀπ' αὐτῶν, ἢ προστάτην ἕτερον ἐπιγράφωνται, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως λοιπὸν ἐλευθέρους.

Ἀποστασίου καὶ ἀπροστασίου: δικῶν εἰσὶν ὀνόματα. ἀλλὰ τὸ μὲν ἀποστασίου δίκη τίθεται, ὅταν δοῦλος ὑπὲρ ἐλευθερίας ἐνίσταται, φάσκων μὴ προσήκειν τοῖς δουλοῦν αὐτὸν ἀντιποιουμένοις. οὗτος ἀπο-

στασίου δίκην λαχεῖν λέγεται. ἀπροστασίου δέ· τῶν μετοίκων ἕκαστος προστάτην ἔχει κατὰ νόμον, ἕνα τῶν ἀστῶν, καὶ δι' αὐτοῦ τό τε μετοίκιον τίθεται κατ' ἔτος καὶ τὰ ἄλλα διοικεῖται. ὅταν οὖν τις, δοκῶν εἶναι μέτοικος, προστάτην μὴ ἔχῃ, ἢ μὴ δῷ τὸ μετοίκιον, ἢ ἀστὸς εἶναι φάσκῃ, παρεγγεγραμμένος εἰς τὴν πολιτείαν, ὁ βουλόμενος δίκην εἰσάγει πρὸς αὐτόν, ἥτις λέγεται ἀπροστασίου.

Ἀποσεσύκασται: τετρύγηται. Ἀμειψίας.

Ἀποσάξαντα: Δείναρχος, ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα.

Ἀποστησάμενον: ἀντὶ τοῦ πρὸς σταθμὸν παραλαβόντα. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον.

Ἀποσκλαίη: ἀποθάνοι.

Ἀποσκλῆναι: ἀποθανεῖν.

Ἀποσκιρτᾷ: ἀποπηδᾷ.

Ἀποσκοπῶ: μάτην. ἢ περιττῶς. ἢ ἐναντίως.

Ἀποσκορακίζει: ὑβρίζει, εὐτελίζει, διώκει. ἢ μεταφορὰ ἀπὸ τοῦ εἰς κόρακας.

Ἀποσκυθίσαι: κυρίως μὲν τὸ ἐπιτεμεῖν τὸ ἐπὶ κεφαλῆς δέρμα σὺν θριξί, καταχρηστικῶς δὲ τὸ ἀποκεῖραι.

Ἀποσκοπεῖσθαι: ἀποσκοπεῖσθαι λέγουσιν, οὐ σκοπεύειν.

Ἀποσκευάσαι τὴν τράπεζαν: καθαρὰν ποιῆσαι.

Ἀποσκολύψαι: ἀφελεῖν τὸ δέρμα. ἢ ἀπογυμνῶσαι. Σοφοκλῆς δὲ τὸ ἀποκόλουε ἐν Μενελάῳ.

Ἀπόστασις: ἡ ἐπανάστασις ἔθνους ἢ πόλεως. ἢ ἀπέλευσις. ἢ διάλυσις, καὶ ἡ τοπικὴ διάστασις. καὶ κατ' Ἱπποκράτην ἡ ἐναπόσκηψις, οἷόν τινος συλλογή.

Ἀποστολεῖς: δέκα τὸν ἀριθμὸν ἄρχοντες ἦσαν, οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν πλεουσῶν τριήρων καὶ τῶν ἀναγομένων στόλων ἀποδεδειγμένοι. ἀποστολεῖς δὲ παρὰ τὸ ἀποστέλλειν τὰ πλοῖα.

Ἀπόστοργον: τὸ ἄστοργον.

Ἀπὸ συμβόλων δικάζει: Ἀθηναῖοι ἀπὸ συμβόλων ἐδίκαζον τοῖς ὑπηκόοις. οὕτως Ἀριστοτέλης.

Ἀποστάσιον: ἀποστάσιον καὶ λιποστράτιον καὶ πάντα τὰ τοιαῦτα οὐδετέρως σχηματίζουσιν. Εὔπολις·

καὶ γὰρ αἰσχρὸν ἀλογίσου τι ὀφλεῖν.

Ἀπὸ στόματος: ὡς ἡμεῖς, τὸ μὴ διὰ γραμμάτων ἀλλ' ἀπὸ μνήμης. Φιλήμων Νεμομένοις·

ἀπὸ στόματος ἅπαντ', ἐὰν βούλησθ', ἐρῶ.

Κρατῖνος δε ταὐτὸ τοῦτ' ἀπὸ γλώττης. Νόμοις·

ἀλλὰ μὰ Δί' οὐκ οἶδ' ἔγωγε γράμματ' οὐδ' ἐπίσταμαι,

ἀλλ' ἀπὸ γλώττης φράσω σοι· μνημονεύω γὰρ καλῶς.

Ἀπόστα: οὐ μόνον ἀπόστηθι λέγουσι. καὶ παράστα. Μένανδρος Παιδίῳ·

ἐνταῦθ' ἀπόστα μικρόν.

Δὶς ἐξαπατῶντι·

ἐμοὶ παράστα, τὴν θύραν κόψας ἐγὼ καλῶς τίν' αὐτόν.

Ἀποσυστῆσαι: οὐδὲν πλέον τοῦ συστῆσαι.

Ἀποσφυδου: καρτερεῖν.

Ἀποσοβεῖ: διώκει.

Ἀποσοβῶμεν: ἀντὶ τοῦ ἀποτρέχωμεν. Μένανδρος.

Ἀποστήσασθαι: ἀποδοῦναι χρέος.

Ἀποσπουδάζων: παυόμενος τῆς σπουδῆς, ἀμελῶν.

Ἀποστήσωνται: οἷον σταθμῷ λάβωσιν ἴσον.

Ἀποστροφή: ἀντὶ τοῦ καταφυγή.

Ἀποστολαί: ἀποπέμψεις, δῶρα.

Ἀποστρακισθῆναι: ἐξορισθῆναι. ἐν ὀστράκοις γὰρ τὸ πρὶν ἐγράφοντο αἱ ἐξορίαι.

Ἀποστυγοῦντες: μισοῦντες.

Ἀποσχεδιάσας: ψευσάμενος.

Ἀποστοματίζειν: ἀπὸ μνήμης λέγειν.

Ἀπόσχη: ἀποσχέσθαι ποιήσῃ.

Ἀποσχῆναι: ἀπενεχθῆναι.

Ἀποσχοινίσαντες: ἀποστρέψαντες.

Ἀποτεθρυωμένος: ἀπηγριωμένος. εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν θρύων, ἅ πέρ ἐστιν ἄγονα καὶ ἄγρια φυτά. 5

Ἀποταμιεύεται: ἀποκλείει.

Ἀποτεθρίακεν: ἀποτεφύλακεν καὶ διεκάθαρκεν.

Ἀποταυρούμενος: θρασυνόμενος.

Ἀποτείνεται: ἐκτείνεται, φιλονεικεῖ.

Ἀποτειχίζων: ἀποφράσσων. 10

Ἀποτεμεῖται: ἀποχωρίσει.

Ἀποτεύξασθαι: ἀποτυχεῖν.

Ἀπόταφος: ὁ ἀπεστερημένος τῶν προγονικῶν τάφων. οὕτω Δείναρχος.

Ἀποτιμᾶν, ἀποτιμηταί καὶ ἀποτίμημα: οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο, καὶ ὁ ἄρχων πέμπων τινὰς ἀπετιμᾶτο ταῦτα· καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα ἀποτιμήματα, οἱ δὲ ἀποτιμησάμενοι ἀποτιμηταί, ἡ δὲ πρᾶξις καὶ τὸ ἔργον ἀποτιμᾶν. καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ διδόντες ἤτοι παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον οἰκίαν ἢ χωρίον ταύτης ἄξιον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφειλημάτων, ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος δευτέρῳ. 15 20 25

Ἀποτείχισαι: τὸ λαβεῖν τειχίον καὶ ἀποτειχίσαι τῆς ἐξόδου. καὶ ἀποτετειχισμένος ὁ ἀπειλημμένος τῷ τείχει. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης.

Ἀποτίμησιν: τέλος ἢ φόρον. 30

Ἀπο τοῦ πράγματος: ἀντὶ τοῦ ἄποθεν.

Ἀποτραχύνεται: θρασύνεται.

Ἀποτρόπαιοι: φευκτοί, μισεῖσθαι ἄξιοι.

Ἀπότριψις, μελέτησις, ἀπάγγελσις, ἀγώνισις, προάγγελσις, τέκμαρσις, κάθεξις, πλάνησις, διάφευξις, ἄνοιξις, ἐφόρμησις, ὅπλισις, ξένισις, κούφισις, βλάψις, ἐπαίνεσις, ψόφησις, διάρπασις, γυναίκισις, λάλησις.

Ἀποτροπίασμα: ἐξίλασμα. ἢ τὸ ἀποτροπῆς ἄξιον, οἷον ἀποτρόπαιον. 5

Ἀποτριάσαι — οἱ δὲ ἀποτριάξαι διὰ τοῦ ξ —: πληγὰς τρεῖς δοῦναι.

Ἀποτρώγειν: ἀφαιρεῖν. οὕτω Μένανδρος Κυβερνήταις·

τί λέγων ἀποτρώγειν ἀξιώσει νῦν ἐμοῦ 10
τὸ μισθάριον; μένω γὰρ ἐξ ἐχθιζινοῦ.

Ἀποτυμπανίσαι: οὐχ ἁπλῶς τὸ ἀποκτεῖναι, ἀλλὰ τυμπάνοις ἀποκτεῖναι. τύμπανον δέ ἐστι ξύλον ὥσπερ σκύταλον. τὸ γὰρ παλαιὸν ξύλοις ἀνῄρουν τοὺς κατακρίτους, ὕστερον δ' ἔδοξε τῷ ξίφει. 15

Ἀποτυμπάνισον: ἄνελε, ὅ ἐστι φόνευσον.

Ἀποτυχίσαι: ἀποπελεκίσαι. καὶ ἀποτυχισθείς ἀποτιλθεὶς ἢ ἀποπελεκισθείς.

Ἀποφαντικός: σημαίνει κυρίως τὸν ἐμφαίνοντά τι νόημα, εἴτε διὰ καταφάσεως, εἴτε δὲ ἀποφάσεως. σημαίνει δὲ εἰδικῶς καὶ τὸν μὴ συγκατατιθέμενον. 20

Ἀποφάσκει: ἀπαγορεύει. ἢ ἀποφαντικῶς λέγει τι.

Ἀπόφημι: ἀποφαίνομαι.

Ἀποφῆναι: ἀποδεῖξαι,

Ἀποφυγγάνειν: ἀποφεύγειν καὶ ἀποφυγγάνειν ἐν τῷ κατὰ Ἀριστοκράτους Δημοσθένης. 25

Ἀπόφασις: Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος, ὁπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖ δὲ αὐτὸ καὶ ἀπογραφήν. 30

Ἀποφράδες ἡμέραι: ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπιφέρουσι. ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι. ἢ μιαραὶ ἡμέραι, μάλιστα ἐν αἷς τὰ ἐναγίσματα.

Ἀποφοράν: ἀντὶ τοῦ ἀπενεγκεῖν καὶ διάστημα ποιῆσαι μεταξύ. οὕτως Ἰσαῖος.

Ἀποφυσήσας: ἀποφυσήσας τὴν σποδὸν τῶν ἐγκρυβομένων ὠπτημένων. Σφηξὶν Ἀριστοφάνης·

κἄπειτ' ἀνελὼν μ' ἀποφυσήσας 5
εἰς ἅλμην ἔμβαλε θερμήν.

Ἀποφοιβάζων: ἀποκαθαίρων.

Ἀποφοιτᾶν: ἀποπηδᾶν, ἀναχωρεῖν.

Ἀποφηληκίσαι: ἀποπλανῆσαι.

Ἀποφανῶσαι: εἰς τὸ φανερὸν καταστῆσαι. οὕτω 10 Σοφοκλῆς.

Ἀπόφωλιοι: ξένιοι, οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος.

Ἀποφώλιον: ὀλίγου ἄξιον, ἀπαίδευτον, ἄτεχνον, μάταιον. οἱ δὲ ἄγριον, ἢ ἀδόκιμον, ἢ θηριώδη, ἀπὸ τῶν 15 φωλεῶν. ἔνιοι δὲ φωλεόν φασι τὸ λαμπρὰν δεῖπνον.

Ἀποφθεγγόμενος: μαντευόμενος.

Ἀποχώρησις: ἀντὶ τοῦ ἀποστροφή.

Ἀποχετεύονται: μεταφέρονται.

Ἀποχρᾷν: ἐξαρκεῖν. Ἡρόδοτος, 20

Ἀπόχρη: ἐξαρκεῖ.

Ἀποχρώντως: ἱκανῶς. Ἀριστοφάνης Ταγηνισταῖς·

ἀλλὰ στεφάνωσαι· καὶ γὰρ ἡλικίαν ἔχεις
ἀποχρῶσαν ἤδη.

Ἀποχρώσης: ἀρκούσης. 25

Ἀποχοιριάσαι: ἀποσκιρτῆσαι καὶ ἀπολακτίσαι. καὶ ἀποχοιριάζειν ἀποσοβεῖν, ἐξελαύνειν ὡς χοῖρον. ἔνιοι δὲ διὰ τοῦ κ, ἀποσκυρριάζειν.

Ἀποψοφεῖν: εὐσχήμως λέγων· εὐσχημονέστερον δὲ διαπνεῖν καὶ ἀποπνεῖν. 30

Ἀποψώμενον:

Ἀποψηφισθέντα: εἴ τις ξένος ἔδοξεν εἶναι καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπε-

ψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος. εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον, καὶ ἐκρίνετο ξενίας. καὶ εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος· εἰ δὲ ἐκρᾶτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. οὕτω Δημοσθένης· τίς γὰρ ὑμῶν οὐκ οἶδεν ἀποψηφισθέντα Ἀντιφῶντα;

Ἀποψηφίζονται: Δείναρχος ἐν τῷ κατὰ Ἀρχεστράτου, ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην. καὶ τὸ πρᾶγμα δὲ Δημοσθένης ἀποψήφισιν καλεῖ.

Ἀποψύχειν: τὸ ἀποθνήσκειν ἐν πρώτῃ Θουκυδίδης.

Ἀποψάς: ἀδελφοῦ ἢ ἀδελφῆς ὑποκόρισμα.

Ἀπριάτην: ἄνευ πράσεως.

Ἀπρίξ: ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς.

Ἀπροόπτως: ἀπροοράτως, ἀπροσδοκήτως.

Ἀπρόσβλητον: γενναῖον, ὃ οὐδεὶς δύναται προσβαλεῖν.

Ἀπροσδεής: μὴ χρήζων.

Ἀπροσήγορος ἄνθρωπος: ὃν οὐχ οἷόν τε προσαγορεῦσαι διὰ τρόπου τραχύτητα.

Ἀπρόσιτος: ἀπροσπέλαστος.

Ἀπρόσκλητον: τὴν οὐ προσκεκλημένην.

Ἀπροβούλευτον: τὸ μὴ πρότερον εἰς τὴν βουλήν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. οὕτω Δημοσθένης.

Ἀπροστασίου: εἶδός ἐστι δίκης κατὰ τῶν μὴ νεμόντων προστάτην μετοίκων. καὶ γὰρ ἕκαστος αὐτῶν ἠρεῖτό τινα τῶν πολιτῶν τὸν προστησόμενον αὐτῷ περὶ πάντων τῶν ἰδίων καὶ τῶν κοινῶν.

Ἀπρότων: Δείναρχος ἐν τῷ κατὰ Πυθαίου· ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον. ἔν τισι δὲ ὥσπερ παρνόπων γέγραπται· οἱ δὲ πάρνοπες γένος ἀκρίδος.

Ἀπρόσειλος: ᾧ οὐδεὶς προσειλεῖται. οὕτως Εὐριπίδης.

Ἀπράγμων: ἀντὶ τοῦ ἄπονος.

Ἄπροτόν: οἱ μὲν εἶδος εἶναι κογχυλίου φασίν, οἱ δὲ ἀκρίδων, οἱ δὲ μελιττῶν. ἕκαστον δὲ τούτων ἀγεληδὸν νέμεται, καὶ οἱ μὲν τὰ ἄνθη, οἱ δὲ τοὺς καρπούς, οἱ δὲ τὰ ποώδη σίνουσιν. ἀφ᾽ ὧν καὶ τοὺς κατὰ συμμορίαν κακούργους ἀπρότους ὠνόμασαν. 5

Ἅπτεσθαι: λαμβάνεσθαι.

Ἁπτόν: ψηλαφητόν.

Ἁπτῶν: δεσμεύων.

Ἄπυστα: ἀνήκουστα.

Ἄπυτοι: οἱ Ἀθηναῖοι ἀπὸ Θησέως. 10

Ἀπφά: ἀδελφῆς ἢ ἀδελφοῦ ὑποκόρισμα.

Ἀπῳδόν: τὸ τῆς ᾠδῆς ἀλλότριον.

Ἄπωθεν: χωρίς. ἢ πόρρωθεν.

Ἀπώμοτον: ἀπηγορευμένον, φευκτὸν καὶ ἀποίητον.

τί δ᾽ ἔστ᾽ Ἀθηναίοισι πρᾶγμ᾽ ἀπώμοτον; 15

Εὔπολις ἐν ταῖς Πόλεσιν.

Ἀπωτέρω: πόρρω.

Ἀπῴχοντο: ἀπεφέροντο.

Ἄρα: συλλογιστικὸς σύνδεσμος. καὶ ἀντὶ τοῦ δή καὶ ὡς ἔοικε καὶ ὡς φαίνεται. οὕτω Πλάτων. 20

Ἀραῖς: κατάραις.

Ἀράμενοι: ἐπάραντες.

Ἀράξαι: συντρῖψαι.

Ἄραρεν: κέκριται. ἢ οἷον βεβαίως οὕτως ἔχει καὶ ἀμεταπτώτως. 25

Ἀραφήνιος: δῆμος Αἰγηΐδος.

Ἄραρον: ἥρμοσαν.

Ἀραρώς: πάγιος ἢ βέβαιος.

Ἀραρυῖαν: ἡρμοσμένην.

Ἀρδάνιον: κεράμιον, γάστρα, ὅθεν τὰ θρέμματα πίνουσι. καὶ εἴρηται παρὰ τὸ ἄρδειν. ἐτίθετο δὲ καὶ πρὸ τῆς θύρας τῶν τετελευτηκότων τοῖς εἰσιοῦσι καὶ ἐξιοῦσιν, ἵνα περιῤῥαίνωνται. ἐχρῶντο δὲ καὶ αἱ γυναῖκες τῷ ἀρδανίῳ, αἱ τὴν κρόκην τρίβουσαι ἐπ᾽ αὐτοῦ. 30

Ἀράχνης: καὶ παρ᾽ Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ καλλίοις. λέγουσι δὲ καὶ ἀραχνικὰ ἀπὸ τῆς ἀράχνης ὀρθῆς. Καλλίας Κύκλωψι. θηλυκῶς δὲ Σοφοκλῆς Ἰνάχῳ·

πάντα δ᾽ ἐρίθων ἀραχνᾶν βρίθει. 5

Ἀργυρώματα: ἀργυρώματα καὶ χρυσώματα, ὁμοίως ὡς ἡμεῖς, Λυσίας.

Ἀργυρίδιον: ὡς ἡμεῖς, Εὔπολις Δήμοις·

ἐγὼ δὲ συμψήσας ἀργυρίδιον.

Ἀργύριον καὶ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀριστοφάνης Δαναΐσιν. 10

Ἀργυρῖται: οἱ ἀργυρίου εὐποροῦντες.

Ἄρασθαι: ἀπενέγκασθαι.

Ἀρασσόμενα: προσρηγνύμενα, προσκρουόμενα.

Ἀράττων: κρούων. 15

Ἀρᾶται: εὔχεται. ἢ καταρᾶται. ἢ ἐπιθειάζει. Φερεκράτης·

ὕστερον ἀρᾶται κἀπιθειάζει τῷ πατρί.

Ἀράκους: τὰ ὄσπρια, διὰ τοῦ κ, καὶ οὐχὶ διὰ τοῦ χ.

Ἄῤῥατον: ἰσχυρόν. ἢ δυσκίνητον. ἢ σκληρὸν καὶ ἀμετάστροφον. 20

Ἀργυραμοιβός: ὁ κέρμα ἀντὶ ἀργύρου ἀλλασσόμενος.

Ἀργυραμοιβός: ὁ τραπεζίτης, ὁ ἀργυροπράτης.

Ἀργυραμοιβάν: κολλεκτάριον. καλοῦσι δὲ οὕτω καὶ τὸν τραπεζίτην. 25

Ἀργαλέως: χαλεπῶς.

Ἀργιόδοντα: λευκόν. ἢ ὀξυόδοντα.

Ἀργιλώδης γῆ: λευκὴ καὶ καθαρά.

Ἀργίποδες: ταχεῖς, ὀξύποδες.

Ἄργας: ὁ δεινότατος παρ᾽ ἡλικίαν ἄργας καλεῖται. οὕτως ἔλεγον καὶ τὸν Δημοσθένην. ἄλλοι δέ φασι τοῦτον κακὸν ποιητὴν γεγονέναι. οἱ δὲ ὅτι κατὰ Δωριεῖς καὶ μάλιστα Ἀργεῖοι τὸν ὄφιν ἄργαν ἐκάλουν. Τί- 30

μάρχος δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν οὕτω καλεῖσθαί φησιν, ἀλλὰ γένος εἶναι ὄφεως τοὺς ἄργας.

Ἀργυρογνώμων: δοκιμαστής.

Ἀργέλοφοι: ποδεῶνες μηλωτῆς.

Ἀργυρίς: ἡ ἀργυρᾶ φιάλη, ὡς χρυσὶς ἡ χρυσῆ. 5

Ἀργυρὶς θήκη: διττὰ ἦν γραμματίδια, οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥστε γράφειν μόνον ἑαυτοῖς, τὰ δὲ ὥστε ἀργυρίδιον κατατίθεσθαι, ἃ καὶ κιβώτια ἐκάλουν, τὰ δ' ἄλλα μαρσύπια.

Ἀργυροκοπεῖον: ἐν ᾧ κόπτεται τὸ νόμισμα, ὃ νῦν 10 τινὲς σημαντήριον λέγουσιν.

Ἀργυρόποδα δίφρον: ὁ Ξέρξου δίφρος, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο. ἀνέκειτο δ' εἰς τὸν παρθενεῶνα τῆς Ἀθηνᾶς.

Ἀργυρίου δίκη: ὅταν τις προσήκειν αὐτῷ παρά τινος 15 ἀργύριον ᾤετο, δίκην αὐτῷ ἐλάγχανε, καὶ ἐκαλεῖτο ἀργυρίου δίκη.

Ἄργουσα: πόλις τῆς Εὐβοίας, ἐν τῇ Χαλκιδικῇ κειμένη.

Ἀργυροδίνης: καλὰς δίνας ἔχων. δῖναι δὲ αἱ τῶν 20 ὑδάτων συστροφαί.

Ἀρδεύειν: παρ' Ἀντιφάνει μόνῳ. ἐκ τοῦ ἐναντίου δὲ ἄρδειν, οὐκ ἀρδεύειν λέγουσιν.

Ἄρδηττος: τόπος ἐστὶν Ἀθήνησιν, ἐν ᾧ πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸν ὅρκον τὸν Ἡλιαστικόν. Θεόφραστος δὲ ἐν τοῖς περὶ νόμων καταλελύσθαι τὸ ἔθος τοῦτο λέγει. εἴρηται δὲ Ἄρδηττος ἀπὸ Ἀρδήττου ἥρωος, ὃς Ἀθηναίους στασιάζοντας εἰς ὁμόνοιαν συνῆψεν. ἐν τούτῳ δὴ τῷ χωρίῳ ὤμνυον οἱ δικασταὶ τὸν δικαστικὸν ὅρκον. τρεῖς δὲ θεοὺς ὤμνυον, 30 Δία, Δήμητραν καὶ Ἥλιον.

Ἀρεστήρ: εἶδος πρόπανου.

Ἀρετή: Ἀνδοκίδης καὶ Θουκυδίδης ἀντὶ τοῦ εὐδοξία.

Ἄρειος πάγος: δικαστήριον Ἀθήνησιν. ἦσαν οὖν Ἀθήνησι βουλαὶ δύο, ἡ μὲν τῶν πεντακοσίων, καθ' ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν, ἡ δὲ εἰς βίον τῶν Ἀρεοπαγιτῶν. ἐδίκαζε δὲ τὰ φονικά, καὶ τὰ ἄλλα πολιτικὰ διῴκει σεμνῶς. ἐκλήθη δὲ Ἄρειος πάγος ἤτοι ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον. Ἄρειος δὲ ἐπεὶ τὰ φονικά· δικάζει δὲ ὁ Ἄρης ἐπὶ τὸν φόνον. ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ὁ Ἄρης ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιῤῥοθίου δίκῃ, ὅτε ἀπέκτεινεν αὐτὸν βιασάμενον Ἀλκίππην, τὴν αὐτοῦ καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατρός, ὡς φησιν Ἑλλάνικος ἐν πρώτῳ.

Ἄρθμιος: ὄνομα κύριον.

Ἀριστῆσαι: Ἀραρὼς Καμπυλίωνι.

Ἀριστεροστάτης ἐν τῷ κωμικῷ καλεῖται χορῷ, ἐν δὲ τῷ τραγικῷ μέσος ἀριστερῶν. Κρατῖνος Σεριφίοις.

Ἀριστεύς: ὄνομα κύριον.

Ἀριστερός: ὁ ἀμαθὴς καὶ τῷ δεξιῷ ὑπεναντίος.

Ἀρισταίων: ὄνομα κύριον. ἔστι δὲ Σάμιος μὲν ἢ Πλαταιεύς, ἐκ μειρακυλλίου δὲ ἑταῖρος Δημοσθένους. ἐπέμφθη δὲ ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν. μνημονεύει αὐτοῦ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους.

Ἀρίβαλλος: οὐ μόνον παρὰ Στησιχόρῳ καὶ ἄλλοις Δωριεῦσιν, ἀλλὰ καὶ ἐν Ἱππεῦσιν Ἀριστοφάνους·

εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀριβάλλῳ.

Θεόπομπος.

Ἀρηΐφατος: ὁ ἐν πολέμῳ ἀποθανών.

Ἀριστίνδην: κατ' ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίστων νομοθετῶν.

Ἀρκτεῦσαι: Λυσίας τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι ἀρκτεύειν ἔλεγε. καὶ γὰρ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, ὡς Εὐριπίδης καὶ Ἀριστοφάνης. καὶ ἄλλως ἀρκτεῦσαι λέγεται τὸ ὥσπερ ἄριστον ἀφοσιώσασθαι τῇ Ἀρτέμιδι καὶ θῦσαι. ἐῤῥή-

θη δὲ ἐκ τοῦ ἄρκτον ποτὲ φανῆναι, ὡς λόγος, ἐν Πειραιεῖ καὶ πολλοὺς ἀδικεῖν, εἶτα ὑπὸ νέων τινῶν αὐτὴν ἀναιρεθῆναι, καὶ λοιμὸν ἐπιγενέσθαι, χρῆσαί τε τὸν θεὸν τιμᾶν τὴν Ἄρτεμιν καὶ θύσαι κόρην τῇ ἄρκτῳ. τῶν οὖν Ἀθηναίων πράττειν τὸν χρησμὸν μελετώντων, εἷς τις ἀνὴρ οὐκ εἶα, αὐτὸς εἰπὼν καταθύσειν. ἔχων οὖν αἶγα, καὶ ὀνομάζων ταύτην θυγατέρα, ἔθυσε λάθρᾳ· καὶ ἐπαύσατο τὸ πάθος. εἶτα τῶν πολιτῶν διαπιστούντων, ἔφη ὁ ἀνὴρ ἐπερωτᾶν τὸν θεόν. τὸν δὲ ἂν εἰπόντα θῦσαι καὶ τὸ λοιπὸν οὕτως ποιεῖν φήσαντος, ἐξεῖπε τὸ λάθρᾳ γεγονός. καὶ ἀπὸ τούτου αἱ κόραι πρὸ τοῦ γάμου ἀρκτεύειν οὐκ ὤκνουν, ὥςπερ ἀφοσιούμεναι τὰ τῆς θηρίας.

Ἄρκτον: ἄρκτον, οὐχὶ ἄρκον. Ὀδυσσεὺς ἐν ἀριστέῳ ἀεὶ τὴν ἄρκτον ἔχων λάμπουσαν ἕως ἀνευφερής. τὸν μέντοι ἄνεμον ἄνευ τοῦ τ̄, ὡς ἡμεῖς, ἀπαρκίαν, διὰ τὸ εὔφωνον. καὶ τὴν πνοὴν ἄρκιον·

καὶ μὴν πελάζει καὶ καταψύχει πνοὴ
ἄρκιος.

Ἀρκτοῦρος: Ἀρκτοῦρος λέγεται καὶ αὐτὸς ὅλος ὁ Βοώτης. ἰδίως δὲ ὁ ὑπὸ τὴν ζώνην αὐτοῦ ἀστήρ.

Ἀρκύωρος: ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἔστι δὲ ταῦτα τὰ κυνηγετικὰ πάντα λίνα.

Ἄρκυς: λίνα καὶ δίκτυα. ἐκτείνεται ἡ ὑστέρα συλλαβὴ ὁμοίως ἐπί τε τῆς ὀρθῆς καὶ τῆς αἰτιατικῆς πτώσεως· αἱ ἄρκυς γὰρ καὶ τὰς ἄρκυς.

Ἁρμάτειον μέλος: εἴρηται εἰς τὸ ἐτυμολογικόν.

Ἁρμόδιος: ἀρεστός, φίλος καὶ ἡρμοσμένος.

Ἁρμοσταί: οἱ ὑπὸ τῶν Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες καὶ φρούραρχοι ἐκπεμπόμενοι, παρὰ τὸ ἁρμόζειν καὶ καθιστᾶν τὰς ὑπ' αὐτῶν φυλαττομένας πόλεις.

Ἅρμενα: τὰ ἁρμόζοντα.

Ἀρνακίδα: τὸ κώδιον, ὡς ἡμεῖς.

Ἄρνυσθαι: ἀντικαταλλάσσεσθαι. ὅθεν καὶ τὸ μισθαρνεῖν τὸ μίσθὸν ἀντί τινος λαμβάνειν λέγεται. λαμβάνεται καὶ ἀντὶ τοῦ περιποιούμενος καὶ ἀντὶ τοῦ φυλάττων. οὕτω Πλάτων. 5

Ἀρότους: τοὺς ἐνιαυτούς. οὕτω Σοφοκλῆς.

Ἀροῦν: ἀροῦν, οὐκ ἀροτριᾶν λέγουσιν.

Ἀρόσομεν: τὸ ἀροτριάσομεν.

Ἁρπεδόνη: ἡ διὰ σπάρτου θήρα.

Ἁρπαγή: ὀξυτόνως ἡ ἁρπαγή, τὸ δὲ σκεῦος βαρυτόνως, ἵν' ᾖ ὄνομα. 10

Ἅρπην: δρέπανον. Σοφοκλῆς Νόμῳ Σατυρικῷ.

Ἀῤῥωστία τοῦ στρατεύειν: ἀντὶ τοῦ ἀπροθυμία. Θουκυδίδης.

Ἄῤῥατον: ἰσχυρόν, στερεόν. οὕτω Πλάτων. 15

Ἀῤῥωδεῖν: τὸ δεδοικέναι. καὶ διὰ τοῦ ο. μᾶλλον δὲ τοῦτο Ἑλληνικόν.

Ἀῤῥηφορεῖν: τέσσαρες μὲν ἐχειροτονοῦντο τῶν εὐγενῶν, δύο δ' ἐκρίνοντο, αἵ τινες ἦρχον τῆς ὑφῆς τοῦ πέπλου καὶ τῶν ἄλλων τῶν περὶ αὐτήν. λευκὴν δὲ ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγένοντο. 20

Ἀῤῥαβών: ἐν τοῖς δύο ῥῥ λεκτέον.

Ἀῤῥενωπούς: ἀῤῥενωποὺς καὶ ἀῤῥενωπάδας τὰς γυναῖκας καλοῦσιν. 25

Ἀῤῥάβακα: τὴν ὀρχηστρίδα, ἢ καὶ τὸν ὀρχηστήν. ἢ καὶ βλάσφημον, ἀπὸ τοῦ ἀῤῥαβάσσειν, ὅ ἐστιν ὀρχεῖσθαι.

Ἀῤῥηφορεῖν: τὸ τὰ ἀπόῤῥητα καὶ μυστικὰ φέρειν. καὶ ἀῤῥηφόροι καὶ ἀῤῥηφορία ὁμοίως.

Ἀῤῥίχοι: κόφινοι οἰσύϊνοι, οὓς ἀρσίκους οἱ Ἴωνες, θηλυκῶς δὲ οἱ Ἀττικοὶ τὰς ἀῤῥίχους φασίν. 30

Ἀῤῥύ: ἐπίφθεγμα ἐρετῶν, ὥσπερ τὸ ῥυπαπαί καὶ ἕτερα τοιαῦτα.

Ἀῤῥω-

Ἀῤῥωστήμων: Εὔπολις Αὐτολύκῳ.

Ἄρσεων: βασταγμάτων.

Ἄρση: ποτίσει.

Ἀρτάβη: μέτρον ἐστὶ Περσικόν. οὕτως Ἡρόδοτος.

Ἄρταμος: κρεουργός, μάγειρος. τάττει αὐτὸ Σοφοκλῆς ἐπὶ τοῦ φονέως. 5

Ἀρτάνη: κυρίως μὲν ἡ τῶν καλωδίων ἀγχόνη. Σοφοκλῆς δὲ ἐν Αἰχμαλωτίσιν ἐπὶ τοῦ δεσμοῦ.

Ἄρτημα βαλαντίου: ὁ δεσμὸς τοῦ βαλαντίου. ἢ ὁ τελαμών, ἐξ οὗ ἤρτηται. 10

Ἄρτι: ἐπὶ τοῦ ἀπηρτισμένως καὶ πεπληρωμένως. λέγεται δὲ ἄρτι καὶ τὸ μέρος τοῦ παρεληλυθότος, συνάπτον τῷ νῦν, ἐναντίως ἔχον τῷ αὐτίκα· τοῦτο γὰρ κατὰ τὸ μέλλον συναπτει.

Ἀρτιάζειν: τὸ παίζειν ἄρτια ἢ περιττὰ καρύοις ἢ ἀστραγάλοις τοιούτοις. Πλάτων Λύσιδι· ἢ ἀρτιάζων ἀστραγάλοις παμπόλλοις ἐκ φορμίσκων τινῶν προορώμενοι. 15

Ἀρτησμός: ἀνακρεμασμός.

Ἀρτικροτεῖσθαι: συμφωνεῖσθαι· 20

ἀρτικροτοῦνθ' οἱ γάμοι,

φησὶ Μένανδρος.

Ἀρτιμελής: ὑγιὴς τοῖς μέλεσιν.

Ἀρτίφρονες: σώφρονες.

Ἀρτοπόπον καὶ Ἀττικοὶ καὶ Ἴωνες τὸν ἀρτοποιόν. ἔστι δὲ τὸ ἀρτοποιεῖν ἐν Μονοτρόπῳ Φρυνίχου. 25

Ἀρτοσιτεῖν: τὸ ἐναντίον τῷ ὀψοφαγεῖν. Πλάτων ἐν Ὑπερβόλῳ κέχρηται τῷ ὀνόματι.

Ἀρτήρ: ὑποδήματος γένος. Φερεκράτης Γραυσίν.

Ἄρται: ἐπικρέμαται. 30

Ἄρτια: ἡρμοσμένα, τέλεια, ὑγιῆ. λέγεται δὲ ταῦτα καὶ ἄρμενα.

Ἀρτεμισία: δύο γεγόνασι, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι, ὧν ἡ μὲν πρώτη γέγονε κατὰ τὰ Περσικά, ἡ δὲ νεωτέρα, ἧς καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς Ῥοδίων ἐλευθερίας μνημονεύει, θυγάτηρ μὲν ἦν Ἑκατόμνου, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσωλοῦ. 5

Ἀρτίως: τελείως, ὑγιῶς. οὐ μόνον δὲ ἄρτι τὸ πρὸ ὀλίγου. Φερεκράτης Μυρμηκανθρώποις·

ξένη γυνὴ γραῦς, ἀρτίως ἀφιγμένη.

Ἄρτος: ὄνομα τυράννου.

Ἀρτιεπής: ἀπηρτισμένος ἐν τῷ λέγειν. 10

Ἀρτιθαλῆ: νεόφυτα.

Ἀρτεμίσιον ἰδίως μὲν Ὑπερίδης ὠνόμασε πολλάκις τὸ τῆς Ἀρτέμιδος ἄγαλμα· λέγεται δὲ καὶ ἀκρωτήριόν τι τῆς Εὐβοίας, οὗ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος μνημονεύει. 15

Ἀρτίπους: ὑγιεῖς τοὺς πόδας ἔχων.

Ἀρτίστομος: ὁ σαφὴς καὶ ἡδὺ φθεγγόμενος. οὕτω Δημοσθένης.

Ἀρτύειν: σκευάζειν.

Ἀρτύναντες: παρασκευάσαντες. 20

Ἄῤῥυθμος: ἀδιατύπωτος, ἀκανόνιστος, μὴ ἔχων ῥυθμόν. ῥυθμὸς γὰρ ὁ τύπος.

Ἀρυσάμενος: ἀντλήσας.

Ἀρύτεσθαι: σὺν τῷ τ λέγουσι, καὶ οὐκ ἀρύεσθαι. Πλάτων Νόμοις: ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δὴ καὶ ὁπόσον καὶ ὁπότε. 25

Ἀρύβαλλος: τὸ ἑλκυστὸν βαλάντιον.

Ἀρύει: βοηθεῖ.

Ἀρυστίχους: τὰς οἰνοχόας καὶ κοτύλας.

Ἀρύβας: 30

Ἀρχαῖον: ἐχρήσαντο πάντες οἱ ῥήτορες ἐπὶ τοῦ δανειζομένου ἀργυρίου καὶ ἐπὶ τοῦ παλαιοῦ.

Ἀρχαῖος: ἀντὶ τοῦ εὐήθης, Πλάτων. Ἰσοκράτης δὲ ἐν τῷ Πανηγυρικῷ τὸ ἀρχαιοτρόπως εἰπεῖν, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Δημοσθένης δὲ ἐν τοῖς Φιλιππικοῖς εἰπὼν οὕτω δὲ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς, ἀντὶ τοῦ ἁπλῶς ἔλαβεν. 5

Ἀρχαίως: ἀπραγμόνως, ἀπαρατηρήτως. ἢ καὶ ἠλιθίως.

Ἀρχεῖα: ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται, χαρτοφυλακεῖον. ἢ τὰ χωρία τῶν κριτῶν. ἢ ἀρχαίως. Ξενοφῶν ἱστοριῶν ὀγδόῳ.

Ἀρχαϊκόν καὶ πάντα τὰ τοιαῦτα διὰ τῶν δύο ῖι. 10 Νεφέλαις Ἀριστοφάνης·

ὡς παιδάριον εἶ καὶ φρονεῖς ἀρχαϊκά.

Ἀρχέτυπον: πρωτότυπον.

Ἀρχηγέται: ἡγεμόνες οἱ ἐπώνυμοι τῶν φυλῶν. Ἀριστοφάνης Γήρᾳ· 15

ὁ δὲ μεθύων ἤμει παρὰ τοὺς ἀρχηγέτας.

Ἄρχοντες οἱ ἐννέα τίνες: θεσμοθέται ἕξ, ἄρχων, βασιλεύς, πολέμαρχος. καὶ πρὸ μὲν τῶν Σόλωνος νόμων οὐκ ἐξῆν αὐτοῖς ἅμα δικάζειν, ἀλλ' ὁ μὲν βασιλεὺς καθῆστο παρὰ τῷ καλουμένῳ βουκολίῳ — τὸ δὲ 20 ἦν πλησίον τοῦ πρυτανείου —, ὁ πολέμαρχος ἐν Λυκείῳ, καὶ ὁ ἄρχων παρὰ τοὺς ἐπωνύμους, οἱ θεσμοθέται παρὰ τὸ θεσμοθέσιον. κύριοί τε ἦσαν ὥστε τὰς δίκας αὐτοτελεῖς ποιεῖσθαι. ὕστερον δὲ Σόλωνος οὐδὲν ἕτερον αὐτοῖς τελεῖται, ἢ μόνον ὑποκρίνουσι τοὺς ἀντιδίκους. 25

Ἀρχαιρεσιάζειν: Δείναρχος τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα.

Ἀρχαιρεσιάζειν: τὸ πρὸς χάριν τινὶ ζητεῖν.

Ἀρχαιρεσίας: ἀρχαιρεσίας λέγουσι πληθυντικῶς, οὐκ ἀρχαιρεσίαν δέ, οὐδὲ ἄλλως πως. 30

Ἀρχιερέων: οὐκ ἀρχιερέα, Πλάτων ἑνδεκάτῳ Νόμων ὀξεῖαν μέσην συλλαβήν.

Ἀρχιδάμειος πόλεμος: τοῦ Πελοποννησιακοῦ πολέμου τὰ πρῶτα ἔτη. Ἀρχιδάμειος δὲ ἐκλήθη πόλεμος ἀπὸ τοῦ Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν.

Ἄρχῆθεν: οὐκ ἔστι παρὰ τοῖς Ἀττικοῖς, πλὴν παρ' Αἰσχύλῳ. παρ' Ἡροδότῳ δὲ ἔστι καὶ τοῖς Ἴωσιν. 5

Ἀρχιθεωρός: ὁ ἡγούμενος τῶν θεωρῶν. θεωροὶ δὲ οἱ τὴν θεωρίαν φέροντες τοῖς θεοῖς εἰς τοὺς καλλινίκους ἀγῶνας, καὶ ὑπὲρ τῶν πατρίδων θύοντες.

Ἄρχων: ἀφ' οὗ ὁ ἐνιαυτὸς ἐπώνυμος γενόμενος ἐμετρεῖτο. ἦν δὲ ὁ ἄρχων τῶν ἐννέα εἷς. οἱ δὲ ἐννέα συνίσταντο ἔκ τε θεσμοθετῶν καὶ βασιλέως, πολεμάρχου καὶ ἄρχοντος. ἐπεσκόπουν δὲ αἱ τέσσαρες αὗται ἀρχαὶ καὶ κοινάς τινας διοικήσεις καὶ ἰδίας ἕκαστος. 10

Ἀρχιτέκτων: δύο σημαίνει, τὸν τῶν οἰκοδομημάτων εἶναι ἐπιστάτην καὶ κυρίως τὸν ἄρχοντα τῶν τεκτόνων, ὃς καὶ τὴν διάθεσιν τοῦ κατασκευάσματος ἐπινοεῖ. λέγεται δὲ ἀπὸ τούτων ἀρχιτέκτων καὶ ὁ κατασκευάσας τινὶ καὶ ὁ σκευωρησάμενος πρᾶγμά τι. Δημοσθένης τούτῳ τῷ ἀρχιτέκτονι τῆς ὅλης φησὶν ἐπιστολῆς. 15 20

Ἀρωγή: βοήθεια.

Ἀρωγός: ὠφέλιμος.

Ἀρώματα οὐ τὰ θυμιάματα οἱ Ἀττικοὶ καλοῦσιν, ἀλλὰ τὰ ἐσπαρμένα.

Ἀσαφές: ἀνόητον, ἄδηλον. 25

Ἀσάλπιγκτον ὥραν: τὸ μεσονύκτιον. οὕτω Σοφοκλῆς.

Ἀσαλὴς μανία: ἡ μηδενὸς φροντίζουσα· σάλη γὰρ ἡ φροντίς. οὕτως Αἰσχύλος.

Ἄσαι: βλάψαι. οὕτως Αἰσχύλος. 30

Ἄσβεστος: ἀκατάπαυστος.

Ἄσβολος: θηλυκῶς ἡ ἄσβολος· οὐδὲ γὰρ ἀρσενι-

κῶς ὁ ἄσβολος. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις·

τὰ πλεῖστα γὰρ
ἀποπεπόνηκας. φεῦ! ἰοῦ τῆς ἀσβόλου!

Ἀσέλγεια: ἀντὶ τοῦ πολυτέλεια. οὕτως Αἰσχίνης.

Ἀσέλγεια: πορνεία, ἀκαθαρσία. παρῆκται δέ, ὥς φασιν, ἐξ αἰτίας τοιαύτης. Σέλγη πόλις ἐστὶ τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν. κατ' ἐπίτασιν οὖν τὸ ἀσελγαίνειν.

Ἀσελγές: πᾶν τὸ σφοδρὸν καὶ βίαιον. καὶ ἀσέλγεια ἡ μετ' ἐπηρεασμοῦ καὶ θρασύτητος βία. καὶ ἀσελγὴς ὁ ἀνάγωγος. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· τὴν μὲν ἀσέλγειαν ἀεὶ καὶ τὴν ὕβριν, ἣ πρὸς ἅπαντας ἀεὶ χρῆται. καὶ ὁ κωμικός· ὥςπερ ἀνέμου ἐξαίφνης ἀσελγοῦς γενομένου. καὶ Φερεκράτης· οἷον αὐτόπνιγος ὡς ἀσελγής φησί που. καὶ ἀσελγόκερων κριόν Πλάτων τὸν μεγαλόκερων, ἢ τὸν χαλεπὸν καὶ βίαιον τοῖς κέρασιν.

Ἄσεπτον: τὸ ἀσεβές.

Ἄση: λύπη.

Ἀσήμαντα: τὰ λεγόμενα ἀσφράγιστα· καὶ γὰρ σημεῖα τὰς σφραγῖδας ἔλεγον.

Ἀσημάντοις: ἀφυλάκτοις, οὐκ ἔχουσι σημάντορας τοὺς ἐπιστάτας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν σφραγίδων.

Ἄσθμα: πνοή.

Ἀσθμάζειν: ἀντὶ τοῦ ἀσθμαίνειν.

Ἀσθμαίνει: πνευστιᾷ.

Ἀσία ὑπὸ τῶν παλαιῶν πᾶσα λέγεται, ἧς οἱ Πέρσαι τὴν ἀρχὴν ἐκέκτηντο, οὐχ ἡ νῦν ἰδίως ὀνομαζομένη οὕτως.

Ἀσιάς: ἡ κιθάρα, ἀπὸ Ἀσίου τινός. καὶ Ἀσίω καὶ Ἀσιώνη ἡ ἀπὸ Ἀσίας, τῆς μητρὸς Προμηθέως. Δοῦ-

ριν δὲ Ἀριστοτέλης φησὶ λέγειν, ὅτι ἐκλήθη Ἀσιὰς ἀπὸ τῶν χρωμένων Λεσβίων, οἵ τινες οἰκοῦσι πρὸς τῇ Ἀσίᾳ. οἱ δὲ ἀπὸ Τυῤῥήνου Λυδοῦ, εὑρόντος πρώτου τὸ τρίγωνον ὄργανον. οἱ δὲ ἀπὸ Τερπάνδρου.]

Ἀσιάδος κρούματα: τῆς κιθάρας. οὕτως Ἀριστοφάνης. 5

Ἀσκαλαβώτην, οὐχὶ καλαβώτην λέγουσι. μᾶλλον δὲ γαλεώτην. Μένανδρος οὕτως.

Ἀσκληπιεῖον: πεντασυλλάβως λεκτέον.

Ἀσκέραι: ὑποδήματα Ἀττικά.

Ἄσκευον: ἀντὶ τοῦ ἀπαράσκευον. 10

Ἀσκήσασα: κοσμήσασα, μετ᾽ ἐπιμελείας ὑφάνασα.

Ἄσκησις: ἐγκράτεια.

Ἄσκησις: ἀγωνίαν καί, ὡς ἡμεῖς, τὸ δεδιέναι καὶ προςδοκᾶν τὸ μέλλον λέγουσιν.

Ἄσκοπον: ἀντὶ τοῦ ἀπροςδόκητον. 15

Ἀσκητικός: φιλομαθής, φιλόσοφος.

Ἀσκούμενος: κατασκευάζων, κοσμῶν.

Ἀσκωλίζοντες: ἐφ᾽ ἑνὸς ποδὸς ἐφαλλόμενοι, χωλαίνοντες, ἢ στερούμενοι τῶν κατὰ φύσιν· ὅθεν καὶ σκιμβάζειν τὸ αὐτὸ λέγουσιν οἱ Ἀττικοί. 20

Ἀσκάντης: κλινίδιον εὐτελὲς καὶ ὑπὸ τῶν Ἀττικῶν.

Ἀσκαρδὰ μυκτὶ ὁρᾷν: μὴ καταμύοντα. Ἀριστοφάνης:

βλέψον εἰς ἐμὲ
ἀσκαρδαμυκτί.

Ἀσκορδίνωτος: ὁ μὴ σκορδινώμενος. σκορδινᾶσθαι δέ ἐστι τὸ τὰ μέλη κινεῖν, ὃ καὶ μάλιστα ἐπὶ τῶν ἀφυπνισθέντων συμβαίνει. 25

Ἀσκοθύλακον: Διοκλῆς Βάκχαις καὶ Ἄρχιππος Ἀμφιτρύωνι δευτέρῳ.

Ἄσμα: τὸ δίασμα. καὶ Σώφρων καὶ ἄττεσθαι, ὃ ἡμεῖς διάζεσθαι. μεταβολῇ τῶν δύο σσ εἰς τὸ ζ ἐγένετο. 30

Ἄσμενος: χαίρων, ἡδέως, προθύμως.

Ἀσολοίκως: τὸ ἀφελῶς.

Ἀσπαίροντες: σκαρίζοντες.

Ἀσπαλιά: ἁλιέως ἔργα. καὶ ἀσπαλιεύς ὁ ἁλιεύς, ἀπὸ τοῦ ἀποσπᾶν τὴν ἄγραν.

Ἄσπαστοι: ἄσμενοι, θεοειδεῖς, ἡδεῖς.

Ἀσπασίως: προσηνῶς, φιλοφρόνως. 5

Ἀσπίς: ὅπλον, σκουτάριον. λέγεται δὲ καὶ ζῶον.

Ἄσπονδοι ἐχθροί: ἀδιάλλακτοι.

Ἀσπάζεσθαι: καὶ τὸ προσαγορεύειν, ὡς ἡμεῖς, καὶ τὸ χαίρειν τινὶ ἁπλῶς, καὶ ἀγαπᾶν καὶ φιλοφρονεῖσθαι. ἀσπαζόμεθα, καὶ σὺν τῷ σ 10

ἀσπαζόμεσθ' ἐρετμά.

Ἀσπασία: πολυθρύλητος γέγονεν. ἦν δὲ γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους. Περικλέους δέ φασιν αὐτὴν διδάσκαλον ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμοιν αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ 15 τοῦ Πελοποννησιακοῦ. δοκεῖ δὲ ἐξ αὐτῆς ἐσχηκέναι Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον.

Ἀσπάθητον χλαῖναν: ἀνύφαντον.

Ἀσπλήκησεν: τοῖς δακτύλοις ἐψόφησεν.

Ἀσπάλαθος: εἶδος ἀκάνθης τραχυτάτης. 20

Ἄσπουδος: ὁ μὴ σπουδαῖος. οὕτως Ἀρχίδης. Εὔπολις Πόλεσιν:

ἄσπουδος δ' ἀνὴρ

σπουδαίου κακίων.

Ἄσσιστα: ἔγγιστα. 25

Ἄσσα: ἄτινα.

Ἄσταχυς: ἄσταχυς καὶ ἀσταφίς. καὶ ὅλως τὸ πλεονάζειν τῷ α ἐν ἀρχῇ τῶν τοιούτων ὀνομάτων Ἀττικόν ἐστιν. Ὅμηρος·

ἐπί τ' ἠμύει ἀσταχύεσσιν. 30

Κρατῖνος·

φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις.

Ἀστεῖόν τι καὶ κατερρινημένον εἰπεῖν: κωμι-

κὴ ἡ συμπλοκή. σημαίνει δὲ τὸ κατερρινημένον τὸ ἄκρως διειργασμένον. ἐν συνουσίᾳ χρῶ.

Ἄστεγος: ὁ μὴ στέγην ἔχων. λέγεται δὲ καὶ ὁ φλύαρος καὶ ἀνυπομόνητος.

Ἀστεῖος: εὐσύνετος, εὐπρόσωπος, χαρίεις, γελοιώδης καλῶς, πολιτικευόμενος, ἀπὸ τοῦ ἄστεος. 5

Ἀστεῖος καὶ ἀστικός, διττῶς. Μένανδρος:

προποιήσεις ἀστικὸν σαυτὸν πάλιν.

Ἀλκαῖος Πασιφάῃ·

νῦν οὖν γένοιτ' ἀστεῖος, οἰκῶν ἐν πόλει. 10

Ἀστείους: ἀστεϊζομένους, πολιτικευομένους. εὐφημότερον ἀστεΐζεσθαι τὸ ὡραΐζεσθαι, γελωτοποιεῖν, σκώπτειν.

Ἀστεΐζεσθαι: τὸ χαριεντίζεσθαι. καὶ ἀστεῖος ὁ χαρίεις. 15

Ἀστεΐζεται: ὡραΐζεται, κομψεύεται.

Ἀστάθμητος: ἄνισος.

Ἀστράβη: τὸ ἐπὶ τῶν ἐφίππων ξύλον, ὃ κρατοῦσιν οἱ καθεζόμενοι. καὶ αὐτὸ τὸ νωτοφόρον ὑποζύγιον. καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ οἱ ἄνθρωποι ὠχοῦντο, οὕτως ἐκαλεῖτο, ὡς καὶ Δημοσθένης κατὰ Μειδίου. 20

Ἀστράγαλος: κυρίως τὸ συνήθως λεγόμενον. καὶ ὁ σφόνδυλος τοῦ τραχήλου. καὶ ὁ πεττικός. καὶ βοτάνη δὲ οὕτω καλεῖται. ἀστραγάλους δὲ οἱ Ἀττικοί· τὸ γὰρ θηλυκὸν Ἰακόν. καὶ παρ' Ὁμήρῳ τινὲς θηλυκῶς, οἷον 25

νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς.

Φερεκράτης Δουλοδιδασκάλοις·

ἀντ' ἀστραγάλων τοῖς κονδύλοισι παίζετε. 30

Πλάτων Λύσιδι· ἠρτίαζον ἀστραγάλοις παμπόλλοις. λέγουσι δὲ καὶ ἀστρίχους. Ἀντιφάνης Ἐπιδαυρίῳ·

ἐπαίζομεν μὲν ἀρτίως τοῖς ἀστρίχοις.

Ἀστρίχους τοὺς ἀστραγάλους λέγουσιν, ὡς ἀνωτέρω εἴρηται.

Ἀστυγείτων: πλησιόχωρος.

Ἀστεμφέα: ἀμετακίνητον, βέβαιον. ἢ ἀντὶ τοῦ ἀστεμφῶς. 5

Ἀστερόεντα: ἤτοι ἀστέρας ἐμπεποικιλμένους ἔχοντα.

Ἀστέρων τέθριππος: τὸ ἅρμα τοῦ ἡλίου.

Ἄστεσι: πόλεσιν.

Ἀστειβής: ἀσφαλὴς ἢ ἄβατος. 10

Ἀστεϊζόμενος: ἀγλαϊζόμενος, ὡραϊζόμενος, κομψευόμενος.

Ἀστεϊσμός: πιθανολογία.

Ἀστός: πολίτης.

Ἀστραβηλάτης: ὀνηλάτης. 15

Ἀστυπολεῖν: τὸ ἐν ἄστει διατρίβειν, ἄγριον ὄντα.

Ἀσταθμητότατον: περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι οὐδὲ σταθμήσασθαι, τί ποτε διανοεῖται ἢ τί πράξει. Δημοσθένης ἐν τῷ παραπρεσβείας.

Ἄστικτον χωρίον: τὸ μὴ ὑποκείμενον δανειστῇ. 20 ὅταν γὰρ ὑποκέηται αὐτῷ, τοῦτο ὁ δανείσας διὰ γραμμάτων δηλοῖ ἐπικειμένων τῷ χωρίῳ. τὸ δὲ αὐτὸ καὶ ἐπὶ οἰκίας γίνεται.

Ἀστυνόμοι: δέκα ἦσαν ἀστυνόμοι, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δὲ ἐν ἄστει, οἷς ἔμελε περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ κοπρολόγων καὶ τῶν τοιούτων. 25

Ἀσταφίδα: ἀσταφίδα καὶ ὀσταφίδα οἱ Ἀττικοί, ἑκατέρως. Νικοφῶν ἐν Χειρογάστορσιν ὀσταφίδα εἴρηκεν. 30

Ἀστάνδης: γραμματοφόρος. Περσικὸν τὸ ὄνομα.

Ἀστείων: τῶν ἐν ἄστει διατριβόντων.

Ἄστεκτα: ἀβάστακτα, ἀνυπομόνητα, οὐ δυνάμενα κατασχεθῆναι.

Ἀστικὸν ἐμπόριον: ἐν ᾧ οἱ ἀστοὶ Ἀθήνησιν ἐνεπορεύοντο. ἦν δὲ καὶ ἄλλο ξενικόν, ἐν ᾧ οἱ ξένοι.

Ἀστόξενοι: οἱ γένει ἐξ ἀρχῆς προσήκοντες, ἐπὶ δὲ τῆς ἀλλοδαπῆς γεγονότες. 5

Ἀστυφίαν: ἀστυφίαν καὶ ἀστυσίαν, διά τε τοῦ φ καὶ του σ ὁμοίως. καὶ ἐπὶ τοῦ ἀσίτου λέγουσιν.

Ἀστυφίαν παρὰ τὴν ἀναγορασίαν, ἣν ἐκήρυσσον ἐν ταῖς ἐκκλησίαις. 10

Ἀσύμβατον: ἀφιλίωτον.

Ἀσυνάρτητον:

Ἀσυνδυάστως: ἀσυμπλόκως, ἀσυζεύκτως.

Ἀσυνθεσία: παράβασις συνθηκῶν.

Ἀσύνθετος: ἀσύμφωνος, ἄμικτος. 15

Ἀσύντακτον: μὴ συντεταγμένον, μὴ συμφραξάμενον.

Ἀσυντελής: ἀσύμφορος, ἀχρήσιμος.

Ἀσύφηλον: ἀπαίδευτον, ἀνόητον.

Ἀσυνθετώτατον: Δημοσθένης ἐν τῷ παραπρεσβείας ἐπὶ ὄχλου τάττει τὸ ὄνομα, ἀντὶ τοῦ ἀπιστότατον καὶ 20 ἀβεβαιότατον καὶ πίστεις διὰ τὸ βέβαιον οὐ τιθέμενον. ἢ ἀνομολόγαιον, ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον. Ὅμηρος δὲ ἀντὶ τοῦ ὃ μὴ δύναταί τις συνιέναι, τί ποτε φρονεῖ. φησὶ γάρ· 25

σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

Ἀσφάλεια: ἀσφάλεια μὲν καὶ ἀσφαλές Ἑλληνικά, τὸ δὲ ἀσφαλίζεσθαι βάρβαρον.

Ἀσφαλεστέρους: Πλάτων Πολιτείᾳ.

Ἀσφάραγον: φάρυγα, στόμαχον, λαιμόν. λέγεται δὲ 30 καὶ τὸ ἀκανθῶν ἀποφυόμενον βλάστημα. ἔστι δὲ καὶ βοτάνης εἶδος ἀσφάραγος, πρὸς τὰς καθάρσεις ἐπιτή-

δειρον. οὕτω μὲν οἱ Ἀττικοὶ διὰ τοῦ φ̄ τὴν λέξιν προφέρουσιν, οἱ δὲ πολλοὶ μὴ ἀκριβοῦντες διὰ τοῦ π̄ λέγουσι, καὶ ἁπλῶς τὰ τῶν λαχάνων ὄρμενα ἀσπαράγους καλοῦσιν.

Ἀσφόδελος: σκιλλῶδες φυτόν, φύλλα ἔχον μακρὰ καὶ ἀνθέρικον ἐσθιόμενον. καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον, καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην καὶ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσι. προπαροξυτόνως δὲ ἀναγνωστέον· 5 10

οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ ἔν ὄνειαρ.

τὸν δὲ τόπον, ἐν ᾧ φύεται, ὀξυτονητέον, ὡς καὶ παρ' Ὁμήρῳ·

κατ' ἀσφοδελὸν λειμῶνα.

Ἀσχάλλων: ἀδημονῶν, λυπούμενος, χαλεπαίνων, ἀγανακτῶν. 15

Ἀσχέτως: ἀμέτρως.

Ἀσχολοῦμαι: ἀσχολοῦμαι καὶ ἀσχολεῖ καὶ ἀσχολεῖσθαι. ταῦτα Μένανδρος λέγει. Φιλήμων δὲ καὶ ἀσχολεῖ. 20

Ἀσχέδωρος: παρ' Αἰσχύλῳ ὁ ἐκ τῆς ἰδίας ἀλκῆς ἄσχετα δωρούμενος, οἷον βίαιος. Ἰταλιῶται τὸν σύαγρον ἀσχέδωρον καλοῦσιν.

Ἀσώδης ἐστίν: ἐφυλώδης δὲ Αἰσχύλος. ὁ δ' ἰατρὸς τὸν πρὸς τὰ σιτία ἀτάκτως διακείμενον καὶ ἀηδῶς. 25

Ἄσωτος: αἰσχρῶς.

Ἀταλαίπωρον: ἄπονον. ἢ τὸ ἐξ ἑτοίμου λεγόμενον καὶ οὐ μετὰ ἀποδείξεως. ἢ τὸ εὐχερὲς καὶ φανερόν.

Ἀταλαιπώρως: ῥᾳθύμως, ὀλιγώρως. Ἀριστοφάνης Δαναΐσιν· 30

οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

Ἀτάλαντον: ἴσον, παραπλήσιον.

Ἀταλῆσιν: ἀπαλαῖς, νεογναῖς.

Ἀναμίευτον: ἀδιοίκητον. ἢ οὗ περ οὐκ ἔστι ταμιεῖον. λέγεται δὲ καὶ τὸ πρόχειρον καὶ ἐν ἑτοίμῳ.

Ἀτάρ: καὶ δή. ἢ πλήν, ἅτε δή. ἢ ὅμως. ἀντὶ τοῦ δέ.

Ἀτάρ: δέ, πλήν, ὅμως. 5

Ἀτάρβητος: ἄφοβος, ἄτρομος.

Ἀτὰρ ὡς: εἶτα δὴ ὅμως.

Ἀτὰρ οὖν: διὰ τοῦτο οὖν.

Ἀταρνεύς: πολίχνιόν τι καταντικρὺ Λέσβου κείμενον.

Ἀτάσθαλα: ἄδικα, ἁμαρτωλά. 10

Ἀτέγκταις: τοῖς μήτε δακρύουσι μήτε ἱδρῶσιν, ἀβρόχοις.

Ἄτεγκτος: ἄπιστος καὶ ἀναίσθητος ἄνθρωπος, οἷον μήτε παραινέσει μήτε φόβῳ τὴν πώρωσιν καὶ τὸ τοῦ ἤθους σκληρὸν τεγγόμενος καὶ μαλαττόμενος. λέγεται 15 δὲ ἄτεγκτος κυρίως καὶ ὁ ἄβροχος, ἐξ οὗ καὶ ὁ μὴ δακρύων καὶ ὁ μὴ ἱδρῶν.

Ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν: ὁ μὴ βρεχόμενος μηδὲ προσιέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡς ἡ πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ 20 ὕδατος διαβρέχεσθαι.

Ἄτε: ὡς ἄν.

Ἀτέγκτως: ἐσχάτως.

Ἄτε δή: ὡς δή.

Ἀτέκμαρτον: ἀτελείωτον, ἀκαταστόχαστον. 25

Ἀτελῆ: ἀδάπανα, ὡς καὶ πολυτελῆ τὰ πολυδάπανα.

Ἀτέλεια: ἀλειτουργησία.

Ἀτελεύτητον: ἀτελείωτον. ἢ ἀΐδιον, οὐκ ἔχον τελευτήν.

Ἀτενές: εὐθύ, συνεχές, παντελῶς, καθόλου, παραχρῆμα, ἄγαν, ἰσχυρῶς. 30

Ἄτερ: ἐκτός, χωρίς.

Ἄτερα: ἄλλα.

Ἀτεράμων: ἀκαταπόνητος.

Ἀτεράμονες: οὐχὶ ἀτέραμνοι. καὶ τὸ ἐνικὸν ἀτεράμων, οὐχὶ ἀτέραμνος. καὶ ὄσπρια ἀτεράμονα, οὐχὶ ἀτέραμνα. Ἀριστοφάνης Ἀχαρνεῦσιν· 5

ἀτεράμονες Μαραθωνομάχαι σφενδάμνινοι.

Ἀτέραμνον: δυσμετάβλητον.

Ἀτερμάτιστος: ἀβέβαιος, ἀθεμελίωτος.

Ἀτέχνοις: ἀπανούργοις ἢ ἀπείροις.

Ἀτεχνῶς: περισπωμένως μὲν ἀντὶ τοῦ ἀληθῶς, σαφῶς, 10 ἁπλάστῳ· ἢ ἀσφαλῶς, ἢ φανερῶς, ἢ βεβαίως. παροξυτόνως δὲ ἀντὶ τοῦ ἀμελῶς, ἀμαθῶς καὶ ἄνευ τέχνης.

Ἀτημελήτους: ἀπρονοήτους, λίαν ἠμεληκότας.

Ἀτημελῶς: ἀμελῶς, ἀνεπιστημόνως.

Ἀτηρότατον: Σφίξι. Πλάτων δ' ἐν Φάωνι ἀτηρίας. 15

Ἀτιμώρητος: ἀβοήθητος ἢ θαυμαστός, ἔστι δ' ὅτε καὶ ὁ κακός.

Ἀτίθασον: ἀνήμερον.

Ἄτιμος λέγεται μὲν ὁ ἀπεστερημένος τῆς ἐπιτιμίας, ὥστε μήτε βουλεύειν μήτε δικάζειν μήτε τὰ κοινὰ 20 πολιτεύεσθαι ὅλως· Δημοσθένης δὲ καὶ τὸν ἀτιμώρητον ἄτιμον εἶπεν, οἷον τὸν τοῦ τιμήματος καὶ τῆς καταδίκης ἀφειμένον. καὶ πάλιν ἄλλως ὃν ὅν τις ἀποκτιννὺς οὐχ ὑπόκειται ἐπιτιμίῳ, ἀλλ' ἔστι καθαρὸς αἰτίας, οἷον τὸν ἄτιμον ἀνελών. 25

Ἀτίμητος ἀγών καὶ τιμητός: ἀτίμητος μὲν ὁ μηδὲν ἐκ τῶν νόμων ὡρισμένον ἔχων τίμημα, ἀλλὰ τῇ τῶν δικαστῶν γνώμῃ ἰθυνόμενος· οἱ δικάζοντες γὰρ ἐτιμῶντο, τί δεῖ παθεῖν ἢ ἀποτῖσαι· τιμητὸς δὲ ὁ ἐκ τῶν νόμων ἔχων ὡρισμένον τὸ τίμημα. 30

Ἀτιμαγέλης: ὁ ἀποστάτης τῆς ἀγέλης ταῦρος. οὕτω Σοφοκλῆς.

Ἀτλήτῳ: ἀνυπομονήτῳ.

Ἀταλάντη: τριήρης τίς ἐστιν ἐπονομασθεῖσα ἀπὸ Ἀταλάντης, ἥτις ἦν ὀξυτάτη δραμεῖν. ἢ ὅτι ἰσόζυγος ἦν, ὡς

Διὶ μῆτιν ἀτάλαντος. 5

Ἀτμίς: ἀναθυμίασις, ἄκρον πυρός.

Ἀτμῶν: ἀναθυμιάσεων.

Ἄτοπον: ἀντὶ τοῦ ἄλογον, θαυμάσιον, παράδοξον, ξένον, κακόν, μοχθηρόν, καὶ ὃ μὴ ἔχει τόπον. καὶ τὸ ἀνυπονόητον, οἷον ὃ μὴ ἔστι τοπάσαι. καὶ ἀτόπως τὸ 10 ἀσυνήθως καὶ ἀνεπιφάτως.

ἀτόπως καθίζων κοὐδὲ γιγνώσκειν δοκῶν

φησὶ Φερεκράτης.

Ἄτομα: λεπτότατα.

Ἄτρακτον: βέλος, μεταφορικῶς. 15

Ἀτραπούς: ὁδοὺς τετριμμένας.

Ἀτραπητός: ὁδός.

Ἀτρεκεῖ: ἀληθεῖ, ἀκριβεῖ.

Ἀτρεκές: ἀληθές, ἀκριβές.

Ἀτρέμας: ἠρέμα. καὶ ἀτρέμα λέγουσι καὶ ἀτρεμεῖν. 20

Ἀτρεμία: ἡσυχία.

Ἀτρεμίζων: ἑδράζων.

Ἄτρυτος: ἀκαταπόνητος.

Ἀτρύφερος: ἔστιν ἡ λέξις ἐν Βάπταις Εὐπόλιδος· 25

ὅτι οὐκ ἀτρύφερος οὐδ᾽ ἄωρός ἐστ᾽ ἀνήρ.

Ἀτραπίζειν: βαδίζειν ἢ ὁδοποιεῖν. οὕτω Φερεκράτης Αὐτομόλοις·

ἀτραπίζοντες τὰς ἁρμονίας διὰ πασῶν.

Ἀττέλεβος: ἀκρίς τις. 30

Ἄττει: ὁρμᾷ, βαδίζει, ἐγγίζει.

Ἄττα: σημαίνει μὲν ἡ φωνὴ τὸ τινά, ὁπότε ψιλοῦται,

ἢ καὶ τὸ ὀλίγα ἢ παραπλήσιον· ὁπότε δὲ δασύνεται, τὸ ἄτινα, ὅπερ οἱ Ἴωνες ἄσσα λέγουσι. σημαίνει δὲ καὶ τὸ ἅπερ ἄν. ἐνίοτε δὲ καὶ ὡς παρέλκον ἐστί. παραλαμβάνεται δὲ καὶ τὸ πότε καὶ τὸ ὅμοιον καὶ τὸ πηνίκα. Δημοσθένης δὲ ἐν τῷ παραπρεσβείας ἐπὶ τοῦ ὅσα ἔλαβε τὴν λέξιν. τῶν δὲ κωμικῶν τις τὸ ἄττα ἐπὶ ἀριθμοῦ ἔταξεν, ἕτερος δὲ ἐπὶ χρόνου. 5

Ἄττα: τέσσαρα σημαίνει. ἀντὶ μὲν τοῦ ὅσα ἢ ἄτινα παρὰ Ἀντιφῶντι, ἀντὶ δὲ τοῦ τινά παρὰ Δημοσθένει ἐν Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα. 10

Ἄττης: παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόπολος τῆς μητρὸς τῶν θεῶν.

Ἀττικοῖς γράμμασιν: Δημοσθένης κατὰ Νεαίρας, ἀντὶ τοῦ παλαιοῖς. τὴν γὰρ τῶν εἴκοσι τεσσάρων στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. 15

Ἀττικισμός: ἢ πρὸς τοὺς Ἀττικοὺς οἰκειότης καὶ εὔνοια, ὡς Λακωνισμὸς ἡ πρὸς τοὺς Λάκωνας.

Ἄττην, οὐχὶ ἄττεια. Θεόπομπος Καπήλισι·

κολάσομεγ' ἔσω καὶ τὸν σὸν ἄττην. 20

Ἀτταγᾶς: ὄρνις οὕτω καλεῖται ὑπὸ τῶν Ἀττικῶν. Ἀριστοφάνης Σφηξί·

τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.

καὶ οἱ πλάγιοι ατταγᾶν. καὶ ἀττάγας πληθυντικῶς.

Ἀττάρατοι οἱ ψίχες ὑπὸ τῶν Ἀττικῶν καλοῦνται. 25

Ἀττεσθαι: ὃ ἡμεῖς διάζεσθαι. Ἑρμιππος Ἀθηνᾶς γοναῖς·

ἀπὸ τῆς τραπέζης τουτονὶ τὸν στήμονα
ἄττεσθ' ἐπινοῶν.

Ἀττικουργές: τὸ εἰργασμένον τὸν Ἀττικὸν τρόπον. οὐ μόνον ὑποδήματα καὶ σκεῦος, ἀλλὰ καὶ ῥήματα καὶ εἴ τι ἄλλο. Ἀττικούργη φησί που Μένανδρος. 30

Ἀτυχῆσαι: μὴ τυχεῖν.

Ἀτυχεῖν: τὸ μὴ τυγχάνειν τινός, ἀλλὰ διαμαρτάνειν. Εὔπολις Δήμοις·

λέγ' ὅτου ἐπιθυμεῖς· οὐ γὰρ ἀτυχήσεις ἐμοῦ.

Ἀτυφία: ταπεινοφροσύνη. Μένανδρος Κυβερνήταις· εἰς τὴν πονηρίαν ἀτυφίαν νομίσαντές ποτε ἀξιοῦσι πέρας. 5

Ἀτύφου μοίρας: τῆς ἀβλαβοῦς ὑπὸ τύφου.

Ἄτυφον: ἐν Φαίδρῳ τὸ ἀβλαβές, ἐπεὶ τὸ τῦφον βλάπτει. καὶ ἐπιτεθυμμένον ὁμοίως· τὸ γὰρ θύψαι ἐπικαῦσαι, καὶ θυμάλωπες οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες οἱ ἡμίκαυστοι. 10

Αὖ: ποτὲ μὲν ἀντὶ τοῦ πάλιν ἢ δή. Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου πρώτῳ. ποτὲ δὲ ἐκ περιττοῦ τιθέασιν.

Αὐάνεται: ξηραίνεται. αὖοι γὰρ οἱ ξηροί, καὶ αυασμὸς ἡ ξηρασία. ἡ πρώτη δασεῖα. 15

Αὐάνθη: ἐξηράνθη.

Αὔδα: λέγε.

Αὐδή: φωνή.

Αὐδήεσσα: ὀνομαστή, ἔνδοξος, αὐδωμένη, εἰς ὁμιλίαν καὶ φωνὴν ἀνθρώπων ἀφικνουμένη. 20

Αὐδήσας: βοήσας, φωνήσας.

Αὐθάδης: αὐτάρεσκος, θυμώδης, θρασύς, ὑπερόπτης.

Αὐθαίρετος: αὐτεπάγγελτος.

Αὐθέκαστα: αὐτὰ τὰ γενόμενα, οἷον ἀκριβῶς καὶ συντόμως καὶ ἀποτόμως. καὶ λόγοι αὐθέκαστοι οἱ σαφεῖς καὶ σύντομοι, ἢ οἱ ἀληθεῖς. Ἡρόδοτος δὲ διαλύων φησὶν αὐτὰ ἕκαστα, οἷον αὐτὴν τὴν ἀλήθειαν. λέγεται δὲ αὐθέκαστα καὶ τὰ αὐτόματα καὶ σκληρά. Μένανδρός φησί· 25 30

πικροῦ γέροντος αὐθεκάστου τοῦ τρόπου.

Ποσείδιππος δὲ ἀντὶ τοῦ ἁπλοῦ ἐχρήσατο.

Αὐθέ-

Αὐθέκαστος: ὁ ἀκριβὴς καὶ αὐστηρὸς τῷ λόγῳ καὶ ἀπαρέγκλητος τῷ τρόπῳ. καὶ αὐθέκαστα τὰ ἁπλᾶ καὶ ἀκριβῆ καὶ ἀληθῆ αὐτοαληθῶς.

Αὐθέντης: οὐχ ὁ δεσπότης, ἀλλ' ὁ αὐτόχειρία φονεύς. λέγεται δὲ ὁ αὐτὸς ἐντελέστερον καὶ αὐτοέντης. 5

Αὐθημερόν: αὐτῇ τῇ ἡμέρᾳ. Θουκυδίδης πρώτῳ.

Αὖθι: αὐτόθι.

Αὖθις: ἐξ ἀρχῆς, πάλιν, ἐκ δευτέρου. σημειωτέον δὲ ὅτι τὸ μὲν αὖθις Ἀττικόν, τὸ δὲ αὖτις Ὁμηρικόν.

Αὐθιγενής: αὐτόχθων, γνήσιος. 10

Αὖθις αὖ πάλιν: ἐξαρχῆς δὴ πάλιν, ἢ ἐκ δευτέρου δὴ πάλιν.

Αὐθωρήτους: συντόμους.

Αὐλαία: τὸ τῆς σκηνῆς παραπέτασμα. κέχρηται δὲ αὐτῷ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. 15

Αὐλία θύρα πυλῶν καὶ ἡ αὔλιος. ἢ ἀντὶ τοῦ ἔπαυλις. ἢ ἀντὶ τὰς μικρὰς αὐλάς. οὕτω Λυσίας καὶ Αἰσχίνης.

Αὐλίζεται τὸ ἐν αὐλῇ διατρίβει καὶ ἰδίως τὸ κοιμᾶται Εὔπολίς φησιν·

ἐγὼ δ' ἄδειπνος ἑσπέρας αὐλιζόμην. 20

σημαίνει δὲ καὶ τὸ φυλάττει, παρεμβάλλει.

Αὐλίζεσθαι: τὸ ἐπὶ τῆς αὐλῆς. διανυκτερεύειν καὶ κατάγεσθαι καὶ ἐπαυλίζεσθαι καὶ ἐπιμένειν.

Αὐλιζόμενοι: Ἀντιφῶν, ἀντὶ τοῦ κοιμώμενοι.

Αὐλίκουροι: φύλακες. 25

Αὐλισμόν: ἐπὶ τῆς αὐλῆς διανυκτερεύειν.

Αὐλός: ὁ εἰς εὐθὺ ἑξακοντισμὸς τοῦ αἵματος, καὶ περόνης τι μέτρον, καὶ μουσικῆς τι ὄργανον.

Αὐλών: ἔστι μὲν τόπος ἐπιμήκης καὶ στενός, ἀγκάλαις οἷον περιεχόμενος. λέγεται δὲ ἰδίως καὶ τόπος τῆς Ἀττικῆς, καὶ αὐτὸς ἐπιμήκης ὢν καὶ στενός. 30

Αὐλῶνες: φάραγγες ἢ τόποι πλατεῖς περὶ τὰ ὄρη.

Αὐλωνίζουσα: ἐναύλως διάγουσα.

Αὔληρον: ἵμας ἢ σχοινίον, ὅπερ Ἴωνες ἐὔληρον.

Αὔξην: αὔξην καὶ ἄνθην καὶ βλάστην. προοξυτονεῖν ἀξιοῦσι πάντα τὰ τοιαῦτα.

Αὖξις: εἶδος θύννιδος, ἣν τινες κορδύλην λέγουσι. Φρύνιχος Τραγῳδοῖς· 5

καὶ τέμαχος αὔξιδος.

Αὔραν: πνοήν.

Αὐρίβατον: τὸ αὖρι τιθέασιν ἐπὶ τοῦ ταχέως καὶ τάχα, οὐκ ἀπὸ τῆς αὔρας, ἀλλὰ κατά τινα βαρβαρικὴν λέξιν. τάχα δὲ καὶ ἀπὸ τοῦ αὔριον. 10

Ἄῦσαι: βοηθῆσαι. καὶ τὸ θιγεῖν καὶ ἅψασθαι. ἔνιοι δὲ ἀντὶ τοῦ κορέσαι.

Ἀϋσάντων: βοησάντων, φωνησάντων, κηρυξάντων.

Αὐσονίων: Ἰταλῶν. 15

Ἀϋτήν: βοήν, μάχην.

Αὐτὰ ταῦτα: ἀντὶ τοῦ δι' αὐτὰ ταῦτα.

Αὐτόκαρπον: τὸ ἐξ αὐτοῦ κάρπιμον.

Αὐτὴ νῦν ἡ σοφία ζῇ: ἐπί τινος εὐδοκιμοῦντος.

Αὐτὴ νῦν ἀνθεῖ ἡ μοῦσα: ὅμοιον τῷ προτέρῳ καὶ πολιτικώτερον. 20

Αὖτε: μετὰ ταῦτα.

Αὐτερέται: οἱ ἐλαύνοντες καὶ μαχόμενοι, οἱ αὐτοὶ καὶ ἐρέται καὶ ὁπλῖται.

Αὐτήκοοι: οἱ μὴ ἐπιτασσόμενοι, αὐτοὶ δὲ ἑαυτῶν ἀκούοντες. 25

Αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν: λεγόμενόν τι ἐπὶ τῶν ἀποτυγχανόντων.

Αὐτῆμαρ: ἐν αὐτῇ τῇ ἡμέρᾳ.

Αὐτίτην: τὸν αὐθιγενῆ οἶνον. Ἀμφικτύοσι Τηλεκλείδης. 30

Αὐτίκα: εὐθέως, παραχρῆμα, συντόμως, πρὸ ὀλίγου ἢ

μικρὸν ὕστερον. τὸ δὲ αὐτίκα μάλα ἀντὶ τοῦ εὐθύς.

Αὐτοβοεί: τὸ παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ. οὕτω Θουκυδίδης· τὸν ἁλόντα κλέπτοντα ἐξεῖναι αὐτοβοεὶ λαβόντα τρῶσαι. παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος. 5

Αὐτοβοᾶς ὅμοιος ὢν τῷδε: Ἀττικῶς πάνυ συμπέπλεκται. σημαίνει δὲ οἷον αὐτὸς ἑαυτῷ μαρτυρεῖς κεκραγὼς ὅμοιος εἶναι τῷδε. 10

Αὐτόκακον ἔοικε τῷδε: ἄκρως καὶ καθ᾽ ὑπερβολὴν ἔοικε τῷδε.

Αὐτόδαξ: τὸ παραχρῆμα ἀποδεδώκασιν.

Αὐτοδοκεῖν: Δείναρχος ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν. 15

Αὐτοκράτορα: πάντα τὸν ἀνυπεύθυνον.

Αὐτολήκυθοι: Δημοσθένης κατὰ Κόνωνος. ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας καὶ μηδὲν ἄλλο κεκτημένους. ἢ ληκύθους ἢ αὐτουργούς. ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους, καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύρια. καὶ λύσαντες δὲ πολλάκις τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν. καὶ ὁ πένης, ἀπὸ τοῦ ἑαυτῷ τὰς ληκύθους εἰς τὰ βαλανεῖα εἰσφέρειν. οἱ δὲ ἄσωτος, ἀπὸ τοῦ ἐν ταῖς ληκύθοις ἔχειν τὰ σύμβολα καὶ φέρειν εἰς τὰ συμπόσια. 20 25

Αὐτογένεθλον: αὐτογέννητον. 30

Αὐτοετές: σὺν αὐτῷ τῷ ἔτει.

Αὐτόθεν: ἐκεῖθεν.

Αὐτολόχευτος: αὐτογέννητος. ἢ ὡς τινες, ὁ θεὸς δηλονότι.

Αὐτόλυκος: Ἀρεοπαγίτης οὗτος ἦν, καὶ τοὺς οἰκείους ὑπεκτιθέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω, καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί. 5

Αὐτόλυκοι: πρόνητες, οἷον αὐτοδιάκονοι.

Αὐτομόλως: προδοτικῶς.

Αὐτονυχί: αὐτῇ τῇ νυκτί.

Αὐτομαχεῖν: τὸ δι' ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι' ἑτέρου. 10

Αὐτόπρεμνον: αὐτόῤῥιζον.

Αὐτόσιτος: ὁ οἰκόσιτος.

Αὐτόσε: ἐκεῖσε.

Αὐτοτελής: τέλειος.

Αὐτοσχέδιον: ἐκ τοῦ σύνεγγυς τόπου, ἐκ χειρός. 15

Αὐτοσχεδίως: αὐτομάτως, συντόμως.

Αὐτονομουμένη πόλις: ἡ τοῖς ἑαυτῆς νόμοις χρωμένη καὶ οὐχ ὑπακούουσα ἑτέροις.

Αὐτόχειρες: οἱ ἑαυτοὺς φονεύοντες.

Αὐτοχειρία: τὸ τῇ ἑαυτοῦ χειρὶ ποιῆσαί τι. 20

Αὐτοτελὴς δίκη: ἀφ' ἧς οὐκ ἔστιν ἐκκαλέσασθαι ἐφ' ἑτέραν. καὶ αὐτοτελές τὸ κύριον ἁπλῶς.

Αὐτόχρημα ὅμοιον: παντελῶς ὅμοιον.

Αὐτόχθων: τῆς αὐτῆς πόλεως.

Αὐτόχθονες: οἱ Ἀθηναῖοι, ἢ ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. αὐτόχθονες δὲ καὶ οἱ Ἀρκάδες καὶ Αἰγινῆται καὶ Θηβαῖοι ἐκαλοῦντο. 25

Αὔτως: ὡς ἔτυχεν.

Αὐτοῖς τοῖς ταλάροις ἐσθίεις τὸν τυρόν: σύντροφον τοῖς Ἀθηναίοις ἄνευ τῆς σὺν προθέσεως λέγειν αὐτοῖς τοῖς ὅπλοις, αὐτοῖς τοῖς ταλάροις. 30

Αὐτομαχῆσαι: ὅταν ἀντιποιῆταί τις οἰκίας ἢ χωρίου, καὶ εἴη ὁ πεπρακὼς μὲν ἀξιόχρεως, ὥςτε δοκεῖν ἀποτῖσαι τὴν ζημίαν καὶ συνίστασθαι τὴν δίκην πρὸς τὸν ἀντιποιούμενον, βούλοιτο δὲ ὁ διακατέχων τὴν οἰκίαν ἢ τὸ χωρίον ἴδιον αὐτῷ γενέσθαι ἀγῶνα πρὸς τὸν ἀμφισβητοῦντα, τοῦτο αὐτομαχῆσαι λέγεται. 5

Αὐτοκέρας: αὐτόκρατον, οἷον εὐκέραστον, συμμέτρως κεκραμένον.

Αὐτόκρανον λόγον: τὸν ἐξ ἑαυτοῦ τὸ τέλος ἐπιφέροντα. οὕτως Αἰσχύλος. 10

Αὐτογνωμονήσαντες: ἰδιογνωμονήσαντες.

Αὐτοκάρδαλον: Εὔπολις Μακαρίκαση.

Αὐτόθι: Ξενοφῶν ἐν τρίτῳ Ἀπομνημονευμάτων. Ἡρόδοτος ἐν ἱστοριῶν τρίτῳ ἀντὶ τοῦ αὐτός.

Αὐτόπαιδα: αὐτὸν τρόπῳ τινὶ παῖδα ὄντα. οὕτω Σοφοκλῆς. 15

Αὐτόπεδον: τὸ πεζῇ ὁδεύειν.

Αὐτόποκον: ἱμάτιον τὸ ἐξ αὐτοῦ τοῦ πόκου εἰς κρόκην βληθέν, ὃ καὶ αὐτοπυρίτην καλοῦσιν.

Αὐτόπωλοι: τῇ τῶν καπήλων ἀντικείμενοι τέχνῃ. καὶ Πλάτων Πολιτικῷ· καθάπερ ἡ τῶν καπήλων τέχνη τῆς τῶν αὐτοπώλων διώρισται τέχνης. 20

Αὐτόριζον: αὐτόρεκτον, οἷον τὸν ἑαυτὸν ἀποκτείναντα. ῥέξαι γὰρ τὸ θύσαι. ἢ αὐτὸν ἐφ' ἑαυτὸν ὀρέγοντα τὴν χεῖρα. Ὅμηρος· 25

ἔγχει ὀρεξάσθω.

Αὐτόν: Σοφοκλῆς ἀντὶ τοῦ ἐμαυτόν, καὶ Λυσίας ἐν τῷ κατὰ Ἰφικράτους, καὶ πολλοὶ ἄλλοι. σημαίνει δὲ καὶ τὸ μόνος. 30

Αὐτόσσυτον: αὐτοκέλευστον. οὕτω Σοφοκλῆς.

Αὐτοτελῶς: σημαίνει μὲν τὸ τελείως. Λυσίας δὲ ἀν-

τὶ τοῦ ὡς ἔτυχεν ἐχρήσατο· ὡς ἂν τῷ ὑπευθύνου καὶ τοῦτο ἐποιήσαμεν οὐκ αὐτοτελῶς, ἀλλ' ἀκριβῶς. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ αὐτόποκον ἱμάτιον· δηλοῖ γὰρ τὸ ἐξ αὐτοῦ τοῦ πόκου εὐθὺς εἰς κρόκην ἐργασθέν. 5

Αὐτόχειρα: οὐ τὸν ἑαυτὸν ἀνελόντα μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ πράξαντος ὁτιοῦν τῇ ἑαυτοῦ χειρί. οὕτω Θεόπομπος καὶ Ἀριστοφάνης.

Αὔχημα: σεμνολόγημα.

Αὐχμηράν: στυγνὸν ἢ σκοτεινόν. 10

Αὐχμοί: ἀνομβρίαι.

Αὐχμώδους: ξηροῦ, ῥυπῶντος.

Αὐχμῶντες: στυγνοί.

Αὐχοῦντες: καυχώμενοι.

Ἀφαγνίσαι: ἀποδοῦναι, καθιερῶσαι. λέγεται καὶ τὸ 15 συλῆσαι.

Ἀφαίρεμα: ἀνάθεμα, δῶρον ἢ ξένιον.

Ἀφαίρεσις: Ὑπερίδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει.

Ἀφαιρεῖν κροκύδας: ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας. ἄλλοι τε χρῶνται καὶ Ἀριστοφάνης· 20 εἴ τις κολακεύει παρὼν καὶ τὰς κροκύδας ἀφαιρῶν.

Ἁφαῖς: πληγαῖς. καὶ τὰ προσεγγίσαι καὶ ἅψασθαι.

Ἀφανὴς οὐσία λέγεται ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι, φανερὰ δὲ ἡ ἔγγειος. οὕτω Λυσίας.

Ἀφανίσαι: οὐ τὸ μολῦναι καὶ χρᾶναι μόνον δηλοῖ, 25 ἀλλὰ ὅλως τὸ ἀνελεῖν καὶ ἀφανὲς ποιῆσαι, ὅπερ ἐκάλουν ἀϊστῶσαι.

Ἀφαυία: ἡ ἔχθρα.

Ἀφαμαρτούσῃ: ἀποτοχούσῃ. στερηθείσῃ.

Ἀφασία: ἀφωνία. ἀφημία τῶν πέντε αἰσθήσεων, ἀπὸ 30 τοῦ ἀφῶ ῥήματος δευτέρας συζυγίας, ἐξ οὗ παράγωγον γέγονε τὸ ἀφάσσω. ἡ δὲ ἀφὴ δύναται ἀπὸ τοῦ ἀφῶ περισπωμένου καὶ τοῦ ἄφω βαρυτόνου γεγονέναι.

Ἀφὰς λύχνων: Ἡρόδοτος λέγει.

Ἀφάσσων: ψηλαφῶν. Ἡρόδοτος.

Ἀφαυροτέροις: ἀσθενεστέροις.

Ἀφαυροῦ: ἀσθενοῦς.

Ἀφάψαι: προκολλῆσαι. 5

Ἀφεῖσθαι παίζειν λέγεται ἐπὶ τῶν ἐν ταῖς ἑορταῖς ἀργούντων καὶ πρὸς παιδιὰν ἀφειμένων, μάλιστα δὲ ἐπὶ τῶν παίδων ἀφειμένων παίζειν.

Ἀφείλετο καὶ τὰ ὅμοια διὰ τοῦ ε̄, ἐφ᾽ ὧν τὸ πρῶτον πρόσωπον διὰ τοῦ ο̄, τὸ δὲ δεύτερον διὰ τῆς οῡ. ὅτε δὲ 10 τὸ πρῶτον διὰ τοῦ ᾱ, τότε τὸ δεύτερον διὰ τοῦ ω̄.

Ἀφειλόμην διὰ τοῦ ο̄. τὰ δὲ βάρβαρα διὰ τοῦ ᾱ, οἷον ἀφείλαμην καὶ ἀφείλατο. ὁμοίως καὶ τὸ ἀφείλω. τὸ δὲ ἀνάλογον ἐπὶ πάντων ἐστὶ τῶν ὁμοίων.

Ἀφεὶς καὶ ἀπαλλάξας: τὸ μὲν ἀφείς ἐστιν, ὅταν 15 ἀπολύσῃ τις τῶν ἐγκλημάτων, ὧν ἐνεκάλει αὐτῷ· τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν. οὕτω Δημοσθένης καὶ Ἰσαῖος.

Ἀφεῖται: δύο σημαίνει. ἀφίεται μὲν παρὰ Θουκυδίδῃ, ἀφήκατο δὲ παρὰ Δημοσθένει. 20

Ἀφειδία: καρτερία.

Ἀφειδήσας: ἀμελήσας.

Ἀφεδρῶν: αἱ σέλλαι, σελλάρια, σωτήρια.

Ἀφέμενον: ἀποστάντα, ἀντιλέγοντα.

Ἀφέξει: ἀποκωλύσει, ἀποστήσει. 25

Ἀφέξομαι: παύσομαι, ἀποστήσομαι.

Ἀφέσθαι: ἀποσχέσθαι.

Ἀφέσται:

Ἀφ᾽ ἑστίας: ἀπὸ τῆς οἰκίας.

Ἀφετηρία: ἀρχή, θύρα τοῦ ἱπποδρομίου. 30

Ἀφελές: τὸ ὑγιὲς καὶ ὁλόκληρον, ἢ τὸ ἁπλοῦν καὶ ἀκατασκεύαστον. Ἀριστοφάνης Ἱππεῦσι·

διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρέσυρεν.

καὶ οἱ βασιλεῖς καὶ οἱ ἱερεῖς ἐδοκιμάζοντο Ἀθήνησιν, εἰ ἀφελεῖς καὶ ὁλόκληροι. ἔστι μὲν γὰρ ὁ μὲν οὐκ ἀφελὴς ὁ βεβλαμμένος τι τοῦ σώματος, ἢ καὶ ᾧ πρόσεστί τι μὴ φύσει προσῆκον· οὐχ ὁλόκληρος δέ, ου τι ἄπεστι καὶ ὁ ἐλαττούμενός τινι τῶν κατὰ φύσιν. 5

Ἀφελοῦ: περισπᾶν ἀξιοῖ Ἀμμώνιος.

Ἀφεῖσαν: συνεχώρησαν.

Ἀφεῦσαν: ἀφῆκαν. Πλάτων καὶ Ἕρμιππος. 10

Ἀφ' ἑσπέρας: οὐκ ἀπεσπέρας, ἀλλὰ περὶ λύχνων.

Ἀφεῦσαι ἀποκαῦσαι, περιφλέξαι.

Ἀφεψιαίμην: ἀφωμίλησα. οὕτω Σοφοκλῆς.

Ἀφείκατο Ἀττικῶς. τὸ δὲ ἀφέωκα Δωρικόν.

Ἀφεωκέναι καὶ ἀφεώκαμεν: ἀντὶ τοῦ ἀφεῖναι καὶ καταλιπεῖν. 15

Ἀφή: χροιὰ λέπρας. λέγεται δὲ καὶ ἡ ψηλάφησις καὶ αὐτὴ ἡ αἴσθησις.

Ἀφηβηκότι: γηράσαντι, ὑπερβεβηκότι τὴν ἥβην, τουτέστι τὴν ἡλικίαν. 20

Ἀφήλικα: τὸν πρεσβύτην. τινὲς δὲ χρῶνται τῇ λέξει ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας παιδός, ὅπερ δεῖ φυλάττεσθαι· ἐπὶ γὰρ τοῦ πρεσβυτέρου λέγεται.

Ἀφηνιαστής: ἀνυπότακτος, ὑπερήφανος.

Ἀφήκοντος: Ἀντιφῶν, ἀντὶ τοῦ διήκοντος. 25

Ἀφήκειν: ἀντὶ τοῦ ἀφικνεῖσθαι.

Ἄφθιτον: ἄφθορον, ἄϊδιον, οὐ φθειρόμενον.

Ἄφθονα: πολλά.

Ἄφθογγος: ὁ μὴ φωνὴν προϊείς. καὶ ἄφθογγα γράμματα τὰ λεγόμενα ἄφωνα. 30

Ἄφθα: καὶ διὰ τοῦ α καὶ διὰ τοῦ η λέγουσι τὸ ἐν τῇ γλώσσῃ γενόμενον ἑλκύδριον, ὡς κίχλα κίχλη καὶ πεῖνα πείνη.

Ἀφῖγμαι: παραγέγονα.
Ἀφίει: ἀπέπεμπεν.
Ἀφίκετο: ἐλήλυθεν, ἦλθεν.
Ἀφῖκται: παραγέγονεν.
Ἀφιματῶσαι: ἀποδῦσαι. 5
Ἀφίλητος: ὁ μὴ φιλούμενος.
Ἀφιλασαμένη: ἐξιλασαμένη.
Ἀφιλία: τὸ μὴ ἔχειν φίλον.
Ἀφιοῖ: τὸ εὐκτικὸν περισπῶντες λέγουσι. καὶ ἀφεῖεν.
Ἀφίημι: ἀφίημι καὶ ἀφίεμι, ἑκατέρως προφέρονται, 10 καὶ συστέλλοντες καὶ ἐκτείνοντες τὴν δευτέραν συλλαβήν.
Ἄφιππος: καὶ ὁ ἀνὴρ ὁ ἄπειρος ἱππικῆς καὶ ἡ χώρα ἡ μὴ ἱππάσιμος.
Ἀφιλότιμος: ταπεινός, παρὰ τὸ φιλεῖν τιμήν. ἢ ὁ 15 πρὸς μηδὲν ἀξιόλογον ἐπεστραμμένος. καὶ ὁ φειδωλὸς παρ᾽ ἐνίοις.
Ἀφλοισμός: ἀφρός.
Ἄφλαστα: τὰ ἀκροστόλια, Ἀπολλόδωρος. ὁ δὲ Δίδυμος τὸ ἐπὶ τῆς πρύμνης εἶς ὕψος ἐκ κανονίων πλα- 20 τέων ἐπικεκαμμένον.
Ἀφνειός: ὁ πλούσιος.
Ἄφοδον: ἀναχώρησιν, ὥςπερ καὶ ἔφοδον τὴν ἐπέλευσιν. λέγεται δὲ ἄφοδος καὶ ὁ ἀπόπατος.
Ἀφοσιούμεθα: τὸ ὅσιον προςποιούμεθα δῆθεν. 25
Ἀφοσιούμενος: πληροφορῶν, ποιήσας τὴν ὁσίαν.
Ἀφοσιούμενοι: τιμῶντες, ἢ ἀπαρχόμενοι.
Ἀφοσιῶσασθαι: ἀφοσιώσασθαί ἐστι τὸ ὁπωςδήποτε ἀποδοῦναι καὶ θεραπεῦσαι τὸ ὀφειλόμενον.
Ἀφοσιώσας: καθάρας. ἢ ξενώσας. ἢ τὴν ὁσίαν ποιῶν, 30 τουτέστι κηδείαν ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην.
Ἀφοσίωσις: ἀνάθεσις. καὶ ἀφοσιωσάμενοι δικαιωσάμενοι.

Ἀφοσιῶ: ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφανίζω, Αἰσχίνης. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' οἷον ἀπάρξασθαι ἢ σχηματίσασθαι Ἰσαῖος λέγει.

Ἀφοσιώσεται: ἀπάρξεται.

Ἀφόρητον: ἀβάστακτον. 5

Ἀφορμή: ἰδίως παρὰ Ἀττικοῖς ἡ πάροδος λέγεται, ἣν νῦν πολλοὶ πρόχρειαν καὶ ἐνθήκην λέγουσι. λέγεται δὲ καὶ ἡ αἰτία. ἢ ὅταν τις ἀργύριον δώσῃ ἐνθήκην, ἀφορμὴ καλεῖται.

Ἀφοδεῦσαι: Πλάτων Ἀδωνίδι. σημαίνει δὲ. . 10

Ἀφοριζόμενος τὸν λόγον: ὅταν τὸ μὲν πρότερον ἱκανῶς εἰρῆσθαι λέγει, μεταβαίνει δὲ ἐφ' ἕτερα.

Ἀφράσμων: ἀσύνετος. Σοφοκλῆς.

Ἀφροδίτης: ἀντὶ τοῦ Ἀφροδισίων. οὕτως Ἀντιφῶν ἐν ἀληθείας πρώτῳ. 15

Ἀφραίνει: παρανομεῖ, μωραίνει, παραφρονεῖ.

Ἀφροδίσιον: ἔργον Ἀφροδίτης· ἢ ἰδίως τὸ τῆς Ἀφροδίτης ἔδος. λαμβάνεται δὲ ἐπὶ τῶν λάγνων, τῶν ἐρωτικῶς περὶ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων.

Ἀφρόνη: ἡ ἀφροσύνη. 20

Ἀφροδέως: ἀνοήτως, ἀπείρως.

Ἀφροδισία ἄγρα: οἱ περδίκες, διὰ τὸ τοὺς θηρῶντας τῇ θηλείᾳ ἐπιβουλεύοντας αἱρεῖν αὐτούς.

Ἀφρόδιτος: ὁ Ἑρμαφρόδιτος. παραπλήσιοι δὲ τούτῳ ἄλλοι δαίμονες, Ὀρθάνης, Πρίαπος. 25

Ἀφύα ἐς πῦρ: ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων ἡ παροιμία, παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει.

Ἀφύα καὶ ἀφύη: ἐστὶ μέντοι ἰχθύδιον φαῦλον καὶ λυπρόν, ἀργυρίζον τῇ χροιᾷ. καὶ χρῶμα δὲ ἀφυῶδες 30 καλεῖ Ἱππασίων. ἐκλήθη δὲ καὶ ἑταίρα οὕτως· ἴσως καὶ αὐτὴ τοιαύτη ἦν.

Ἀφύας: ὄνομα ἑταιρῶν ἀδελφῶν δύο παρὰ Ὑπερίδῃ.

Ἀφύας: πληθυντικῶς λέγουσι. σπανιώτατα δὲ ἀφύην.

Ἀφυβρίσαι: μάλιστα τὸ ἀκολάστως ὑβρίσαι δηλοῖ εἰς κόρον καὶ ὥστε ἀποπληρωθῆναι. οὕτω Μένανδρος Παλλάκῃ· 5

νῦν πῖθι, νῦν ἀφύβρισον, ἣν ἀφύβρικα.

Ἄφυκτον: ὃ οὐκ ἔστιν ἐκφυγεῖν.

Ἀφυπνισθῆναι: τὸ ἐξ ὕπου ἐγερθῆναι. Φερεκράτης· ἵν' ἀφυπνισθῇ οὖν, ἀκροᾶσθ· ἤδη γὰρ καὶ λέξομεν. 10

Ἀφυσμός:

Ἀφύσσων: ἀπαντλῶν, ἀρυόμενος.

Ἀφωπλίζοντο: ἀπετίθεντο τὰ ὅπλα.

Ἀχανεῖς: ἀφθεγγεῖς.

Ἀχανής: ὁ μὴ κεχηνώς, ὁ ἄφωνος, ὁ ἐνεός, ὁ ἐκπεπληγμένος σιωπῇ. 15

Ἀχαριστεῖν: ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν.

Ἀχαριστῆσαι: τὸ μὴ χαρίσασθαι μηδ' ὑπουργῆσαι.

Ἀχαρίστους: τοὺς μὴ ἀνταποδιδόντας χάριτας. καὶ Ἰσοκράτης· μηδὲ τοὺς χάριτας ἀχαρίστοις χαριζόμενος δ' ἄχαρι. λέγεται δ' ἀχάριστος καὶ ὁ μὴ χαριζόμενος καὶ ὁ τοὺς εὐεργέτας ἀμειβόμενος κακοῖς. 20

Ἄχαρις: ᾗ τινὶ μὴ μέτεστι χάρις, ἢ ἡ μήπω δυναμένη χαρίζεσθαι. 25

Ἀχαριστία: ἡ κατὰ στέρησιν τῆς χάριτος.

Ἀχαία: ἐπίθετον Δήμητρος. βραχεῖα ἡ πρώτη, ἀπὸ τοῦ ἄχους μᾶλλον ἢ ἀπὸ τοῦ ἤχου. Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν· 30

οὐδ' ἂν αὐτὴν τὴν Ἀχαίαν ῥᾳδίως ἠνέσχετο.

Ἀχάνη: μέτρον Βοιώτιον πολλῶν τινῶν μεδίμνων. οὕτως Ἀριστοφάνης.

Ἀχαρνώς: ἀχαρνὼς καὶ ὀρφὼς ὁ αὐτός. Καλλίας Κύκλωψιν·

ἐγχέλεια, κάραβοι, λινεύς, ἀχαρνὼς οὗτοσί.

Ἀχείρωτον ἄμωμον.

Ἀχέρων: ποταμὸς ἐν Ἅιδου, μεμυθευμένος παρὰ τὸ ἄχος. 5

Ἀχηνία: ἀπορία, πενία. Ἀριστοφάνης οὕτως εἴρηκεν.

Ἀχιλλεία: ἡ μᾶζα. Ἀχιλλεῖα δὲ τὰ ἐν αὐτῇ ἄλφιτα.

Ἀχιλλείων: ἀλφίτων τῶν γεγονότων ἐκ τῶν Ἀχιλλείων κριθῶν. ἔνιοι δὲ λευκῶν. 10

Ἀχίλλειοι: οὕτω κριθαί τινες ἐκαλοῦντο Ἀθήνησιν, ἁδραί τε καὶ ἀδιάφοροι οὖσαι. καὶ τῶν σπόγγων δὲ τοὺς πολυτελεῖς Ἀχιλλείους ἐκάλουν.

Ἀχίλλειοι κριθαί: αἱ εὐτελεῖς.

Ἄχθεται: λυπεῖται. 15

Ἀχθηδών λύπη.

Ἄχθος: βάρος, λύπη.

Ἀχθοφόρον: βαστάζοντα.

Ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ: ἀντὶ τοῦ τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ. τὸν γὰρ ῥύπον ἐπὶ τῶν γλίσχρων 20 καὶ ἀνελευθέρων ἐτίθεσαν. οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους.

Ἀχλύς: σκότος, ὀμίχλη, ζόφος, ἀμβλυωπία.

Ἄχναι: λεπτὰ ἄχυρα. ἢ ἀκαθαρσία.

Ἄχνη ἁλός: τὸ λεπτότατον τοῦ ὕδατος, ὃ ἀφρὸς τῆς 25 θαλάσσης.

Ἄχος: λύπη, σιωπὴν ἐπιφέρουσα. παρὰ τοῦτο καὶ ἀχνύμενος.

Ἄχνη πυρός: ὁ καπνός. καὶ ἄχνη ὕπνου. ὁ δὲ Ἱπποκράτης ἄχνη λιμοῦ. δηλοῖ δὲ καὶ λεπτὸν ξύσμα. 30

Ἀχῶρα: τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης Ὁλκάσιν· ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἀχῶρα

ἐκλέγεται ἐκ τοῦ γενείου τὰς πολίας τοῦ Διός. ἀρσενικῶς δὲ λέγεται ὁ ἀχώρ.

Ἀχόρευτος: ὁ ἀπωσμένος δὶ ἀπαιδευσίαν τοῦ χοροῦ.

Ἄχραντον: ἀμόλυντον, ἄψαυστον. κυρίως οὐ χεὶρ οὐχ ἥψατο. 5

Ἄχρι, ἄχρις: ἀντὶ τοῦ μέχρις, ἕως.

Ἀχρειόγελως ἄνθρωπος: ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

Ἀχρώματος: ἀναιδής.

Ἀχράς: ὁ καρπὸς τῆς ἀχέρδου. Ἀριστοφάνης οὕτως εἴρηκεν. 10

Ἀχράδας τὰς ἀχέρδας λέγουσιν. Εὔπολις Ἀστρατεύτοισιν· οἱ πεπείρους ἀχράδας πρὸς τῇ συκιδι προσετὼς καὶ ἀχράδων . . . . Φερεκράτης. ἴσως δ' ὁ μὲν καρπὸς ἀχράς, τὸ δὲ δένδρον ἄχερδος. Φερεκράτης· 15
ἢ τῆς ἀχέρδου τῆς ἀκραρχολωτάτης.

Ἄχρηστος: ὁ ἀνωφελής, καὶ ἰδίως ᾧ οὐδεὶς χρῆται. οὕτω Πλάτων.

Ἀχυρμιαί: οἱ τόποι, εἰς οὓς τὰ ἄχυρα λικμώμενα ἀποφέρεται. 20

Ἀχών: ἄμπελος.

Ἄχρι κόρου: παροιμία ἦν, ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστιν. οὕτω καὶ ἄχρι κόρου ἐφενάκισεν.

Ἀψαμένη: ἐξαρτήσασα.

Ἀψαύστως: ἀνεπαφῶς. 25

Ἀψῖδες: καμάραι.

Ἀψίς: οὕτως ἐκάλουν τὲν ξύλινον κύκλον τοῦ τροχοῦ· τὺ δὲ ἐπ' αὐτοῦ ἐπίσωτρον. Ὅμηρος τὸν μὲν τροχὸν κύκλον ὀνομάζει, τὴν δὲ ἀψῖδα ἴτυν.

Ἄψαυστον: ἄθικτον. 30

Ἀψάλλακτον: ἀψηλάφητον.

Ἀψευδία: ἡ ἀλήθεια. λέγεται δὲ καὶ ἀψευδεῖν καὶ ἀψευδές.

Ἄψεφές: ἀφρόντιστον. οὕτω Σοφοκλῆς.

Ἄψίκορος: εὐμετάβλητος.

Ἀψιμαχία: συναφὴ μάχης.

Ἀψιμεσία: πρὸς ὀλίγον διαφορά.

Ἀψοφητί: ἠρέμα: 5

Ἄψ: πάλιν.

Ἄψορροι: ὀπισθόρμητοι.

Ἄωρον: ἄπρεπές, ἀχαρές.

Ἄωρτο: ἐκρίματο.

Ἀωρί, ἀωρία: τὸ παρὰ τὸν προσήκοντα καιρὸν καὶ 10 τὴν ὥραν. λέγουσι δὲ ἀώριον τῶν νυκτῶν καὶ ἀώριον νύκτωρ. Ἀριστοφάνης δὲ ἔφη καὶ ἀωρὶ θανάτῳ ἀπέθανεν.

Ἄωροι πόδες: οἱ ἐμπρόσθιοι·

τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι. 15

καὶ Φιλήμων·

οὐ τοὺς ἀώρους εἶπά σοι, μάστιγία,
πόδας πρίασθαι; σὺ δὲ φέρεις ὀπισθίους.

Ἀωρόλειος: ὁ παρὰ τὴν ὥραν καὶ τὴν ἡλικίαν λειαινόμενος. 20

Ἄωτον: ἄνθος, κόσμος, στέφανος.

Ἀωτεύειν: ὑφαίνειν.